B 659,256



THE GIFT OF
PROF. ALEXANDER ZIWET

Digitized by Google

Digitized by Google

Alexandra Zinck

FRAGMENTA

COMICORVM GRAECORVM

COLLEGIT ET DISPOSVIT

i. e. Johann Albert Friedrich August,

AVGVSTVS MEINEKE 1790-1870

EDITIO MINOR

PARS II

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCXLVII

Digitized by Google

880.8
M51
1847
cop. 2

Digitized by Google

EPHIPPVS

ΑΡΤΕΜΙΣ

(3, 322) 1

Παρ' Ἀλεξάνδρου δ' ἐκ Θετταλίας
κόλλικα φαγὼν κρίβανος ἄρτων.

Athenaeus III p. 112 f: *τῶν δὲ κολλικίων ἄρτων (οἱ αὐτοὶ δ' εἰσὶ τοῖς κολλάβοις) Ἔφιππος ἐν Ἀρτέμιδι μνημονεύει οὕτως Παρ' Ἀλεξάνδρου κτλ.*

ΒΟΥΣΙΡΙΣ

(3, 322) 2

ΗΡ. Οὐκ οἶσθά μ' ὄντα πρὸς θεῶν Τιρύνθιον
Ἀργεῖον, οἳ μεθύοντες ἀεὶ τὰς μάχας
πάσας μάχονται; Β. τοιγαροῦν φεύγουσ' ἀεί.

Athenaeus X p. 442 d: *κωμῳδοῦνται δὲ ὡς μέθυσοι Ἀργεῖοι μὲν καὶ Τιρύνθιοι ὑπ' Ἐφίππου ἐν Βουσίριδι· ποιεῖ δὲ τὸν Ἡρακλέα λέγοντα· Οὐκ οἶσθα κτλ.* Hinc petiit praeter Eustathium ad Iliad. p. 1178 34 Macrobius Saturn. V 21.

ΓΗΡΥΟΝΗΣ

I (3, 323) 3

Τούτῳ δ' ὁπόταν ναέται χώρας
ἰχθύν τιν' ἔλωσ' οὐχ ἡμέριον,
τῆς περικλύστου δ' ἁλίας Κρήτης
μείζω μεγέθει, λοπάς ἐστ' αὐτῷ
δυνατὴ τούτους χωρεῖν ἑκατόν.
καὶ περιοίκους εἶναι ταύτῃ
Σίνδους Λυκίους Μυγδονιώτας
Κραναοὺς Παφίους. τούτους δ' ὕλην
κόπτειν, ὁπόταν βασιλεὺς ἕψῃ
τὸν μέγαν ἰχθύν, καὶ προσάγοντας,
καθόσον πόλεως ἕστηκεν ὄρος
τῆσδ', ὑποκάειν, λίμνην δ' ἐπάγειν
ὕδατος μεστὴν εἰς τὴν ἅλμην,
τοὺς δ' ἅλας αὐτῷ ζεύγη προσάγειν
μηνῶν ὀκτὼ συνεχῶς ἑκατόν·
περιπλεῖν δ' ἐπὶ τοῖς ἄμβωσιν ἄνω
πέντε κέλητας πεντασκάλμους,

390179

Digitized by Google

περιαγγέλλειν τ' οὐχ ὑποκάειν
Λυκίων πρυτάνεις. Β. ψυχρὸν τουτί
παύου φυσῶν, Μακεδὼν ἄρχων·
σβέννυ Κελτούς, μὴ προσκαύσῃς.

Athenaeus VIII p. 346 f: *τάχα δὲ καὶ ὑμεῖς ἑκόντες παρελίπετε ὡς ἱερόν τινα ἰχθὺν τὸν παρ' Ἐφίππῳ τῷ κωμῳδοποιῷ, ὃν φησι τῷ Γηρυόνῃ σκευάζεσθαι ἐν τῷ ὁμωνύμῳ δράματι διὰ τούτων λέγων Τούτῳ δ' ὁπόταν κτλ.* Eosdem versus cum aliis quibusdam posuisse Ephippum in Peltasta eiusdem Athenaei indicio constat (fr.17). Vs.2 pro *ἡμέριον* malim *ἡμερινόν, vilem piscem et vulgarem* cll. Aristoph. Pac. 163, vel *οὐ δὴ μέτριον*. Vs. 5 in *τούτους* forsan mensurae nomen latet. Ante versum sextum aliquid excidisse videtur. Vs. 6 et 7 libri *ταύτῃ ἐς Ἰνδούς*. Correxit Schweighaeuserus. Vs. 12 *τῆσδ'* scripsi pro *τοὺς δ'* mutata interpunctione. Vs. 18 *τε κοὐχ* PVL *τε καὶ οὐχ* B *τ' οὐχ* Schweighaeuserus, qui praeterea tentat *περιαγγέλλειν, κοὐ παρακούειν Λυκίων πρυτάνεις*. Vs. 19 libri *Λυκείων*. Praeterea fort. *ψυχρὸν τουτί· παύου φυσῶν*. Vs. 21 libri *μὴ προσκλύσῃς*. Bothius *προσκλαύσῃς*. Schweighaeuserus et Porsonus *μὴ προσκαύσῃς*.

4 II (3, 325)

Ἔπειτα πῶς
οὐ στέφανος οὐδείς ἐστι πρόσθε τῶν θυρῶν;
οὐ κνῖσα κρούει δινὸς ὑπεροχὰς ἄκρας,
Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται
ὀπτᾶν τε τυροῦ Χερρονησίτου τόμους,
ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην,
πνίγειν τε παχέων ἀρνίων στηθύνια,
τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις,
κοινῇ τε χναύειν τευθίσιν σηπίδια,
πιλεῖν τε πολλὰς πλεκτάνας ἐπιστρόφως,
πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

Athenaeus IX p. 370 c: *Ἀθήνησι δὲ καὶ ταῖς τετοκυίαις κράμβη παρεσκευάζετο, ὥς τι ἀντιφάρμακον εἰς τροφήν. Ἔφιππος γοῦν ἐν Γηρυόνῃ φησίν Ἔπειτα κτλ.* Idem locus inde a versu quarto II p. 65 c Eubulo tribuitur (fr. 132), pro quo Ephippi nomen reponendum esse existimat Casaubonus. Quidni iisdem utrumque poetam versibus usum credamus? Vs. 5 Eubulus *τόμον*. Vs. 6 libri *ἠγκαλισμένην*. Correxit Casaubonus ex Eubulo. Vs. 7 AB *ἀρνιῶν*. Ceteri *ἀρνειῶν*. *ἀρνίων* Eubulus. Vs. 9 pro

Digitized by Google

κοινῇ Eubulus *ὁμοῦ* et ibidem *μαινίσιν* pro *τευθίσιν*. Fortasse transponendum *χναύειν τε κοινῇ*, ut verbum hic etiam ut in ceteris in versus initio ponatur. Vs. 10 pro *πιλεῖν* et *ἐπιστρόφως* Eubulus *πιλοῖν* et *ἐπιστρεφῶς*.

III (3, 326) 5

Καὶ συναγώγιμον
συμπόσιον ἐπιπληροῦσιν.

Athenaeus VIII p. 365 c: *καλοῦσι δέ τινα καὶ συναγώγιμα δεῖπνα, ὡς Ἄλεξις — καὶ Ἔφιππος ἐν Γηρυόνῃ Καὶ συναγώγιμον κτλ.* Libri *ἐπικληροῦσιν*. Correxit Casaubonus.

E M Π O Λ H

I (3, 326) 6

Ἔπειτά γ' εἰσιόντ', ἐὰν λυπούμενος
τύχῃ τις ἡμῶν, ἐκολάκευσεν ἡδέως,
ἐφίλησεν οὐχὶ συμπιέσασα τὸ στόμα
ὥσπερ πολέμιον, ἀλλὰ τοῖσι στρουθίοις
χανοῦσ' ὁμοίως, ἧσε, παρεμυθήσατο,
ἐποίησέ θ' ἱλαρὸν εὐθέως τ' ἀφεῖλε πᾶν
αὐτοῦ τὸ λυποῦν κἀπέδειξεν ἵλεων.

Athenaeus VIII p. 363 c: *ὅτι δὲ τὸν αὐτὸν ἵλεων καὶ ἱλαρὸν ἔλεγον δηλοῖ Ἔφιππος ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἐμπολῇ· περὶ ἑταίρας δέ τινος λέγει. Ἔπειτα κτλ.* Idem XIII p. 571 e: *περὶ δὲ τῶν ἑταιρῶν Ἔφιππος ἐν Ἐμπολῇ τάδε φησίν Ἔπειτα κτλ.* Vs. 1 malim *ἔπειτα δ'* sive *ἔπειτ' ἄν*. Loquitur enim de eo quod solet fieri. Vs. 2 et 3 *ἡδέως ἐφίλησεν* p. 363, altero loco *ἢ κατεφίλησεν*. Praeterea malim *ἐκολάκευσεν ἡδέως ἐφίλησέ τ'*. Vs. 4 *πολέμιος* p. 363. Ita etiam Eustathius p. 1411 8. Fuit, ni fallit memoria, qui coniiceret *ὥσπερ πελειάς*. Vs. 5 libri *χαυνοῦσα*, quod correxi. Similiter Bothius *χαίνουσα*, qui *εἶσε* coniicit pro *ἧσε*. Vs. 7 pro *λυποῦν* altero loco *λοιπόν*.

II (3, 327) 7

Κοινωνεῖ γάρ, ὦ μειράκιον, ἡ
ἐν τοῖσιν αὐλοῖς μουσικὴ κἀν τῇ λύρᾳ
τοῖς ἡμετέροισι παιγνίοις· ὅταν γὰρ εὖ
συναρμόσῃ τις τοῖς συνοῦσι τὸν τρόπον,
τόθ' ἡ μεγίστη τέρψις ἐξευρίσκεται.

Athenaeus XIV p. 617 f: *περὶ δὲ τῆς αὐλῶν πρὸς λύραν κοινωνίας — Ἔφιππος ἐν Ἐμπολῇ φησι Κοινωνεῖ κτλ.*

Digitized by Google

Vs. 1 et 2 ἡ ἐν Dindorfius pro ᾗ, praeeunte Casaubono, qui primum versum terminabat voce *μειράκιον*, et altero scribebat *ἡ᾽ν τοῖσιν αὐλοῖς*. Dobraeus dubitanter *μειρακίδιον | ἡ᾽ν τοῖσιν αὐλοῖς*.

E Φ H B O I

8 I (3, 327. 328)

Χόνδρος μετὰ ταῦτ᾽ εἰσῆλθε, μύρον Αἰγύπτιον,
φοινικίνου βῖκός τις ὑπανεῴγνυτο,
ἵτρια τραγήμαθ᾽ ἧκε, πυραμοῦς, ἄμης,
ᾠῶν ἑκατόμβη. πάντα ταῦτ᾽ ἐχναύομεν.
ἐμασώμεθ᾽ οὕτως ἀνδρικῶς ὅσ᾽ εἴχομεν·
καὶ γὰρ παραμασύντας τινὰς παραβόσκομεν.

Athenaeus XIV p. 642 e de *τράγημα* disserens: *Ἔφιππος Ἐφήβοις Χόνδρος κτλ.* Vs. 1 emendavit Iacobsius: libri *μετά τ᾽ εἰσῆλθε*. Vs. 2 *φοινικίνου* apud Athen. I p. 29 d: *φοινικίου* (sic) *δὲ οἴνου μέμνηται καὶ Ἔφιππος — φοινικίνου βῖκός τις ὑπανεῴγνυτο*, et Eustathium ad Odyss. II 290 p. 1445 48: *τὸ γοῦν "οἴνου φοινικίνου βῖκός τις ὑπανεῴγνυτο" οὐ πάνυ βραχὺ ἀγγεῖον τὸν βῖκον εἶναι δηλοῖ.* Libri *φοινίκου*. Casaubonus utroque loco voluit *φοινικικοῦ*, quod ferri non potest. Quod eodem versu legitur *ὑπανεῴγνυτο* praeter Athen. p. 642 e praebuit C et Eustathius. Libri *ὑπανεώγνυται*. Vs. 3 libri fere *εἶτ᾽ ἵτρια* habent: abest *εἶτ᾽* apud Athen. II p. 58 a, ubi tertius et quartus fragmenti versus omisso fabulae titulo iterum leguntur. Tum *τραγήμαθ᾽ ἧκε* debetur Porsono. Vulgo *τραγήματα θῆκε* legitur: *τραγήματα* sine *θῆκε* altero loco Athenaeus p. 58. Vs. 5 ante Schweighaeuserum *ἐκμασώμεθ᾽*. Ibid. pro *οὕτως ἀνδρικῶς* Dobraeus tentat *εὖ τε κἀνδρικῶς*. Vs. 6 libri *παραμασύλτας*. Correxit Casaubonus.

9 II (3, 328)

Οὐ κύλικας ἐπὶ τὰ δεῖπνα Χαιρήμων φέρει;
οὐ κυμβίοισι πεπολέμηκ᾽ Εὐριπίδης;

Athenaeus XI p. 482 c: *ὅταν δ᾽ Ἔφιππος ἐν Ἐφήβοις λέγῃ Οὐ κύλικας — Εὐριπίδης; οὐ τὸν τραγικὸν λέγει ποιητήν, ἀλλά τινα ὁμώνυμον αὐτῷ ἤτοι φίλοινόν τινα ἢ αἰτίαν ἔχοντα οὐ χρηστήν, ὡς φησιν Ἀντίοχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν ἐν τῇ μέσῃ κωμῳδίᾳ κωμῳδουμένων ποιητῶν.*

10 III (3, 329)

Φιάλην ἑκατέρᾳ
ἔδωκε κεράσας ζωρότερον Ὁμηρικῶς.

Digitized by Google

Athenaeus X p. 423 d: *πρότερον δέ μοι λέξεται περὶ τοῦ ζωρότερον. — Ἔφιππος Ἐφήβοις Φιάλην ἑκατέρᾳ κτλ.* Cod. B *ἑκάτερα.*

K I P K H

(3, 329) 11

Οἶνον πίοις ἂν ἀσφαλέστερον πολύ
ὑδαρῆ. Β. μὰ τὴν γῆν, ἀλλὰ τρία καὶ τέτταρα.
Α. οὕτως ἄκρατον, εἰπέ μοι, πίει; τί φής;

Athenaeus X p. 430 f de variis vinum miscendi generibus disserens: *Ἔφιππος δ' ἐν Κίρκῃ τρεῖς πρὸς τέτταρας Οἶνον κτλ.* Vs. 1 super *οἶνον* C *οἴνου.* Pro *πολὺ* VL *πολύν.* Vs. 2 *ὑδαρῆ* CVL *ὑδαρην* (sic) A *ὑδαρῆν* CP *ὕδαρυν* B. Vs. 3 *πίει* Dindorfius pro *πίῃ.*

K Y Δ Ω N

I (3, 329. 330) 12

Θύννου τεμάχη, γλάνιδος, γαλεοῦ,
ῥίνης, γόγγρου, κεφάλου, πέρκης,
σαῦρος, φυκίς, βρίγκος, τρίγλη,
κόκκυξ, φάγρος, μύλλος, λεβίας,
σπάρος, αἰολίας, θρίττα, χελιδών,
καρίς, τευθίς, ψῆττα, δρακαινίς,
πουλυπόδειον, σηπία, ὀρφῶς,
κωβιός, ἀφύαι, βελόναι, κεστρεῖς.

Athenaeus VII p. 322 d: *Ἔφιππος δ' ἐν Κύδωνι πολλῶν καὶ ἄλλων ἰχθύων κατάλογον ποιούμενος καὶ τοῦ σαύρου μνημονεύει διὰ τούτων Θύννου κτλ.* Cfr. Mnesimachum in Hippotropho. Vs. 2 libri *κεφαλῆς πέρκης,* quod correxi. Casaubonus *κέφαλος πέρκη.* Vs. 3 *σαῦρος* Dindorfius pro *σαυρός.* Quod ante *φυκὶς* in libris legitur *φυκία* vel *φυαία* delevit Villebrunius. Pro *βρίγκος* Mnesimachus *βρίγγος.* Vs. 4—7 a *μύλλος* usque ad *ὀρφώς* habet etiam Mnesimachus. Vs. 5 Mnesimachus *θρᾶττα.* Vs. 7 libri *πουλυπόδιον.*

II (3, 330) 13

*Καὶ μετὰ δεῖπνον κόκκος * *
*ἐρέβινθος * * * κύαμος,*
χόνδρος, τυρός,
μέλι, σησαμίδες, βράχος, βρυγμός,
μυοῦς, πυραμίδες, μῆλον, κάρυον,
γάλα, κανναβίδες, κόγχαι, χυλός,
Διὸς ἐγκέφαλος.

Digitized by Google

Athenaeus XIV p. 642 e de mensis secundis disserens: *Ἔφιππος Ἐφήβοις — καὶ ἐν Κύδωνι Καὶ μετὰ δεῖπνον κτλ.* Vs. 1 libri *τὸ δεῖπνον*. Post *κόκκος* forsan excidit *κνίδεος*. Cfr. Eubul. fr. 133. Vs. 2 fortasse supplendum *ἀχράς*, *βολβός*, quae passim coniunguntur. Vs. 3 pro *τυρὸς* Eustathius *πυρὸς* p. 948 38. Vs. 4 cfr. Athen. p. 646 f: *μνημονεύει αὐτῶν* (*σησαμίδων*) *καὶ Ἔφιππος ἐν Κύδωνι.*

N A Y A Γ O Σ

14 (3, 332)

Ἔπειτ' ἀναστὰς εὔστοχος νεανίας
τῶν ἐξ Ἀκαδημίας τις ὑπὸ Πλάτωνα καί
Βρυσωνοθρασυμαχειολῃψικερμάτων
πλῆγεὶς ἀνάγκῃ, λῃψιλογομίσθῳ τέχνῃ
συνών τις, οὐκ ἄσκεπτα δυνάμενος λέγειν,
εὖ μὲν μαχαίρᾳ ξύστ' ἔχων τριχώματα,
εὖ δ' ὑποκαθιεὶς ἄτομα πώγωνος βάθη,
εὖ δ' ἐν πεδίλῳ πόδα τιθεὶς ὑπὸ ξυρόν,
κνήμης ἱμάντων ἰσομέτροις ἑλίγμασιν,
ὄγκῳ τε χλανίδος εὖ τεθωρακισμένος,
σχῆμ' ἀξιόχρεων ἐπικαθεὶς βακτηρίᾳ
ἀλλότριον, οὐκ οἰκεῖον, ὡς ἐμοὶ δοκεῖ,
ἔλεξεν "Ἄνδρες τῆς Ἀθηναίων χθονός."

Athenaeus XI p. 509 c: *Ἔφιππος ἐν Ναναγῷ Πλάτωνά τε αὐτὸν καὶ τῶν γνωρίμων τινὰς κεκωμῴδηκεν ὡς καὶ ἐπ' ἀργυρίῳ συκοφαντοῦντας, ἐμφαίνων ὅτι καὶ πολυτελῶς ἠσκοῦντο καὶ ὅτι τῆς εὐμορφίας τῶν καθ' ἡμᾶς ἀσελγῶν πλείονα πρόνοιαν ἐποιοῦντο. λέγει δὲ οὕτως Ἔπειτ' ἀναστάς κτλ.* Vs. 1 legebatur *ἐπεὶ καταστάς*. Correxit Iacobsius. Vs. 2 Dind. *Ἀκαδημείας*. Ib. forsan *ὑποπλατώνικος*. Cf. Timo Sill. 19 3 *ὑπάττικος εἰρωνευτής* de Socrate. Vs. 3 libri *Βρύσων ο θρασυμ.* Grotius *Βρύσωνα θρασυμ.* Praeterea fortasse tertius casus — *κερμάτῳ* restituendus. Vs. 4 *λιψιγομίσθῳ τέχνῃ* A *ληψιγομίσθωτέχνη* P deleto quartae syllabae accentu. *λιψιγομισθωτέχνη* B *ληψιγομίσθῳ* VL *ληψολιγομίσθῳ* Adamus. Scripsi *ληψιλογομίσθῳ*. Vs. 7 *ὑποκαθιεὶς ἄτομα* Scaliger. Vulgo *ὑποκαθιεῖσα τἄμα*. ABP *ὑποκαθιεῖσα το μα*. Vs. 8 pro *πόδα* libri *πολλά*. Correxit Scaliger. Ib. Wyttenbachius *δεθεὶς ὑπὸ σφυρόν*. Ex his *σφυρὸν* iam Casaubonus coniecerat. Dobraeus pro *ὑπὸ ξυρὸν* coniicit *ὑποξύλῳ*. Idem versum excidisse coniicit, cuius sen-

tentiam indicavit verbis *εὖ δὲ περιδούμενος ἄρθρα*. Quae vera esse non dubito. Vs. 9 *ἱμάντων* B *ἱμάτωνι* P *ἱματίων* VL.

ΟΜΟΙΟΙ Η ΟΒΕΛΙΑΦΟΡΟΙ

I (3, 334)

Ἀλλ' ἀγόρασον εὐτελῶς·
ἅπαν γὰρ ἱκανόν ἐστι. Β. φράζε δή ποτε.
Α. μὴ πολυτελῶς, ἀλλὰ καθαρείως. ὅ τι ἂν ᾖ,
ὁσίας ἕνεκ' ἀρκεῖ. τευθίδια, σηπίδια,
κἂν κάραβός τις ᾖ λαβεῖν, εἷς ἀρκέσει
ἢ δύ' ἐπὶ τὴν τράπεζαν. ἐγχελύδια
Θήβηθεν ἐνίατ' ἔρχεθ', ἓν τούτων λαβέ,
ἀλεκτρυόνιον, φάττιον, περδίκιον,
τοιαῦτα. δασύπους ἄν τις εἰσέλθῃ, φέρε.
Β. ὡς μικρολόγος εἶ. Α. σὺ δέ γε λίαν πολυτελής.
πάντως κρέ' ἡμῖν ἐστι. Β. πότερ' ἔπεμψέ τις;
Α. οὐκ ἀλλ' ἔθυσεν ἡ γυνή. Β. τὸ μοσχίον
τὸ τῆς Κορώνης αὔριον δειπνήσομεν.

Athenaeus VIII p. 359 a: *ἥδιστος δ' ἐστὶ καὶ ὁ παρὰ τῷ αὐτῷ ποιητῇ* (praecessit Ephippi ecloga ex Philyra) *ἐν τοῖς Ὀβελιαφόροις νεανίσκος κατασμικρύνων ἅπαντα τὰ περὶ τὴν ὀψωνίαν καὶ λέγων ὧδε Ἀλλ' ἀγόρασον κτλ.* Cfr. simillimos versus ex Nicostrati Antyllo Fragm. 6 et Eubuli Fr. 108. Vs. 2 *ἅπαν* Dindorfius: libri *ἅπαντα*. Porsonus *ἅπαντα γὰρ ἱκάν' ἐστί*. Tum *φράζε δή ποτε* VL *φράζει δέ ποτε* ABP Dindorfius *φράζε δ' ὅ τι ποτέ*. Vs. 3 *καθαρείως* C *καθαρίως* PVL. Tum *ὅ τι ἂν ᾖ, ὁσίας* Casaubonus. V *ὅ τι ἂν ὁσίας*. L *ὅττι ἂν ὁσίας*. AB *ὅ τι ἀνοησίας*. P *ὅ τι ἀνοσίας*. Vs. 4 apud Eubulum ita scriptus est, *ὁσίας ἕνεκα, σηπίδι' ἢ τευθίδια*. Vs. 6 *ἢ δύ'* Iacobsius. VL *ἠδύγ'*. ABP *ἠδύ*. Tum *ἐγχελύδια* B. Vulgo *ἐγχελίδια*. Vs. 7 pro *Θήβηθεν* ante Palmerium legebatur *Θήβη μέν*. Tum libri *ἔρχεται ἐκ τούτων*, quod emendavi. Vs. 9 Bergkius *τοσαῦτα*. Ibid. *ἂν ἐπέλθῃ τις* Dindorfius. Vulgo *ἐάν τις ἐπέλθῃ*. Sequutus sum Porsonum, nisi quod is *ἢν* scripsit. Vs. 10 *δέ γε* pro *λέγε* Scaliger. Ibid. B *πολυτελές*. Vs. 11 *κρέα* L *κρὲς* APV. Vs 12 *ἔθυσεν ἡ* Scaliger. Vulgo *εὐθὺς ἔνη*. Vs. 13 attigit iterum Athenaeus p. 359 d: *εἴπατέ μοι τίνι ἐννοίᾳ ὁ Ἔφιππος ἐν τοῖς προειρημένοις ἔφη Τὸ μοσχίον τὸ τῆς Κορώνης αὔριον δειπνήσομεν. ἐγὼ γὰρ οἶμαι ἱστορίαν τινὰ εἶναι καὶ ποθῶ μαθεῖν. καὶ ὁ Πλούταρχος ἔφη Ῥοδιακὴν εἶναι λεγομένην ἱστορίαν, ἣν ἐπὶ τοῦ παρόντος*

ἀποστοματίζειν ου δύνασθαι τῷ πάνυ πρὸ πολλοῦ ἐντετυχηκέναι τῷ ταῦτα περιέχοντι βιβλίῳ. Postrema inde a verbis *τὸ μοσχίον* alteri interlocutori assignavi praeeunte Dobraeo.

16 II (3, 335)

Διονυσίου δ' εἰ δράματ' ἐκμαθεῖν δέοι
καὶ Δημοφῶντος ἅττ' ἐποίησεν εἰς Κότυν,
ῥήσεις τε κατὰ δεῖπνον Θεόδωρός μοι λέγοι,
Λάχητί τ' οἰκήσαιμι τὴν ἕξῆς θύραν,
κυμβία τε παρέχοιμ' ἑστιῶν Εὐριπίδῃ.

Athenaeus XI p. 482 d: *μνημονεύει δ' αὐτοῦ* (Euripidis potatoris) . . . *καὶ Ἔφιππος ἐν Ὁμοίοις ἢ ἐν Ὀβελιαφόροις Διονυσίου κτλ.* Vs. 1 libri *Διονυσίου δὲ δράματ'*, quod correxi. Vs. 2 *ἅττ'* pro *ἅτ'* scripsit primus Petitus. Tum *Κότυν* Casaubonus pro librorum lectione *κοτύλην* restituit. Vs. 3 *Θεόδωρος* scripsi pro *Θεωρός*. V. Quaest. scen. III p. 14 et Hist. crit. p. 523 sq. Articulum, qui vulgo ante *δεῖπνον* legitur, delevit Porsonus. Vs. 4 *Λάχητί τ' οἰκήσαιμι* Porsonus. AB *ληι τοι κησαιμι.* P *λητὶ τοικήσαιμι.* VL *λητοῖ τοι κύσαιμι.* Vs. 5 vulgo *Εὐριπίδης*. Correxit Dobraeus.

ΠΕΛΤΑΣΤΗΣ

17 I (3, 336)

Τοιαῦθ' ὑθλῶν δειπνεῖ καὶ ζῇ
θαυμαζόμενος μετὰ μειρακίων,
οὐ γινώσκων ψήφων ἀριθμούς,
σεμνὸς σεμνῶς χλανίδ' ἕλκων.

Athenaeus VIII p. 347 b: *οὐκ ἀγνοῶ δ' ὅτι τὰ αὐτὰ ταῦτα* (versus dicit ex Geryone supra appositos) *εἴρηκεν ὁ Ἔφιππος κἀν Πελταστῇ τῷ δράματι, ἐν ᾧ καὶ ταῦτα ἐκείνοις ὑποτέτακται Τοιαῦθ' — ἕλκων. εἰς τίνα δὲ ταῦτ' ἀποτεινόμενος Ἔφιππος εἴρηκεν ὥρα σοι ζητεῖν, ὦ καλὲ Οὐλπιανέ, καὶ διδάσκειν ἡμᾶς.* Dicuntur haec de eodem illo Macedonum duce, de quo in superioribus egit poeta. V. Geryonis fragm. I.

18 II (3, 337)

Οὐ Μενεκράτης μὲν ἔφασκεν εἶναι Ζεὺς θεός;
Νικόστρατος δ' Ἀργεῖος ἕτερος Ἡρακλῆς;

Athenaeus VII p. 289 b: *μνημονεύει δ' αὐτῶν* (Menecratis et Nicostrati) *Ἔφιππος ἐν Πελταστῇ λέγων ὧδε Οὐ Μενεκράτης κτλ.* Vs. 1 *εἶναι Ζεὺς θεὸς* Schweighaeuserus, libri *εἶναι*

ὁ θεός. Possis forsan lenius εἶν' ὁ θεῶν θεός, ut conieci Add. ad edit. mai. 5 p. 86. Atque ita nunc etiam Bothius.

III (3, 337) 19

Ἔνθ' ὄνων ἵππων στάσεις
καὶ γεύματ' οἴνων.

Athenaeus IX p. 380 f de usu vocabuli γεῦμα disserens: *Ἔφιππος ἐν Πελταστῇ Ἔνθ' ὄνων ἵππων τε στάσεις καὶ γεύματα οἴνων.* Correxi haec, nisi malis χἵππων.

Σ Α Π Φ Ω

(3, 338) 20

Ὅταν γὰρ ὢν νέος
ἀλλότριον ἐλθὼν ὄψον ἐσθίειν μάθῃ,
ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
διδόναι νόμιζ' αὐτὸν σὺ τῆς νυκτὸς λόγον.

Athenaeus XIII p. 572 c: καλῶς δὲ περὶ τῶν τοιούτων (scil. πόρνων) *Ἔφιππος ἐν Σαπφοῖ φησιν Ὅταν γὰρ ὢν νέος κτλ.* Vs. 1 *ὢν νέος* AB *νέος ὢν* PVL *ὢν* omittit C Dobraeus *ὅταν (γὰρ) τις ὢν νέος*, ut *γὰρ* Athenaei sit. Vs. 2 *ἐλθὼν* Grotius pro *εἰσελθών*.

Φ Ι Λ Υ Ρ Α

I (3, 338) 21

Πότερον ἐγώ
τὴν βατίδα τεμάχη κατατεμὼν ἕψω; τί φής;
ἢ Σικελικῶς ὀπτὴν ποιήσω; Β. Σικελικῶς.

Athenaeus VII p. 286 e de *βατὶς* pisce: *Ἔφιππος δ' ὁ κωμῳδιοποιὸς ἐν Φιλύρᾳ δράματι (ἑταίρας δ' ὄνομα ἡ Φιλύρα)· Πότερον ἐγὼ κτλ.* Vs. 3 probabiliter Elmsleius ad Acharn. 300 *ποιῶ σοι* pro *ποιήσω*.

II (3, 339) 22

Παππία, βούλει δραμών
εἰς τὴν ἀγορὰν καταγοράσαι μοι; Β. φράζε τί.
Α. ἰχθῦς φρονοῦντας, ὦ πάτερ. μή μοι βρέφη.
Β. οὐκ οἶσθ' ὅτιὴ τἀργύριόν ἐστ' ἰσάργυρον;

Athenaeus VIII p. 358 f: ἐκφαυλίζων δὲ καὶ *Ἔφιππος τοὺς μικροὺς τῶν ἰχθύων ἐν Φιλύρᾳ φησί Παππία κτλ.* Vs. 1 *Παπία* ante Schweighaeuserum. Vs. 2 forsan *κἄτ' ἀγοράσαι*. Verba *φράζε ἰχθῦς φρονοῦντας μή μοι βρέφη* sic coniunctim scripta affert Eustathius p. 1720 54. Vs. 4 cod. A *ἐσθ' εἰσάργυρον*. PVL *ἐστ' εἰς ἄργυρον*. Correxit Heringa Observ. p. 276.

23 III (3, 339)

Ὡς σκαιὸς εἶ κἄγροικος αἰσχροεπιῶν· ἔα,
ἐπαρίστερ' ἐν τῷ στόματι τὴν γλῶτταν φορεῖς.

Athenaeus XIII p. 571 a: *ὡς σκαιὸς — φορεῖς, κατὰ τὴν Ἐφίππου Φιλύραν.* In his *ἔα, ἐπαρίστερ'* scripsit Dindorfius. *ἐ' ἀπαριστερᾶ* B *ἔἀπ' ἀριστερὸς* P *ἐπαρίστερα* A *ἐπαρίστερος* VL Iacobsius *αἰσχροεπιῶν ἀεί· ἐπαρίστερ' ἐν τῷ κτλ.*

EX INCERTIS FABVLIS

24. 25 I II (3, 339)

Φιλῶ γε πράμνιον οἶνον Λέσβιον.
Πολλὴ δὲ Λεσβία σταγὼν ἐκπίνεται.

Athenaeus I p. 28 f de Lesbio vino: *Ἔφιππος Φιλῶ γε κτλ.* Vs. 1 forsan *φιλῶ γέ τοι πράμνειον.* Vs. 3 *ἄγαν*, quod libri post *ἐκπίνεται* inferunt, fortasse e sequente Antiphanis nomine ortum est.

26 III (3, 340)

Κάρυα, ῥόας, φοίνικας, ἕτερα νώγαλα,
σταμνάριά τ' οἴνου μικρὰ τοῦ φοινικίνου,
ᾠάρια, τοιαῦθ' ἕτερα πολλὰ παίγνια.

Athenaeus I p. 29 d: *Φοινικίου δὲ οἴνου μέμνηται καὶ Ἔφιππος Κάρυα — φοινικίνου.* Idem II p. 57 e de ovis disserens: *Ἔφιππος Σταμνάριά τ' οἴνου κτλ.* Vs. 1 ante Dindorfium *ῥοιάς.* Ib. libri *φοινίκια ἕτερα νωγαλίσματα.* Quae correcta sunt ad nornam Antiphanis fragm. 65. Vs. 2 *μικρὰ* a priore loco Athenaei abest. Ibidem *φοινικίνου* scripsi pro *Φοινικικοῦ.* V. ad Epheb. I 2.

27 IV (3, 340)

Οἴνου σε πλῆθος πόλλ' ἀναγκάζει λαλεῖν.
B. οὐκοῦν μεθύοντάς φασι τἀληθῆ λέγειν.

Athenaeus II p. 38 b: *φησί που Ἔφιππος Οἴνου σε πλῆθος κτλ.*

28 V (3, 340)

Ἵν' ὥσπερ οἱ μύκητες ἀποπνίξαιμί σε.

Athenaeus II p. 61 a de *μύκησι* mortiferis disserens: *Ἔφιππος Ἵν' ὥσπερ κτλ.* Fortasse *ὡσπερεί.*

ANAXILAS

ΑΓΡΟΙΚΟΣ

(3, 341) 1

Antiatticista p. 93 18: Ἐπιτριτῶσαι, ὡς ἐπιδευτερῶσαι. Ἀναξίλας Ἀγροίκῳ.

ΑΝΤΙΔΟ···

(3, 341) 2

Antiatticista p. 103 9: Κροταλίζειν ἀντὶ τοῦ κροτεῖν. Ἀναξίλας Ἀντιδο··· De titulo fabulae cfr. Hist. crit. p. 407.

ΑΥΛΗΤΗΣ

I II (3, 341) 3. 4

Ὑδατός τε λακκαίου. Β. παρ' ἐμοῦ τουτί γέ σοι
νόμιζ' ὑπάρχειν.
Ἴσως τὸ λακκαῖόν γ' ὕδωρ ἀπόλωλέ σοι.

Athenaeus III p. 124 f: λακκαίου ὕδατος μνημονεύει Ἀναξίλας ἐν Αὐλητῇ οὕτως Ὑδατος . . . ὑπάρχειν. καὶ πάλιν Ἴσως κτλ. Vs. 1 τουτί γέ σοι] το τε γε σοι B τό τι γε σοι P. Indicavi personarum vices; ὕδατος pendet a superioribus, in quibus δεῖ adfuisse suspicor. Vs. 2 νόμιζ' ὑπάρχειν AB γένοιθ' ὑπάρχειν VL γένοιτο ὑπάρχειν P. Vs. 3 addidi σοι, cuius elementa supersunt in sequentibus verbis Athenaei ὁ Ἀπολλόδωρος δ' ὁ Γελῶος, in quibus articulus ante Ἀπολλόδωρος praeter Athenaei morem illatus est.

ΒΟΤΡΥΛΙΩΝ

I (3, 342) 5

Οὐκ ἄν γ' ἐμοὶ τουτὶ γένοιτο κεράμινον.

Pollux X 190: Ἡρόδοτος δὲ καὶ κεραμίνην κύλικα ἔφη. καὶ ὁ Ἀναξίλας ἐν Βοτρυλίωνι Οὐκ ἄν γέ μοι τουτὶ γένοιτο κεράμινον. Ita cod. Seb. Vulgo καὶ οὐκ ἂν ἐμοὶ ταυτὶ γένοιτο κεράμινα. Cod. Voss. οὐκ ἄν γε μή που τὶ γένηται. Forsan igitur οὐκ ἂν ἐμοὶ τουτὶ γένηται.

II III (3, 342) 6. 7

Antiatticista p. 113 22: Συνήλικα. Ἀναξίλας Βοτρυλίωνι. Diogenes Laert. III 28: χλευάζει δ' αὐτὸν (Platonem) καὶ Ἀναξίλας ἐν Βοτρυλίωνι καὶ Κίρκῃ καὶ Πλουσίαις.

Γ Λ Α Υ Κ Ο Σ

8 (3, 342)

Pollux IX 29: *οἱ τούτοις (δεκατωνίοις) ἐφεστηκότες, τελῶναι, ἐκλογεῖς, δεκατηλόγοι, ὡς Δημοσθένης, ὡς δὲ Ἀναξίλας ἐν Γλαύκῳ δεκατῶναι.*

Ε Υ Α Ν Δ Ρ Ι Α

9 (3, 342)

Καὶ τὰς παλαίστρας σοι μὰ τὴν γῆν μὴ σύγε
δῷς, ἀλλ' ἀπόδος. Β. καὶ δὴ φέρουσ' ἐξέρχομαι.

Athenaeus VI p. 224 a de usu verborum *δοῦναι* et *ἀποδοῦναι* disserens: *Ἀναξίλας δ' ἐν Εὐανδρίᾳ Καὶ τὰς κτλ.* Casaubonus pro *παλαίστρας σοι* scribebat *παλάθας ἐμοί.* Qui si recte *παλάθας* coniecit, locum ita refinxerim: *Καὶ τὰς παλάθας δώσω. Β. μὰ τὴν γῆν μὴ σύγε —*

Κ Λ Λ Υ Ψ Ω

10 I (3, 343)

Ῥύγχος φορῶν ὕειον ἠσθόμην τότε.

Athenaeus III p. 95 b de voce *ῥύγχος* agens: *Ἀναξίλας — ἐν Καλυψοῖ Ῥύγχος φορῶν κτλ.*

11 II (3, 343)

Παραγεύσεταί σοι πρῶτον ἡ γραῦς τοῦ ποτοῦ.

Athenaeus IV p. 171 f: *Ἀναξίλας δ' ἐν Καλυψοῖ φησίν Παραγεύσεται κτλ.*

Κ Ι Ρ Κ Η

12 · I (3, 343)

Τοὺς μὲν ὀρειονόμους ὑμῶν ποιήσει δέλφακας ἠλιβάτους,
τοὺς δὲ πάνθηρας, ἄλλους ἀγρώστας λύκους,
λέοντας.

Athenaeus IX p. 374 f: *Ἀναξίλας δ' ἐν Κίρκῃ καὶ ἀρσενικῶς εἴρηκε τὸν δέλφακα καὶ ἐπὶ τελείου τέθεικε τοὔνομα εἰπών Τοὺς μὲν ὀρειονόμους κτλ.* Vs. 1 libri *ὀρεινόμους.* Correxi Hist. crit. p. 299. Atque ita etiam Bergkius Comm. p. 404. Ibid. *ὑλιβάτους* ABP *ὑληβάτας* C *ὑλιβάτας* Casaubonus ex epit. *ἀλιβάτους* VL. Scripsi *ἠλιβάτους.* Cfr. Antiph. fr. 131. Vs. 3 malim *καὶ λέοντας* vel *ἢ λέοντας*, ut cretici continuentur.

13 II (3, 344)

Δεινὸν μὲν γὰρ ἔχονθ' ὑός
ῥύγχος, ὦ φίλε Κινησία.

Athenaeus III p. 95 b vocis *ῥύγχος* exempla afferens: *Ἀναξίλας δ' ἐν Κίρκῃ Δεινὸν μὲν γὰρ κτλ.* Forsan *Κνησία* scribendum.

III (3, 344) 14

Diogenes Laert. III 28: *χλευάζει δ' αὐτὸν* (Platonem) *καὶ Ἀναξίλας ἐν Βοτρυλίωνι καὶ Κίρκῃ καὶ Πλουσίαις.*

ΛΥΡΟΠΟΙΟΣ

I (3, 345) 15

Ξανθοῖς τε μύροις χρῶτα λιπαίνων,
χλανίδας θ' ἕλκων, βλαύτας σύρων,
βολβοὺς τρώγων, τυροὺς κάπτων,
ᾠὰ κολάπτων, κήρυκας ἔχων,
Χῖον πίνων, καὶ πρὸς τούτοις
ἐν σκυταρίοις ῥαπτοῖσι φορῶν
Ἐφεσήια γράμματα καλά.

Athenaeus XII p. 548 c: *διὸ πρεπόντως ἄν τις εἴποι τῷ σοφῷ τούτῳ φιλοσόφῳ* (Anaxarchum dicit) *τὰ ἐκ τοῦ Ἀναξίλα Λυροποιοῦ Ξανθοῖς κτλ.*

II (3, 345) 16

Ἐγὼ δὲ βαρβίτους τριχόρδους, πηκτίδας,
κιθάρας, λύρας, σκινδαψὸν ἐξηρτυόμαν.

Athenaeus IV p. 183 b: *μνημονεύει δ' αὐτοῦ* (*τοῦ σκινδαψοῦ*) — *καὶ Ἀναξίλας ἐν Λυροποιῷ Ἐγὼ δὲ κτλ.* Vs. 1 fortasse post *βαρβίτους* distinguendum, ut *τρίχορδοι* substantivum sit: quamquam legitimam formam *τὸ τρίχορδον* esse scio. Itaque malim *τρίχορδον*. Vs. 2 *σκινδαψούς* ante Bernhardium Eratosth. p. 139. Pro *ἐξηρτυόμαν* nescio an praestet *ἐξήρτυον ἄν*. Bernhardius *ἐξηρτυόμην*.

III (3, 346) 17

Πῶς ἔχεις; ὡς ἰσχνὸς εἶ;
Β. ἀπόλλυμαι. τρέφω γὰρ ἐν ἀγρῷ χωρίον.

Stobaeus Floril. LVII 4 cum lemmate *Ἀναξιλάου ἐκ Λυροποιοῦ*. Vs. 1 *παῖς* pro *πῶς* A *ὡς* Trinc. Ibid. *ἰσχνὸς* Valckenarius pro *ἴσχανος*.

IV (3, 346) 18

Ἐν τοῖς βαλανείοις οὐ τίθεται λουτήρια.

Pollux VII 167: *Ἀναξίλας δὲ οὕτως* (*λουτήρια*) *ὀνομάζει τοὺς νῦν λουτῆρας ἐν Λουτροποιῷ λέγων Ἐν τοῖς κτλ.* Deest

vulgo *ἐν*, quod suppletum ex X 46: *ἐπὶ δὲ τῶν νῦν λουτήρων Ἀναξίλας ἐν Λουτροποιῷ Ἐν τοῖς βαλανείοις οὐ τίθενται λουτήρια.* Cfr. Hist. crit. p. 408.

M A Γ E I P O I

19 (3, 346)

Τῶν Αἰσχύλου πολὺ μᾶλλον εἶναί μοι δοκεῖ
ἰχθύδι' ὀπτᾶν. Β. τί σὺ λέγεις; ἰχθύδια;
συσσίτιον μέλλεις νοσηλεύειν; ὅσον
ἀκροκώλι' ἔψειν ἐστί, ῥύγχη, πόδας.

Athenaeus III p. 95 a: *ποδῶν δὲ καὶ ὠτίων, ἔτι δὲ ῥύγχους Ἄλεξις (μνημονεύει) — Ἀναξίλας Μαγείροις Τῶν Αἰσχύλου κτλ.* Vs. 1 Dobraeus *πολὺ μεῖζον*, quod verum videtur. Vs. 4 libri *ἕψειν*. Ib. *ἐστὶ* omittunt BP. Suspiceris *ἀκροκώλι' ἕψειν ἐστὶ κρεῖττον, ῥυγχία,* | *πόδας*. Cfr. Theophilus Pancrat. I 2: *ῥυγχίον, κωλῆν, πόδας τέτταρας ὑείους.*

M O N O T R O Π O Σ

20 (3, 347)

Τοῦ κεστρέως κατεδήδοκεν τὸ κρανίον
ἀναρπάσας Μάτων, ἐγὼ δ' ἀπόλλυμαι.

Athenaeus VII p. 307 c: *Ἀναξίλας ἐν Μονοτρόπῳ Μάτωνα τὸν σοφιστὴν ἐπὶ γαστριμαργίᾳ διαβάλλων φησί Τοῦ κεστρέως κτλ.* Idem locus VIII p. 342 d.

N E O T T I Σ

21 I (3, 347. 348)

Ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησε πώποτε,
οὗ γένος τίς ἂν δύναιτο παρανομώτερον φράσαι;
τίς γὰρ ἢ δράκαιν' ἄμικτος, ἢ Χίμαιρα πύρπνοος,
ἢ Χάρυβδις, ἢ τρίκρανος Σκύλλα, ποντία κύων,
Σφίγξ, ὕδρα, λέαιν', ἔχιδνα, πτηνά θ' Ἁρπυιῶν γένη,
εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους;
οὐκ ἔνεσθ', αὗται δ' ἁπάντων ὑπερέχουσι τῶν κακῶν.
ἔστι δὲ σκοπεῖν ἀπ' ἀρχῆς πρῶτα μὲν τὴν Πλαγγόνα,
ἥτις ὥσπερ ἡ Χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους.
εἷς μόνος δ' ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο·
πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ' ἐκ τῆς οἰκίας.
οἱ Σινώπῃ δ' αὖ συνόντες οὐχ ὕδρᾳ σύνεισι νῦν;
γραῦς μὲν αὕτη, παραπέφυκε δ' ἡ Γνάθαινα πλησίον·
ὥστ' ἀπαλλαγεῖσι ταύτης ἐστὶ διπλάσιον κακόν.

ἦ δὲ Νάννιον τί νυνὶ διαφέρειν Σκύλλης δοκεῖ;
οὐ δύ' ἀποπνίξασ' ἑταίρους τὸν τρίτον θηρεύεται
ἔτι λαβεῖν; ἀλλ' ἐξέπαισε πορθμὶς ἐλατίνῳ πλάτῃ.
ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ,
τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ' αὐτῷ σκάφει;
ἡ Θεανὼ δ' οὐχὶ Σειρὴν ἐστιν ἀποτετιλμένη;
βλέμμα καὶ φωνὴ γυναικός, τὰ σκέλη δὲ κοψίχου.
Σφίγγα Θηβαίαν δὲ πάσας ἔστι τὰς πόρνας καλεῖν,
αἳ λαλοῦσ' ἁπλῶς μὲν οὐδέν, ἀλλ' ἐν αἰνιγμοῖς τισιν,
ὡς ἐρῶσι καὶ φιλοῦσι καὶ σύνεισιν ἡδέως.
εἶτα τετράπους μοι γένοιτο, φησί, τήνπρος ἢ θρόνος·
εἶτα δὴ τρίπους τις, εἶτα, φησί, παιδίσκη δίπους.
εἶθ' ὁ μὲν γνοὺς ταῦτ' ἀπῆλθεν εὐθὺς ὥσπερ Οἰδίπους,
οὐδ' ἰδεῖν δόξας ἐκείνην, σώζεται δ' ἄκων μόνος.
οἱ δ' ἐρᾶσθαι προσδοκῶντες εὐθύς εἰσιν ἠρμένοι,
καὶ φέρονθ' ὑψοῦ πρὸς αἴθραν. συντεμόντι δ' οὐδὲ ἓν
ἔσθ' ἑταίρας ὅσα περ ἔστι θηρί' ἐξωλέστερον.

Athenaeus XIII p. 558 a: *Ἀναξίλας δ' ἐν Νεοττίδι φησίν Ὅστις κτλ.* Ex Athenaeo partem loci inde a vs. 1—8 repetiit Eustathius ad Hom. p. 1714 38 sqq. In fine eius versus, qui primum versum praecedebat, fuisse videtur *ὡς τρισάθλιος* vel simile quid. Vs. 2 *οὖ* Wyttenbachius, *οὐ* PVL et Eustathius. *τίς* om. C et epit. Hoesch. et Eustath. *παρανομώτερον* Grotius, libri *παρανομώτατον*. Vs. 3 *τίς* Grotius; vulgo *τί*. Ibid. vulgo *πυρπνόος*, Eustathius *πύρπνος*. Vs. 8 *Πλάγονα* C. Vs. 10 *μόνος δ'* ABC *μόνος δὲ* C *δὲ μόνος* PVL. Vs. 14 *ὥστ' ἀπαλλαγεῖσι ταύτης* Dobraeus, libri *ὡς τὰ πολλά γ' εἰσὶ ταύτης*. Vs. 15 *Νάννιον τί* AB et epit. Hoesch. *Ναννὼ τί* VL *Ναννὼ... τί* P. Tum *νυνὶ* Iacobsius. *νῦν* PVL, om. B *νῦν δὴ* Grotius. *δὴ νῦν* Porsonus. Vs. 17 *ἐξέπεσε* ante Casaubonum. Vs. 23 *λαλοῦσ'* L *λαβοῦσ'* ABPV *λαβοῦσαι* C *ἀλλ' ἐν* AC *ἐν* om. BPVL *αἰνιγμοῖς* BC *αἰνίγμασιν* PVL. Post vs. 24 nescio an aliquid exciderit. Vs. 25 et 26 adscripsi ut leguntur in ABC "qui non nisi uno verbo inter se differunt. nam *τὴν πρὸς* scriptum in B, *τήνπρος* in A, *σκίμπους* in C, quae perinde corrupta." Dindorfius. Pro *τήνπρος* Hermannus *κλισμός*. Dobraeus, *εἶτά μοι σκίμπους γένοιτο, φησί, τετράπους ἢ θρόνος*. Vs. 27 *εἶτα* B. Tum libri *ὥσπερ γ'* omisso *Οἰδίπους*. Emendavit Grotius. Vs. 28 Iacobsius *μόλις*, quod nec ipsum necessarium. Vs. 29 *προσδοκῶντες* ABC *προσδοκοῦντες* PVL.

22 II (3, 350)

Ἐὰν δέ τις μέτρια λέγουσα . . . .
τοῖς δεομένοις τινῶν ὑπουργῇ πρὸς χάριν,
ἐκ τῆς ἑταιρίας ἑταίρα τοὔνομα
προσηγορεύθη· καὶ σὺ νῦν οὐχ ὡς λέγεις
πόρνης, ἑταίρας δ' εἰς ἔρωτα τυγχάνεις
ἐληλυθώς· ἆρ' ὡς ἀληθῶς ἐστι γοῦν
ἁπλῆ τις; B. ἀστεία μὲν οὖν, νὴ τὸν Δία.

Athenaeus XIII p. 572 b: *Ἀναξίλας Νεοττίδι Ἐὰν κτλ.* Vs. 1 C *λέγουσι.* Vs. 2 epit. Hoesch. *δυναμένοις.* Pro *τινῶν* B *τινός.* Vs. 3 *ἑταίρας* PV. Malim *ἑταιρείας.* Vs. 6 *ἆρ' ὡς* Schweighaeuseri editio. *ἄρ' ὡς* VL *ἄρα οὐκ* P, qui *ὡς* deleto *οὐκ* in margine habet. Dindorfius. Non credo locum persanatum esse.

N H P E Y Σ

23 (3, 351)

Καί τοι πολύ γ' ἔσθ' ἥδιον· οὐ γὰρ ἄν ποτε
ἔπινον ἂν τρὶς ὕδατος, οἴνου δ' ἓν μόνον.

Athenaeus X p. 426 c de variis vini miscendi generibus disserens: *διὸ καὶ Ἀναξίλας ἐν Νηρεῖ ἔφη Καί τοι κτλ.* Vs. 2 *ἂν* addidit Porsonus. Tum *τρὶς* AB *τρεῖς* VL.

O P N I Θ O K O M O I

24 (3, 351)

Καὶ πρὸς ἐπὶ τούτοις τιθασὸς οἰμώζων ταῶς.

Athenaeus XIV p. 655 a: *Ἀναξίλαος Ὀρνιθοκόμοις Καὶ πρὸς κτλ.* Pro *τιθασὸς* AP *τίθασος.*

Π Λ O Y Σ I O I

25 I (3, 351)

Διαρραγήτω χἄτερος δειπνῶν τις εὖ,
μὴ Κτησίας μόνος. B. τί γάρ σε κωλύει;
Α. δείπνου γὰρ οὗτος, ὡς λέγουσιν οἱ σοφοί,
ἀρχήν, τελευτὴν δ' ἔμαθεν οὐδεπώποτε.

Athenaeus X p. 416 e: *Ἀναξίλας δὲ ὁ κωμικὸς περὶ Κτησίου διαλεγόμενος — κἀν Πλουσίοις Διαρραγήτω κτλ.* Aelianus V. H. I 27: *καὶ Κτησίαν δέ φησί τινα Ἀναξίλας ὁ τῆς κωμῳδίας ποιητὴς πολλὰ ἐσθίειν.* Vs. 1 Iacobsius *δειπνῶν τις, εἰ μὴ Κτησίας μόνος,* sequente Dindorfio. An *δειπνῶν τις, οὐ μὴ Κτησίας μόνος*?

II (3, 352) 26

Diogenes Laert. III 28: *χλευάζει δ' αὐτὸν* (Platonem) *καὶ Ἀναξίλας ἐν Βοτρυλίωνι καὶ Κίρκῃ καὶ Πλουσίαις* (sic).

ΥΑΚΙΝΘΟΣ ΠΟΡΝΟΒΟΣΚΟΣ

I (3, 352) 27

Ἡ μουσικὴ δ' ὥσπερ Λιβύη πρὸς τῶν θεῶν
ἀεί τι καινὸν κατ' ἐνιαυτὸν θηρίον
τίκτει.

Athenaeus XIV p. 623 e: *διόπερ καὶ Ἀναξίλας ἐν Ὑακίνθῳ φησίν Ἡ μουσικὴ κτλ.* Ex Athenaeo repetiit Eustathius ad Hom. p. 1422 57. Vs. 2 libri *τίκτει θηρίον.* Correxit Morellus ad Dion. Chrys. vol. II p. 572 Rsk.

II III (3, 352) 28. 29

Ἐγὼ δ' ἰὼν ὀψάριον ὑμῖν ἀγοράσω.
Σκεύαζε, παῖ, τοὐψάριον ἡμῖν.

Athenaeus IX p. 385 e: *Ἀναξίλας Ὑακίνθῳ πορνοβοσκῷ Ἐγὼ — ἀγοράσω. καὶ μετ' ὀλίγα Σκεύαζε κτλ.* Vs. 1 δ' ἰὼν Porsonus. *δίων* A *διὼν* P *δι' ὢν* VL.

ΧΑΡΙΤΕΣ

(3, 353) 30

Οὐκ ἐτὸς ἐρωτῶσίν με προσιόντες τινές,
ὄντως ὁ Κραναὸς Κτησίου κατεσθίει
ἔλαττον, ἢ δειπνοῦσιν ἀμφότεροι συχνά;

Athenaeus X p. 416 e: *κἀν Χάρισι δὲ Κραναόν τινα συγκαταλέγει οὕτως αὐτῷ* (Ctesiae helluoni) *Οὐκ ἐτὸς κτλ.* Vs. 1 ante Dindorfium legebatur *ἐρωτῶσι προσιόντες.*

ΧΡΥΣΟΧΟΟΣ

(3, 353) 31

Ἤδη σχεδόν τι πάντα σοι· πλὴν Κτησίου . . .
δείπνου γὰρ οὗτος, ὡς λέγουσιν οἱ σοφοί,
ἀρχήν, τελευτὴν δ' οὐκ ἐπίσταται μόνος.

Athenaeus X p. 416 d: *Ἀναξίλας δὲ ὁ κωμικὸς περὶ Κτησίου τινὸς διαλεγόμενος ἐν Χρυσοχόῳ δράματί φησιν Ἤδη κτλ.* Vs. 1 *τι* Dindorfius ex B. Vulgo *τοι.* Distinxi post *σοι* et indicavi lacunam.

Ω P A I

32 (3, 353)

Photius p. 244 23. *Μᾶλλον μᾶλλον: ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον — Ἀναξίλας Ὧραις, Ἄλεξις Πεζονίκῃ.* Eadem Suidas.

EX INCERTIS FABVLIS

33 I (3, 353)

Οἱ κόλακές εἰσι τῶν ἐχόντων οὐσίας
σκώληκες. εἰς οὖν ἄκακον ἀνθρώπου τρόπον
εἰσδὺς ἕκαστος ἐσθίει καθήμενος,
ἕως ἂν ὥσπερ πυρὸν ἀποδείξῃ κενόν.
ἔπειθ' ὁ μὲν λέμμ' ἐστίν, ὁ δ' ἕτερον δάκνει.

Athenaeus VI p. 254 c: *οἱ (κόλακες) ζῶντας ἔτι τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν κατεσθίουσι. φησὶ γοῦν καὶ Ἀναξίλας Οἱ κόλακες κτλ.* Hinc petiit Eustathius p. 952 51. Vs. 1 *οἱ* C et Eustathius. PVL *ἔνιοι.* In litteris *ενι* Dindorfius fabulae nomen latere suspicatur, veluti *ἐν Νηρεῖ.* Ipse suspicabar *ἐν Ἰοῖ.* Vs. 2 pro *οὖν* B *οὓς.* Vs. 3 P *δύς.* Vs. 5 *ἕτερον δάκνει* Casaubonus. Libri *ἑτεροδακνεῖ.*

34 II (3, 354)

Ἀπιστότερος εἶ τῶν κοχλιῶν πολλῷ πάνυ,
οἳ περιφέρουσ' ὑπ' ἀπιστίας τὰς οἰκίας.

Athenaeus II p. 63 a: *Ἡσίοδος δὲ τὸν κοχλίαν φερέοικον καλεῖ. καὶ Ἀναξίλας δὲ Ἀπιστότερος κτλ.*

35 III (3, 354)

Τὰ δὲ σφύρ' ᾠδει μᾶλλον ἢ σικυὸς πέπων.

Athenaeus II p. 68 d: *Ἀναξίλας Τὰ δὲ σφύρ' ᾠδει κτλ.* Hinc habet Eustathius p. 211 14.

36 IV (3, 354)

Καὶ πῶς γυνή,
ὥσπερ θάλαττα, νῆσον ἀμφιέννυται;

Pollux VII 52: *τὰ δὲ περίνησα πρόχροσσόν ἐστι περίβλημα ἔχον τὰ νήματα ἐξηρτημένα, ἢ πορφύρα κύκλῳ τὰ τέλη τοῦ ὑφάσματος περιέρχεται νήσου σχῆμα ποιοῦσα τῇ περιρροῇ τοῦ χρώματος. καὶ τοῦτ' ἴσως νῆσον Ἀναξίλας ἀπεκάλει, εἰ μὴ ἕτερόν τι ὕφασμα δηλοῖ, ὅταν εἴπῃ Καὶ πῶς κτλ.* Pro *θάλαττα* libri *θάλατταν.*

37 V (3, 355)

Φέρ' αὖτ' ἀνύσας. Β. ἀλλ' ἐστὶ πενθηρὸν πάνυ.

Draco metr. p. 75 5: *εἴρηται πενθηρὸς διὰ τοῦ η, ὥσπερ*

ἐπὶ τοῦ ἱματίου μέλανος, ὡς τὸ Φέρ' αὖ τανύσας, ἀλλ' ἐστὶ πενθηρὸν πάνυ. οὕτω γὰρ ἔφη Ἀναξίλας. Correxi iam olim Quaest. scen. III p. 34, firmante nunc Herodiano apud Cramerum Anecd. Ox. III p. 294.

VI (3, 355) 38

Τὴν Ἑκτόρειον τὴν ἐφίμερον κόμην.

Pollux II 29: *ἐκαλεῖτο δέ τις κουρὰ καὶ Ἑκτόρειος κόμη, περὶ ἧς φησιν Ἀναξίλαος Τὴν Ἑκτόρειον τὴν ἐφήμερον κόμην, ἣν Τίμαιος προεστάλθαι μὲν περὶ τὸ μέτωπον λέγει, περικεχύσθαι δὲ τῷ τραχήλῳ.*

VII (3, 355) 39

Ἡμεῖς δέ γε κτενίζομεν Τελέσιππον οἰκόσιτον.

Pollux II 34: *καὶ διεκτενισμένοι μὲν εἴρηκεν Ἀρχίλοχος, καὶ Ἀναξίλαος* (Falckenb. *Ἀναξίλας*) *Ἡμεῖς δέ γε κτλ.*

VIII (3, 355) 40

Athenaeus XI p. 784 a: *Ἀργυρίς. εἶδος ποτηρίου οὐ μόνον ἐξ ἀργύρου. Ἀναξίλας καὶ πίνειν ἐξ ἀργυρίδων χρυσῶν.* Hinc petiit Eustathius ad Iliad. p. 1205 54.

IX—XII (3, 355) 41—44

Etymol. M. p. 794 19: *φιλοδεσποτεύομαι. οὕτως Ἀναξίλας.* Eadem Photius p. 648 3. Pollux II 27: *καὶ παρὰ Ἀναξίλᾳ ἐβοστρύχιζον.* Suidas et Grammat. Bekk. p. 408 9: *Ἀντίχρισις: ἀντὶ τοῦ ἀπόχρισις. οὕτως Ἀναξίλας.* Idem *Ψηλαφίζει: ἀντὶ τοῖ ψηλαφᾷ. οὕτως Ἀναξίλας.*

ARISTOPHON

BABIAΣ

(3, 356) 1

Σαφὴς ὁ χειμών ἐστι· τῆς πενίας λύχνος
ἅπαντα φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ.

Stobaeus Floril. XCVI 19 in titulo de paupertate, cum lemmate *Ἀριστοφῶντος Βαβίου.* Vs. 1 ante Grotium *ὁ λύχνος.* Gaisfordus, *ὁ τῆς πενίας λύχνος.* Forsan *χειμών ἐστιν· ἡ πενία λύχνος κτλ.* ut paupertas lucernae instar omnia mala manifestare dicatur.

ΔΙΔΥΜΟΙ Η ΠΥΡΑΥΝΟΣ

(3, 356)

Ἔπειθ' ἡπάτια καὶ νῆστίν τινα
προσέθηκεν, οἶμαι, πεντέχαλκον προσλαβών.

Pollux IX 70: *καὶ πεντέχαλκον δὲ τοὺς πέντε χαλκοῦς ὠνομασμένους εὕρομεν ἐν τοῖς Ἀριστοφῶντος Διδύμοις ἢ Πυρανύνῳ Ἔπειθ' ἡπάτια κτλ.* Vulgo *συλλαβών*. Duo codices *προσλαβών*.

ΙΑΤΡΟΣ

I (3, 357)

Βούλομαι δ' αὐτῷ προειπεῖν οἷός εἰμι τοὺς τρόπους.
ἄν τις ἑστιᾷ, πάρειμι πρῶτος, ὥστ' ἤδη πάλαι
. . . ζωμὸς καλοῦμαι. δεῖ τιν' ἆρασθαι μέσον
τῶν παροινούντων, παλαιστὴν νόμισον Ἀργεῖόν μ' ὁρᾶν.
προσβαλεῖν πρὸς οἰκίαν δεῖ, κριός· ἀναβῆναί τι πρός
κλιμάκιον . . Καπανεύς, ὑπομένειν πληγὰς ἄκμων,
κονδύλους πλάττειν δὲ Τελαμών, τοὺς καλοὺς πειρᾶν καπνός.

Athenaeus VI p. 238 b de parasitis disserens: *Ἀριστοφῶν δ' ἐν Ἰατρῷ φησι Βούλομαι κτλ.* Vs. 1 Schweighaeuserus *αὐτός*. Vs. 3 Grotius addidit *παρὰ νέων*. Vs. 4 *Ἀργεῖον* Grotius: libri *αὐταργεῖον, ἀνταργεῖον* et *αὐτάργειον*. Vs. 5 *προσβαλεῖν* Grotius. Vulgo *προσβαίνειν*. AP *προσβάδην*. Vs. 5 et 6 Eustathius p. 1951 40 *ἀναβῆναι πρὸς κλιμάκιόν εἰμι Καππανεύς* (sic). Vs. 7 Schweighaeuserus *κονδύλοις πλήττειν*.

II (3, 358)

Αἱ τῶν ἑταιρῶν γὰρ διοπτευθεῖς οἰκίαι
γεγόνασιν ἄβατοι τοῖς ἔχουσι μηδὲ ἕν.

Stobaeus Floril. VI 27 cum lemmate *Ἀριστοφῶντος Ἰατροῦ*.

ΚΑΛΛΩΝΙΔΗΣ

(3, 359)

Κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερος
θνητῶν· ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·
οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακὸν
ἐλάμβανεν γυναῖχ'· ὁ δ' ὕστερον λαβὼν
εἰς προὔπτον εἰδὼς αὐτὸν ἐνέβαλεν κακόν.

Athenaeus XIII p. 559 d: *Ἀριστοφῶν δ' ἐν Καλλωνίδῃ Κακὸς κτλ.*

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

(3, 359) 6

Αἰσχρὸν γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα.

Stobaeus Floril. XCVI 21 cum lemmate *Ἀριστοφῶντος*. Ita certe Trincavellus. At cod. A *τοῦ αὐτοῦ Παρακαταθήκης*. Ita Menandri fuerit, cuius proxime locus praecedit.

ΠΕΙΡΙΘΟΥΣ

(3, 359) 7

Καὶ μὴν διέφθαρταί γε τοὔψον παντελῶς·
κλεῖδες μὲν ὀπταὶ δύο παρεσκευασμέναι.
Β. αἷς τὰς θύρας κλείουσιν; Α. οὔ· θύννου μὲν οὖν.
Β. σεμνὸν τὸ βρῶμα. Α. καὶ τρίτη Λακωνική.

Athenaeus VII p. 303 a: *ἐπῄνουν δὲ τῶν θύννων καὶ τὰς κλεῖδας καλουμένας, ὡς Ἀριστοφῶν ἐν Πειρίθῳ Καὶ μὴν κτλ.* Ex Athenaeo profecit Eustath. p. 1108 21. Vs. 3 scripsi *κλείουσιν; οὔ· θύννου*. Libri *κλείουσι; θύννου*. Iacobsius et Dindorfius *κλείουσι; τοῦ θύννου*.

ΠΛΑΤΩΝ

(3, 360) 8

Ἐν ἡμέραις τρισίν
ἰσχνότερον αὐτὸν ἀποφανῶ Φιλιππίδου.
Β. οὕτως ἐν ἡμέραις ὀλίγαις νεκροὺς ποιεῖς;

Athenaeus XII p. 552 e de Philippidis macilentia disserens: *Ἀριστοφῶν Πλάτωνι Ἐν ἡμέραις κτλ.* Cfr. Eustath. p. 1646 16. Vs. 1 et 2 libri *ἐν ἡμέραις αὐτὸν τρισὶν ἰσχνότερον ἀποφανῶ*. Correxit Porsonus. Vs. 3 *ὀλίγαις ἡμέραις*?

ΠΥΘΑΓΟΡΙΣΤΗΣ

I (3, 360. 361) 9

Πρὸς μὲν τὸ πεινῆν ἐσθίειν τε μηδὲ ἓν
νόμιζ' ὁρᾶν Τιθύμαλλον ἢ Φιλιππίδην.
ὕδωρ δὲ πίνειν βάτραχος, ἀπολαῦσαι θύμων
λαχάνων τε κάμπη, πρὸς τὸ μὴ λοῦσθαι ῥύπος,
ὑπαίθριος χειμῶνα διάγειν κόψιχος,
πνῖγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν
τέττιξ, ἐλαίῳ μήτε χρῆσθαι μήθ' ὁρᾶν
κονιορτός, ἀνυπόδητος ὄρθρου περιπατεῖν
γέρανος, καθεύδειν μηδὲ μικρὸν νυκτερίς.

Athenaeus VI p. 238 c de parasitis agens: *κἀν Πυθαγοριστῇ δέ φησι Πρὸς μὲν τὸ πεινῆν κτλ.* Inde a tertio versu locum ex Athenaeo repetivit Eustathius p. 1951 41. Vs. 6 B *λαλεῖν τε.* Vs. 7 libri *μήτε ὁρᾶν.*

10 II (3, 361)

Εἶτ᾽ οὐ δικαίως ἔστ᾽ ἀπεψηφισμένος
ὑπὸ τῶν θεῶν τῶν δώδεχ᾽ εἰκότως τ᾽ Ἔρως;
ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων στάσεις,
ὅτ᾽ ἦν μετ᾽ αὐτῶν· ὡς δὲ λίαν ἦν θρασύς
καὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά,
ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
δεῦρ᾽ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω,
τὰς δὲ πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φορεῖν
ἔδοσαν, περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων.

Athenaeus XIII p. 563 b de Amore disserens: *Ἀριστοφῶν δ᾽ ἐν Πυθαγοριστῇ Εἶτ᾽ οὐ δικαίως κτλ.* Versu secundo *τε* post *εἰκότως* addidit Porsonus. Respicit locum Eustathius ad Hom. p. 880 5 et p. 987 22. Vs. 9 *τοῦ πολεμίου* Eustathius.

11 III (3, 362)

Πρὸς τῶν θεῶν οἰόμεθα, τοὺς πάλαι ποτέ
τοὺς Πυθαγοριστὰς γενομένους οὕτως ὑπᾶν
ἐκόντας, ἢ φορεῖν τρίβωνας ἡδέως;
οὐκ ἔστι τούτων οὐδέν, ὡς ἐμοὶ δοκεῖ·
ἀλλ᾽ ἐξ ἀνάγκης, οὐκ ἔχοντες οὐδὲ ἕν,
τῆς εὐτελείας πρόφασιν εὑρόντες καλήν
ὅρους ἔπηξαν τοῖς πένησι χρησίμους.
ἐπεὶ παράθες αὐτοῖσιν ἰχθῦς ἢ κρέας,
κἂν μὴ κατεσθίωσι καὶ τοὺς δακτύλους,
ἐθέλω κρέμασθαι δεκάκις.

Athenaeus IV p. 161 e: *Ἀριστοφῶν δ᾽ ἐν Πυθαγοριστῇ Πρὸς τῶν θεῶν κτλ.* Respicit locum Eustathius p. 1553 30 afferens verba: *τί ποτε οἰόμεθα τοὺς πάλαι ποτὲ Πυθαγοριστὰς ὑπᾶν.* Ac *τί ποτε* ante *οἰόμεθα* addit etiam C. Pro *οἰόμεθα* cod. P *οἰώμεθα.* Vs. 1 *τοὺς πάλαι ποτέ* vix aptum ad loci sententiam. Vs. 2 ante Grotium *γινομένους.* Praestat forsan *λεγομένους.* Vs. 8 libri *αὐτοῖς.*

12. 13 IV V (3, 362. 363)

Ἔφη τε καταβὰς εἰς δίαιταν τῶν κάτω
ἰδεῖν ἑκάστους, διαφέρειν δὲ πάμπολυ

τοὺς Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γάρ
τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη,
διὰ εὐσέβειαν. Β. εὐχερῆ θεὸν λέγεις,
εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών . . .
Ἐσθίουσι δέ
λάχανά τε καὶ πίνουσιν ἐπὶ τούτοις ὕδωρ·
φθεῖρας δὲ καὶ τρίβωνα τήν τ' ἀλουσίαν
οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

Diogenes Laert. VIII 38: *Ἀριστοφῶν Πυθαγοριστῇ Ἔφη τε — ἥδεται ξυνών. Ἔτι ἐν τῷ αὐτῷ Ἐσθίουσι κτλ.* Eadem leguntur apud Suidam s. v. *Πυθαγόρας*, qui Diogenem exscripsit. Vs. 1 *ἔφη τε* abest apud Suidam. Idem pro *τῶν κάτω* habet *αὐτῶν κάτω*. Vs. 7 et 8 apud Suidam ita scripti, *λάχανά τε γὰρ κατέδονται καὶ πίνουσιν* etc., cum superioribus connectuntur. Scripsi autem *ἐσθίουσι δὲ* pro *ἐσθίουσί τε* cum Casaubono. Vs. 9 Suidas *τρίβωνας, τὴν ἀλουσίαν.*

ΦΙΛΩΝΙΔΗΣ

(3, 363) 14

Τοιγαροῦν ἐμοὶ μὲν ἀρτίως ὁ δεσπότης
δι' ἀρετὴν τῶν Θηρικλείων εὐκύκλωτον ἀσπίδα,
ὑπεραφρίζουσαν, τρυφῶσαν, ἴσον ἴσῳ κεκραμένην,
προσφέρων ἔδωκεν, οἶμαι, χρηστότητος οὕνεκα.
εἶτ' ἐλευθέραν ἀφῆκε βαπτίσας ἐρρωμένως.

Athenaeus XI p. 472 c de Thericleis poculis disserens: *Ἀριστοφῶν δ' ἐν Φιλωνίδῃ Τοιγαροῦν κτλ.*

EX INCERTIS FABVLIS

I (3, 364) 15

Τὸ τέλος ἅπασίν ἐστι τοῖς πτωχοῖσι νύξ·
ἐπισκοτεῖ γὰρ τοῖς κακοῖσι πανταχοῦ.

Stobaeus Floril. XCVI 23 cum lemmate *Ἀριστοφῶντος*. Locus forsitan ad Babiam referendus est.

II (3, 364) 16

Athenaeus II p. 63 a: *Ἀντιφάνης δὲ διὰ τοῦ π φησὶν ἀσπάραγον — Ἀριστοφῶν Κάππαριν, βληχώ, θύμον, ἀσπάραγον, πίτταν, ῥάμνον, σφάκελον, τύμπανον.* Pro *πίτταν* Schweighaeuserus *γήτιον* (*γήτειον*), Bodaeus ad Theophr. p. 638 *πίννν*. Idem Bodaeus pro *ῥάμνον* coniecit *ῥάφανον, σφακόν* (*σφάκον*) pro *σφάκελον, πήγανον* pro *τύμπανον.*

EPICRATES

AMAZONES

1 (3, 365)

Δεδειπνάναι γὰρ ἄνδρες εὐκαίρως πάνυ
δοκοῦσί μοι.

Athenaeus X p. 422 f de verbo δεδειπνάναι agens: *Ἐπικράτης ὁ Ἀμβρακιώτης — ἐν Ἀμαζόσιν Δεδειπνάναι κτλ.* Libri ἄνδρες.

ANTILAIS

2. 3 I II (3, 365. 366)

Τὰς μὲν γὰρ ἄλλας ἔστιν αὐλούσας ἰδεῖν
αὐλητρίδας πάσας Ἀπόλλωνος νόμον,
. . . . . Διὸς νόμον·
αὗται δὲ μόνον αὐλοῦσιν Ἱέρακος νόμον . . .
Λύτη δὲ Λαΐς ἀργός ἐστι καὶ πότις,
τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν κἀσθίειν
μόνον· πεπονθέναι δὲ ταὐτά μοι δοκεῖ
τοῖς ἀετοῖς· οὗτοι γὰρ ὅταν ὦσιν νέοι,
ἐκ τῶν ὀρῶν πρόβατ' ἐσθίουσι καὶ λαγώς
μετέωρ' ἀναρπάζοντες ὑπὸ τῆς ἰσχύος·
ὅταν δὲ γηράσκωσιν ἤδη τότε [θεῶν]
ἐπὶ τοὺς νεὼς ἵζουσι πεινῶντες κακῶς·
κἄπειτα τοῦτ' εἶναι νομίζεται τέρας.
καὶ Λαΐς ὀρθῶς γοῦν νομίζοιτ' ἂν τέρας·
αὕτη γὰρ ὁπότ' ἦν μὲν νεοττὸς καὶ νέα,
ὑπὸ τῶν στατήρων ἦν ἀπηγριωμένη,
εἶδες δ' ἂν αὐτῆς Φαρνάβαζον θᾶττον ἄν.
ἐπεὶ δὲ δόλιχον τοῖς ἔτεσιν ἤδη τρέχει,
τὰς ἁρμονίας τε διαχαλᾷ τοῦ σώματος,
ἰδεῖν μὲν αὐτὴν ῥᾷόν ἐστι καὶ πτύσαι·
ἐξέρχεταί τε πανταχόσ' ἤδη πιομένη,
δέχεται δὲ καὶ στατῆρα καὶ τριώβολον,
προσίεται δὲ καὶ γέροντα καὶ νέον·
οὕτω δὲ τιθασὸς γέγονεν, ὥστ', ὦ φίλτατε,
ταὐργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει.

Athenaeus XIII p. 570 b: *τῶν οὖν μεγαλομίσθων ἑταιρῶν ἀποτρέπω σε — διότι Τὰς μὲν ἄλλας — Ἱέρακος νόμον, Ἐπικράτης φησὶν ἐν Ἀντιλαΐδι. ἐν ᾧ δράματι καὶ περὶ τῆς*

πολυθρυλήτου Λαΐδος τάδε λέγει Λῦτη δὲ Λαΐς κτλ. Vs. 1 *γὰρ* addidit Schweighaeuserus. Vs. 3 *Διὸς νόμον* add. AB. Ad vs. 5 cfr. Eustathius ad Odyss. p. 1403 57. Vs. 7 ante Schweighaeuserum *ταῦτα*. Vs. 10 *ὑπὸ* Porsonus pro *ἀπό*. Vs. 11 addidi *θεῶν*. Vs. 15 *ὁππότ' ἦν νεοττὸς* PVL *ὁπότ' οὖν ἦν νεοττὸς* C, qui *γοῦν* in versu praecedenti omittit. Correxit Porsonus. *νεοττὸς καὶ νέα* recte coniungi docent exempla Lobeckii Paral. p. 61. Vs. 18 vulgo *δολιχόν*. Vs. 24 *τιθασὸς γέγονεν* ABC *τιθασσὸς γέγον* PVL *τιθασσὸς* etiam Eustathius ad Odyss. p. 1403 57. Ib. A *φίλταται*, PVL *φίλτατε*.

III (3, 367)

Τἀρωτίχ' ἐκμεμάθηκα ταῦτα παντελῶς
Σαπφοῦς, Μελήτου, Κλεομένους, Λαμυνθίου.

Athenaeus XIII p. 605 e: *κἀγὼ δὲ κατὰ τὴν Ἐπικράτους Ἀντιλαΐδα Τἀρωτίχ' κτλ.* Vs. 1 ante Dobraeum *ἐρωτικὰ μεμάθηκα*. Vs. 2 *Μελήτου* Dobraeus. AB *μέλη τοῦ*. PVL *μέλη ἢ τοῦ*.

Δ Υ Σ Π Ρ Α Τ Ο Σ

(3, 368)

Τί γάρ
ἔχθιον ἢ "παῖ παῖ" καλεῖσθαι παρὰ πότον,
καὶ ταῦτ' ἀγενείῳ μειρακυλλίῳ τινί,
ἢ τὴν ἀμίδα φέρειν, ὁρᾶν τε κείμενα
ἄμητας ἡμιβρῶτας ὀρνίθεια τε,
ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
ὥς φασιν αἱ γυναῖκες. ὃ δὲ χολᾶν ποιεῖ,
γάστριν καλοῦσι καὶ λάμυρον ὃς ἂν φάγῃ
ἡμῶν τι τούτων.

Athenaeus VI p. 262 d: *Ἐπικράτης δ' ἐν Δυσπράτῳ ἀγανακτοῦντα ποιεῖ τινα τῶν οἰκετῶν καὶ λέγοντα Τί γὰρ κτλ.* Partem loci habet Eustath. p. 1885 38. Vs. 4 *ὁρᾶν* usque ad vs. 7 *αἱ γυναῖκες* Epicratem ex Antiphanis *Δυσπράτῳ* sumpsisse adnotavit Athenaeus. Cfr. supra p. 513. Vs. 7 *ὃ δὲ χολᾶν ποιεῖ* Porsonus. B *ὃ δὲ χὀᾶσιν, ποιεῖ*. MS Musei Brit. *ὁ δὲ χοααιν ποιεῖ*. L *ὃς δὲ χοᾶ πίῃ*. V *ὁ δὲ χοαπίη*. Vs. 8. 9 Porsonus transponebat *λάμυρον ἡμῶν ὃς ἄν | φάγῃ τι τούτων*.

Ε Μ Π Ο Ρ Ο Σ

(3, 369)

Ἐπὶ τοῖσδ' ἐγώ
μάγειρος. οὔτε Σικελία καυχήσεται

τρέφειν· τοιοῦτον ἄρταμον κατ᾽ ἰχθύων,
οὔτ᾽ Ἦλις, ἔνθα δελφάκων ἐγὼ κρέα
κάλλιστ᾽ ὄπωπα πυρὸς ἀκμαῖς ἡνθισμένα.

Athenaeus XIV p. 655 f: *ὀπτῶν δελφάκων δὲ μνημονεύει Ἐπικράτης ἐν Ἐμπόρῳ Ἐπὶ κτλ.* Vs. 4 PL *οὐ κήλισ᾽*. AV *οὐκήλισ᾽*. Correxit Casaubonus.

X O P O Σ

7 (3, 369)

Τελέως μ᾽ ὑπῆλθεν ἡ κατάρατος μαστροπός,
ἐπομνύουσα τὰν Κόραν, τὰν Ἄρτεμιν,
τὰν Φερσέφατταν, ὡς δάμαλις, ὡς παρθένος,
ὡς πῶλος ἀδμής· ἡ δ᾽ ἄρ᾽ ἦν μυωνία.

Aelianus H. A. XII 10 de murium libidine disserens: *καὶ πάλιν παρὰ Ἐπικράτει ἐν τῷ Χορῷ (δρᾶμα δέ ἐστι τῷ Ἐπικράτει τοῦτο)· Τελέως κτλ.* Vs. 1 vulgo *τελέως δ᾽ ὔμιν ὑπῆλθεν.* Pro *δ᾽ ὔμιν* libri fere *δεῦμε, δευμε, δ᾽ εὖμε, δεῖ με* et *δέ με*, unus *δῦμ.* Gesnerus *τέλος δ᾽ ὑπῆλθεν.* Toupius *τέλος δ᾽ ὑπῆλθέ μ᾽.* Pro *τελέως* libri fere *τελείως.* Vs. 3 libri *Φερέφατταν* vel *Φαρέφατταν*.Fortasse igitur *Φερρέφατταν.*

EX INCERTIS FABVLIS

8 I (3, 370. 371)

Α. Τί Πλάτων
καὶ Σπεύσιππος καὶ Μενέδημος,
πρὸς τίσι νυνὶ διατρίβουσιν;
ποία φροντίς, ποῖος δὲ λόγος
διερευνᾶται παρὰ τοῖσιν;
τάδε μοι πινυτῶς, εἴ τι κατειδώς
ἥκεις, λέξον πρὸς τᾶς γᾶς.
Β. ἀλλ᾽ οἶδα λέγειν περὶ τῶνδε σαφῶς·
Παναθηναίοις γὰρ ἰδὼν ἀγέλην
μειρακίων
ἐν γυμνασίοις Ἀκαδημίας
ἤκουσα λόγων ἀφάτων ἀτόπων·
περὶ γὰρ φύσεως ἀφοριζόμενοι
διεχώριζον ζῴων τε βίον
δένδρων τε φύσιν λαχάνων τε γένη.
κἄτ᾽ ἐν τούτοις τὴν κολοκύντην
ἐξήταζον τίνος ἐστὶ γένους.
Α. καὶ τί ποτ᾽ ἄρ᾽ ὡρίσαντο καὶ τίνος γένους

εἶναι τὸ φυτόν; δήλωσον, εἰ κάτοισθά τι.
Β. πρώτιστα μὲν οὖν πάντες ἀναυδεῖς
τότ' ἐπέστησαν, καὶ κύψαντες
χρόνον οὐκ ὀλίγον διεφρόντιζον.
κἆτ' ἐξαίφνης ἔτι κυπτόντων
καὶ ζητούντων τῶν μειρακίων
λάχανόν τις ἔφη στρογγύλον εἶναι,
ποίαν δ' ἄλλος, δένδρον δ' ἕτερος.
ταῦτα δ' ἀκούων ἰατρός τις
Σικελᾶς ἀπὸ γᾶς καπέπαρδ' αὐτῶν
ὡς ληρούντων.
Α. ἦ που δεινῶς ὠργίσθησαν
χλευάζεσθαί τ' ἐβόησαν·
τὸ γὰρ ἐν λέσχαις ταῖσδε τοιαυτί
ποιεῖν ἀπρεπές.
Β. οὐδ' ἐμέλησεν τοῖς μειρακίοις·
ὁ Πλάτων δὲ παρὼν καὶ μάλα πράως,
οὐδὲν ὀρινθείς, ἐπέταξ' αὐτοῖς
πάλιν . . .
ἀφορίζεσθαι τίνος ἐστὶ γένους·
οἱ δὲ διήρουν.

Athenaeus II p. 59 c de colocynta disserens: *Ἐπιχράτης ὁ κωμῳδιοποιός Τί Πλάτων κτλ.* Vs. 3 *νυνὶ* Porsonus, libri *νῦν*. Vs. 5 Dindorfius *παρὰ τούτοισιν*. Vs. 7 Grotius *ποτὶ τᾶς γᾶς*. Porsonus *λέξον φέρε πρὸς γᾶς*. Erfurdtus *λέξον δὴ πρὸς τᾶς γᾶς*. Cobetus Obs. crit. p. 121 *πρὸς Ἀθηνᾶς*. Malui *ἦ̓χεις, λέξον, πρὸς τᾶς γᾶς*. Vs. 10 Porsonus *τῶν μειρακίων*. Magis placeret *μειρακίων τῶν ἐν γυμνασίοις*. Vs. 11 Dindorfius *Ἀκαδημείας*. Vs. 20 *οὖν* addidit I. Scaliger. Possis item *πρώτιστον*. Attulit hunc versum Eustathius p. 864 31. Vs. 23 *κἆτ' ἐξαίφνης* Porsonus pro *κἀξαίφνης*. Vs. 28 *κατέπαρδ'* Porsonus. Vulgo *κατεπέρδετ'*. Vs. 32 *τοιαυτί* scripsi pro *τοιαῦτα*. Cobetus *τοιοῦτόν τι ποιεῖν*. *ποιεῖν* enim in thesi positum *οι* corripere, in quo fallitur. Vs. 33 *ἀπρεπὲς* Casaubonus. Libri *εὐπρεπές*. De brevi syllaba in fine versus anapaestici v. Seidlerum V. D. p. 80. Vs. 37 post *πάλιν* Porsonus addit *ἐξ ἀρχῆς*. Emperius Mus. Rhen. nov. I p. 460 scribebat *ἐπέταξε πάλιν πορδὴν αὐτοῖς ἀφορίζεσθαι*.

II (3, 372) 9

Κατάβαλλε τἀκάτια, καὶ κυλίκια
αἴρου τὰ μείζω, κεὐθὺ τοῦ καρχησίου

ἄνελκε τὴν γραῦν, τὴν νέαν τ' ἐπουρίσας
πλήρωσον, εὐτρεπῆ τε τὸν κοντὸν ποιοῦ,
καὶ τοὺς κάλως ἕκλυε καὶ χάλα πόδα.

Athenaeus XI p 782 f: *ἄκατος ποτήριον ἐοικὸς πλοίῳ.* *Ἐπικράτης Κατάβαλλε κτλ.* Vs. 1 *καὶ* addidit Iacobsius. Pro *κυλίκια* requiro *κυμβία*. Vs. 3 *ἐπουρίσας* cod. E et Iacobsius. Tum Casaubonus *νέαν δ'*. Vs. 4 *εὐτρεπῆ* pro vulgato *ἐντρεπῆ* praebuit A. Cfr. Valcken. Diatr. p. 235, quo auctore scripsi *ποιοῦ* pro *ποοῦ* et vs. 5 *κάλως* pro *κάλους*.

10 III (3, 373)

Pollux IV 121: *πρωτόβαθρον Ἐπικράτης φησὶν ὁ κωμῳδοδιδάσκαλος.* Cod. Falck. *Φερεκράτης*. V. Pherecratis fragm. 227.

CRATINVS IVNIOR

ΓΙΓΑΝΤΕΣ

1 I (3, 374)

Ἐνθυμεῖσθε τῆς γῆς ὡς γλυκύ
ὄζει, καπνός τ' ἐξέρχετ' εὐωδέστερος.
οἰκεῖ τις ὡς ἔοικεν ἐν τῷ χάσματι
λιβανωτοπώλης ἢ μάγειρος Σικελικός.
[παραπλησίαν ὀσμὴν λέγεις ἀμφοῖν γλυκύς.]

Athenaeus XV p. 661 e: *ἐκσεμνύνει δὲ τὴν τέχνην (τὴν μαγειρικὴν) καὶ ὁ νεώτερος Κρατῖνος ἐν τοῖς Γίγασι λέγων* *Ἐνθυμεῖσθε τῆς γῆς κτλ.* Vs. 1 libri *ἐνθύμει δέ*, quod correxi. Vs. 2 Bergkius Comm. p. 277 *εὐωδέστατος*. Vs. 5 *γλυκὺς* a C omissum Dindorfius inclusit. Dobraeus fragmentum quarto versu terminat, cetera Athenaeo tribuens: *παραπλησίαν ὀσμὴν λέγει* (*ὁ Κρατῖνος* scil.) *ἀμφοῖν. καὶ ὁ γλυκὺς Ἀντιφάνης —*. Huius enim proxime sequitur locus e Dysprato. Vera haec puto; itaque totum versum inclusi.

2 II (3, 375)

Ὡς σφοδρῶς Αἰγυπτιώδης, Σωχάρης, Πααμύλης.

Hesychius, *Πααμύλης*: *Αἰγύπτιος θεὸς πριαπώδης. Κρατῖνος ὁ νεώτερος Γίγασιν, ὡς σφοδρῶς. ἢ Αἰγυπτιώδης Σόχαρις* (cod. *σόχαρ . .*) *Πααμύλης*. Correxi ut supra adscripta sunt.

ΘΗΡΑΜΕΝΗΣ

(3, 375) 3

Athenaeus IV p. 177 a: *χρῆσθαι δ' αὐτοῖς (ἐλύμοις αὐλοῖς) καὶ Κυπρίους φησὶ Κρατῖνος ὁ νεώτερος ἐν Θηραμένει.* Ita Schweighaeuserus pro *Θηραμένηι*.

ΟΜΦΑΛΗ

I (3, 375) 4

Πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα
κρεῖττον· μάχαι δ' ἄλλοισι καὶ πόνοι μέλοι.

Athenaeus XV p. 669 b: *κατὰ γὰρ τὸν νεώτερον Κρατῖνον, ὃς ἐν Ὀμφάλῃ φησί Πίνειν μένοντα κτλ.* Vs. 1 *μάχαι* et *πόνοι* ABPV, *μάχαι* et *πόνου* L, *μάχης* et *πόνου* Porsonus et Schweighaeuserus, *μάχαι* et *πόνος* Bergkius.

II (3, 376) 5

Ὑμεῖς δ' ἐὰν ἱππίσκον ἢ τρίμιτον ἔχητε.

Pollux VII 58: *ἐν δὲ τῇ τοῦ νεωτέρου Κρατίνου Ὀμφάλῃ εἴρηται Ὑμεῖς — ἔχητε, ὡς καὶ ταῦτα εἴδη χιτωνίσκων.*

ΠΥΘΑΓΟΡΙΖΟΥΣΑ

(3, 376) 6

Diogenes Laert. VIII 37: *ἔσκωψε δὲ αὐτὸν* (Pythagoram) *Κρατῖνος μὲν ἐν Πυθαγοριζούσῃ. ἀλλὰ καὶ ἐν Ταραντίνοις.* Hinc Suidas s. v. *Ξενοφάνης*. Diogenis libri fere *Πυθαγορικοῖς*. Arund. *Πυθαγορικαῖς*. Aldobr. *Pythagorizusa*. Fortasse scribendum *Πυθαγορίζουσι*, ut titulus fabulae fuerit *Πυθαγορίζοντες*. Atque ita ex cod. V edidit Bernhardius.

ΤΑΡΑΝΤΙΝΟΙ

(3, 376) 7

Ἔθος ἐστὶν αὐτοῖς, ἄν τιν' ἰδιώτην ποθέν
λάβωσιν εἰσελθόντα, διαπειρώμενον
τῆς τῶν λόγων ῥώμης ταράττειν καὶ κυκᾶν
τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασιν,
τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσιν νουβυστικῶς.

Diogenes Laert. l. l. *ἀλλὰ καὶ ἐν Ταραντίνοις φησὶν οὕτως Ἔθος ἐστὶν αὐτοῖς κτλ.* Hinc petiit locum Suidas v. *Ξενοφάνης*. Vs. 1 Suidas *ἐὰν ἰδιώτην*. Vs. 2 *διαπειρωμένοις* I. Scaliger.

T I T Α N E Σ

8 (3, 377)

Κόρυδον τὸν χαλκοτύπον πεφύλαξο,
εἰ μή σοι νομιεῖς αὐτὸν μηδὲν καταλείψειν,
μηδ' ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ
τοῦ Κορύδου· προλέγω σοι· ἔχει γὰρ χεῖρα κραταιάν,
χαλκῆν, ἀκάματον, πολὺ κρείττω τοῦ πυρὸς αὐτοῦ.

Athenaeus VI p. 241 c de Corydo parasito comicorum testimonia componens: *Κρατῖνος δ' ὁ νεώτερος ἐν Τιτᾶσι Κόρυδον τὸν χαλκοτύπον κτλ.* Vs. 1 *χαλκοτύπον* C *χαλκότυπον* PVL. Vs. 2 libri *ἦν*. Correxit Porsonus. Lobeckius ad Phryn. p. 458 *οὐ μή σοι*. Vs. 3 *μετὰ τοῦδ' οὐπώποτε* Lobeckius.

X E I P Ω N

9 (3, 377)

Πολλοστῷ δ' ἔτει
ἐκ τῶν πολεμίων οἴκαδ' ἥκων, ξυγγενεῖς
καὶ φράτερας καὶ δημότας εὑρὼν μόλις,
εἰς τὸ κυλικεῖον ἐνεγράφην· Ζεὺς ἔστι μοι
ἑρκεῖος, ἔστι φράτριος, τὰ τέλη τελῶ.

Athenaeus XI p. 460 f de *κυλικείῳ* disserens: *Κρατῖνος δ' ὁ νεώτερος ἐν Χείρωνι Πολλοστῷ δ' ἔτει κτλ.* Vs. 1 *ἔτι* AB *ἔτει* VL. Vs. 2 *ἦκων* Iacobsius. Libri *ἦκω*. Vs. 3 *φράτερας* A *φράτορας* PVL. Vs. 4 *ἐνεγράφη* Eustathius ad Iliad. p. 1271 31. Libri *ἐγράφην*. Vs. 5 *ἑρκεῖος* AC *ἕρκειος* BPV. Ibid. *φράτριος* Bergkius pro *φρατόριος*.

ΨΕΥΔΥΠΟΒΟΛΙΜΑΙΟΣ

10 I (3, 378)

Ἄνθρωπος εἶ δηλονότι καὶ ψυχὴν ἔχεις;
Β. κατὰ μὲν Πλάτων' οὐκ οἶδ', ὑπονοῶ δ' ὧδ' ἔχειν.

Diogenes Laert. III 28: *τοιοῦτος δ' ὢν* (Plato) *ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν — Κρατῖνος Ψευδυποβολιμαίῳ Ἄνθρωπος εἶ κτλ.* Versum primum ita distinguere malim:

Ἄνθρωπος εἶ; Β. δηλονότι. Α. καὶ ψυχὴν ἔχεις;

Altero versu libri *οἶδα ὑπονοῶ δ' ἔχειν*. Correxit Hermannus.

11 II (3, 378)

Pollux VII 211: *παρὰ δὲ τῷ νεωτέρῳ Κρατίνῳ ἐν Ὑποβολιμαίῳ βιβλιοθήκη*. Videtur eadem fabula designari. Nisi *Ἀπεμπολημένῃ* (*Ἀπημπολημένῃ*) scribendum, ut habet Par. A.

EX INCERTIS FABVLIS

I (3, 378) 12

Εἰς ἐγγύας τρεῖς εἰσπεσὼν ἀνηρέθην.
Β. οὔπω τότ' ἐν Δελφοῖσιν ἦν τὰ γράμματα
τὴν ἐγγύην ἄτην λέγοντ'; Α. ἦν· ἀλλ' ἐγὼ
φιλέταιρον εἶχον ἦθος.

Schol. Plat. p. 324 Bekk: *παροιμία ἐγγύα, πάρα δ' ἄτα. — οἱ δὲ εἶπον αὐτὴν οὐχ οὕτω ἔχειν, ἀλλὰ μόνον ἐγγύη ἄτη. καὶ παρέχουσι μάρτυρα τούτου Κρατῖνον τὸν νεώτερον λέγοντα Εἰς ἐγγύας κτλ.* "Libri vs. 1 *πεσών*, 2 *οὕτω ποτ'*, 4 *ἔθος*, personis non distinctis, omissis 3 *ἦν* et, quod Buttmanno debeo, *λέγοντ'*." Bekkerus.

II (3, 379) 13

Καρῖδας ἡ ζὰψ ἐκφέρει κἰχθύδια.

Clemens Alex. Strom. V p. 673 P: *καλεῖται δ' οὕτως (ζὰψ) ἡ θάλασσα, ὡς Εὐφορίων — Διονύσιός τε ὁ Ἴαμβος ὁμοίως Πόντου μαινομένοιο περιστείνει ἁλυκὴ ζάψ. ὁμοίως δὲ Κρατῖνος ὁ νεώτερος κωμικός Καρῖδας ἡ ζὰψ ἐκφέρει καὶ ἰχθύδια.*

III (3, 379) 14

Παρ' Ἀρχεφῶντος ἡδυπότια δώδεκα.

Athenaeus XI p. 469 c: *μνημονεύει δ' αὐτῶν (τῶν ἡδυποτίδων) καὶ Ἐπιγένης ἐν Ἡρωίνῃ — Κρατῖνος δ' ὁ νεώτερός φησι Παρ' Ἀρχεφῶντος ἡδυπότια δώδεκα.* Ita ABP. Fortasse tamen rectius VL *ἡδυποτίδας*.

OPHELIO

ΙΑΛΕΜΟΣ

(3, 380) 1

Ὠρχοῦντο ὥσπερ καρῖδες ἀνθράκων ἔπι
πηδῶσι κυρταί.

Athenaeus III p. 106 a de *καρὶς* disserens: *καὶ Ὠφελίων — ἐν Ἰαλέμῳ Ὠρχοῦντο κτλ.* Cfr. Eustath. p. 1220 54. Palat. *ὠρχοῦντ' ὥσπερ*. VL *ὠρχοῦντο ὡς*, unde Dindorfius *ὠρχοῦντο δ' ὡς*. Fortasse *ὠρχοῦνθ' ἅπερ*.

ΚΑΛΛΑΙΣΧΡΟΣ

(3, 380) 2

Κυρταὶ δ' ὁμοῦ καρῖδες ἐν ξηρῷ πέδῳ.

Athenaeus l. l. *Ὠφελίων Καλλαίσχρῳ Κυρταὶ δ' ὁμοῦ κτλ.*

EX INCERTIS FABVLIS

3 I (3, 380)

Athenaeus II p. 43 f: *Εὔβουλος εὑρετικούς φησι τὸ ὕδωρ ποιεῖν τοὺς πίνοντας αὐτὸ μόνον,*

τὸν δ' οἶνον ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖν.

τὰ αὐτὰ δ' ἰαμβεῖα καὶ Ὠφελίων φησί. Cfr. Eubul. fr. 128.

4 II (3, 381)

Λιβυκόν τε πέπερι, θυμίαμα, βιβλίον
Πλάτωνος ἐμβρόντητον.

Athenaeus II p. 66 d: *ὅτι εἰς τὸ πρόπομα καὶ ταῦτα ἐνεβάλλοντο, πέπερι, φυλλίς, σμύρνα, κύπειρον, μύρον Αἰγύπτιον — Ὠφελίων Λιβυκόν κτλ.* Ante Elmsleium *Λιβυκὸν πέπερι θυμίαμα καὶ βιβλίον.*

5 III (3, 381)

Athenaeus II p. 66 f: *Καρικοῦ (ἐλαίου μνημονεύει) Ὠφελίων Ἐλαίῳ Καρικῷ ἀλείφεται.* Ita BC. *ἀλείφετο* VL.

6 IV (3, 381)

Hesychius, *Ἴσις: ἔνιοι ὀμνύοντες τὴν Ἶσιν ἐξ ἑτοίμου ἐνόσουν. ὅθεν ὁ Φιλήμων διὰ τὸ συνεχὲς τῶν νόσων ἐχρήσατο τῇ λέξει.* Codex *ὠφελίμων*. Ophelionis nomen restituendum esse monui Praef. ad Men. p. XI.

ALEXIS

ΑΓΚΥΛΙΩΝ

1 (3, 382)

Λέγεις περὶ ὧν οὐκ οἶσθα, συγγενῶς τρέχων
Πλάτωνι, καί γνώσει λίτρον καὶ κρόμμυον.

Diogenes Laert. III 27: *τοιοῦτος δ' ὢν* (Plato) *ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν . . . Ἄλεξις . . . ἐν Ἀγκυλίωνι Λέγεις περὶ ὧν κτλ.* Vs. 1 *συγγενῶς* suspectum.

ΑΓΩΝΙΣ Η ΙΠΠΙΣΚΟΣ

2 I (3, 383)

Ὦ μῆτερ, ἱκετεύω σε, μὴ πίσειέ μοι
τὸν Μισγόλαν· οὐ γὰρ κιθαρῳδός εἰμ' ἐγώ.

Athenaeus VIII p. 339 c de Misgola Collytensi: *Ἄλεξις δὲ ἐν Ἀγωνίδι ἢ Ἱππίσκῳ Ὦ μῆτερ κτλ.* Vs. 1 *μὴ πείσειε* AP *μὴ πίσειε* VL. Cfr. Euripidis Orest. 249.

II (3, 383) 3

Ἀπήντων τῷ ξένῳ
εἰς τὴν κατάλυσιν, ἡσόνην αἴθων ἀνήρ,
τοῖς παισί τ' εἶπα, δύο γὰρ ἦγον οἴκοθεν,
τἀκπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, τἀκπώματα
ἦγεν δύο δραχμάς, κυμβίον δὲ τέτταρας,
ψυκτηρίδιον δὲ δέκ' ὀβολούς, Φιλιππίδου
λεπτότερον.

Athenaeus XI p. 502 f: *Ἄλεξις δ' ἐν Ἱππίσκῳ ψυκτηρίδιον καλεῖ διὰ τούτων Ἀπήντων τῷ ξένῳ κτλ.* Idem locus inde a vs. 3 ab eodem Athenaeo servatus est VI p. 230 b: *Ἄλεξις δ' ἐν Ἱππίσκῳ νεανίσκον παράγων ἐρῶντα καὶ ἐπιδεικνύμενον τὸν πλοῦτον τῇ ἐρωμένῃ ταῦτα ποιεῖ λέγοντα Τοῖς παισί τ' εἶπα κτλ.* Vs. 2 tentabam *εἰς τὴν κατάλυσιν ἦγον· ἦν αἴθων ἀνήρ.* Vs. 6 post *τέτταρας* libro VI adduntur verba *ἴσως ἑτέρας.* Pro *δέ*, quod Schweighaeuserus restituit, libro VI legebatur *τε.* Libro XI abest particula a codicibus. Vs. 7 libro VI *δέκ'*, libro XI *δύ'*.

III (3, 384) 4

Ὁ τρίτος οὗτος δ' ἔχει
σύκων κυλιστὸν στέφανον· ἀλλ' ἔχαιρε καὶ
ζῶν τοῖς τοιούτοις.

Athenaeus XV p. 678 e: *εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς κυλιστόν τινα καλούμενον στέφανον — Ἄλεξις δ' ἐν μὲν Ἀγωνίδι ἢ Ἱππίσκῳ Ὁ τρίτος κτλ.* Vs. 1 libri *ὁ τρίτος δ' οὗτος ἔχει*, quod correxi Curis crit. p. 74. Nisi *φέρει* scribere praestat pro *ἔχει*.

IV V (3, 385) 5. 6

Μεστὴν ἀκράτου θηρίκλειον ἔσπασεν
κοίλην ὑπερθύουσαν.

Athenaeus XI p. 471 e de thericleis poculis disserens: *Ἄλεξις — καὶ ἐν Ἱππίσκῳ Μεστὴν ἀκράτου κτλ.* Idem III p. 120 b: *Φειδίππου δέ, καὶ γὰρ οὗτος ταριχοπώλης, Ἄλεξις ἐν Ἱππίσκῳ κἀν Σωράκοις.*

Α Δ Ε Λ Φ Ο Ι

(3, 385) 7

Ἐγὼ δέδωκα γάρ τι ταύταις; εἰπέ μοι.
Β. οὐκ ἀλλ' ἀπέδωκας ἐνέχυρον δήπου λαβών.

Athenaeus VI p. 223 f de *δοῦναι* et *ἀποδοῦναι* agens:

Ἄλεξις δ' ἐν Στρατιώτῃ — καὶ ἐν Ἀδελφοῖς Ἐγὼ δέδωκα κτλ. Vs. 2 ante Casaubonum ἀποδέδωκας.

ΑΙΠΟΛΟΙ

(3, 385)

8 Suidas, Τὰ τρία τῶν εἰς θάνατον: τοῖς εἰς θάνατον καταχριθεῖσι τρία παρετίθουν, ξίφος, βρόχον, κώνειον. — μέμνηται Ἄλεξις ἐν Αἰπόλοις. Pro Ἄλεξις Zenobius VI 11 Ἀλέξανδρος.

ΑΙΣΩΠΟΣ

(3, 386)

9

Κομψόν γε τοῦτ' ἐστὶν παρ' ὑμῖν, ὦ Σόλων,
ἐν ταῖς Ἀθήναις, δεξιῶς θ' εὑρημένον.
Σ. τὸ ποῖον; Α. ἐν τοῖς συμποσίοις οὐ πίνετε
ἄκρατον. Σ. οὐ γὰρ ῥᾴδιον· πωλοῦσι γάρ
ἐν ταῖς ἁμάξαις εὐθέως κεκραμένον,
οὐχ ἵνα τι κερδαίνωσι, τῶν δ' ὠνουμένων
προνοούμενοι τοῦ τὰς κεφαλὰς ὑγιεῖς ἔχειν
ἐκ κραιπάλης. τοῦτ' ἔσθ', ὁρᾷς, Ἑλληνικός
πότος, μετρίοισι χρωμένους ποτηρίοις
λαλεῖν τι καὶ ληρεῖν πρὸς αὑτοὺς ἡδέως·
τὸ μὲν γὰρ ἕτερον λουτρόν ἐστιν, οὐ πότος,
ψυκτῆρι πίνειν καὶ κάδοις· θάνατος μὲν οὖν.

Athenaeus X p. 431 d: Λύσανδρος ὁ Σπαρτιάτης τὸν οἶνον ὑδαρῆ πωλούντων τῶν καπήλων ἐν τῷ στρατοπέδῳ, κεκραμένον ἐκέλευσεν αὐτὸν πωλεῖν, ἵν' αὐτὸν ἀκρατέστερον ὠνοῖντο. τὸ παραπλήσιον καὶ Ἄλεξις εἴρηκεν ἐν Αἰσώπῳ οὕτως Κομψόν γε κτλ. Vs. 1 ὑμῖν ABC ἡμῖν P. Vs. 2 verba ὦ Σόλων, quae VL in fine vs. 1 ponunt, ABCP post εὑρημένον inferunt. Vs. 3 συμποσίοισιν οὐ ABC συμποσίοις ἵν' οὐ PVL. Correxit Iacobsius. Ib. πίνετε APVL πίνετ' C πίνεται B. Vs. 9 ποτὸς P χρωμένους C χρώμενος PVL. Vs. 10 pro αὐτοὺς scripsi αὑτούς.

ΑΙΧΜΑΛΩΤΟΣ

(3, 387)

10 Antiatticista p. 98 13. Ἡμίκακον: Ἄλεξις Αἰχμαλώτῳ.

ΑΛΕΙΠΤΡΙΑ

Vide Hist. crit. p. 393 et Antiphanis Fragm. p. 495.

Α Μ Φ Ω Τ Ι Σ

I (3, 387) 11

Ὀνοκόπος

τῶν τοὺς ἀλετῶνας τῶνδε κοπτόντων ὄνους.

Pollux VII 20: *τὸν δὲ νῦν μυλοκόπον ὀνοκόπον εἴρηκεν Ἄλεξις ἐν Ἀμφωτίδι Ὀνοκόπος τῶν τοὺς ἀλετῶνας τῶνδε κοπτόντων ὄνους.* Ita cod. Falckenburg. Pro *τῶνδε* fortasse *τούσδε* legendum.

II (3, 387) 12

Antiatticista p. 108 10. *Μετάβα: ὥσπερ καὶ ἀνάβα καὶ κατάβα. Ἄλεξις Ἀμφωτίδι.*

Α Μ Π Ε Λ Ο Υ Ρ Γ Ο Σ

I II (3, 388) 13. 14

Antiatticista p. 82 4. *Ἀναδενδράς: Ἄλεξις Ἀμπελουργῷ.* Idem p. 82 5. *Ἀπολογηθῆναι: ἀντὶ τοῦ ἀπολογήσασθαι. Ἄλεξις Ἀμπελουργῷ.*

Α Ν Τ Ε Ι Α

Vide Hist. crit. p. 32. 322 et Antiphanis Fragm. p. 497.

Α Π Ο Β Α Τ Η Σ

(3, 388) 15

Χορόνικος ὁ ποιητὴς ὁδί.

Β. τίνων ποιητὴς ᾀσμάτων; Α. σεμνῶν πάνυ.
Β. τί πρὸς τὸν Ἀργᾶν οὗτος; Α. ἡμέρας δρόμῳ κρείττων.

Athenaeus XIV p. 638 c: *τοῦ Ἀργᾶ μνημονεύει Ἄλεξις ἐν Ἀποβάτῃ οὕτως Χορόνικος κτλ.* Cfr. Eustathius p. 1226 15. Vs. 1 ὁ additum ex BPVL om. A. Tum ὁδὶ A ὁ δὴ PVL.

Α Π Ε Γ Λ Α Υ Κ Ω Μ Ε Ν Ο Σ

I (3, 379) 16

Α. Παρ' ἐμοῦ δ', ἐὰν μὴ καθ' ἓν ἕκαστον πάντα δῷς, χαλκοῦ μέρος δωδέκατον οὐκ ἂν ἀπολάβοις.
Β. δίκαιος ὁ λόγος. Α. ἀβάκιον, ψῆφον· λέγε.
Β. ἔστ' ὠμοτάριχος πέντε χαλκῶν. Α. λέγ' ἕτερον.
Β. μῦς ἑπτὰ χαλκῶν. Α. οὐδὲν ἀσεβεῖς οὐδέπω. λέγε. Β. τῶν ἐχίνων ὀβολός. Α. ἀγνεύεις ἔτι.
Β. ἆρ' ἦν μετὰ ταῦθ' ἡ φάφανος ἣν ἐβοᾶτε; Α. ναί· χρηστὴ γὰρ ἦν. Β. ἔδωκα ταύτης δύ' ὀβολούς.

Α. τί γὰρ ἐβοῶμεν; *Β.* τὸ κύβιον τριωβόλου.
Α. ὀνεῖν κεχειρῶν γε οὐκ ἐπράξατ᾽ οὐδὲ ἕν.
Β. οὐκ οἶσθας ὦ μακάριε τὴν ἀγοράν, ὅτι
κατεδηδόκασι τὰ λάχαν᾽ αἱ τρωξαλλίδες.
Α. διὰ τοῦτο τὸ τάριχος τέθεικας διπλασίου;
Β. ὁ ταριχοπώλης ἐστίν· ἐλθὼν πυνθάνου.
γόγγρος δέκ᾽ ὀβολῶν. *Α.* οὐχὶ πολλοῦ. λέγ᾽ ἕτερον.
Β. τὸν ὀπτὸν ἰχθὺν ἐπριάμην δραχμῆς. *Α.* παπαῖ.
ὥσπερ πυρετὸς ἀνῆκεν, εἶτ᾽ ἐν ἐπιτέλει.
Β. πρόσθες τὸν οἶνον, ὃν μεθυόντων προσέλαβον
ὑμῶν, χόας τρεῖς, δέκ᾽ ὀβολῶν ὁ χούς.

Athenaeus III p. 117 e: ἐν δὲ Ἀπεγλαυκωμένῳ συμβολάς τις ἀπαιτούμενός φησι Παρ᾽ ἐμοῦ κτλ. Vs. 1 forsan πάντα θῆς. Alia tentat Dobraeus. Vs. 3 malim ψήφους. Ibid. λέγε ἔστ᾽ ABP λέγεσθαι. Vs. 4 cfr. Athen. III p. 117 c ὠμοτάριχον δέ τινα κέκληκεν Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ. Vs. 6 ἔτι VL ὅτι ABP. Vs. 7 ἦν ἐβοᾶτε; *Α.* ναί. χρηστὴ Kiddius ad Porsoni Miscell. p. 236. ἦν ἐβοᾶτ᾽ εἶναι, χρηστὴ AB. Vs. 10 ὀνεῖν PV ὠνεῖν L σονεῖν A. Vs. 11 οἶσθας cod. A. Vulgo οἶσθά γ᾽. P οἶσθα. Vs. 12 λάχαν᾽ αἱ pro λάχανα Iacobsius. Vs. 13 τὸ addidit Schweighaeuserus. Vs. 17 Dobraeus ὥσπερ πυρετός μ᾽ ἀνῆκεν, εἶτ᾽ ἐπέτεινεν αὖ, cui praeivit Iacobsius ὥσπερ πυρετὸς ἀνῆκεν, εἶτ᾽ ἐπέτεινε δή. Fortasse praestat ὥσπερ πυρετὸς ἀνῆκ᾽, ἐπέτεινε (vel ἐπιτείνει) δ᾽ ἐπὶ τέλει.

17

II (3, 391)

Τοὺς μὲν στρατηγοὺς τὰς ὀφρῦς ἐπὰν ἴδω
ἀνεσπακότας, δεινὸν μὲν ἡγοῦμαι ποιεῖν,
οὐ πάνυ τι θαυμάζω δὲ προτετιμημένους
ὑπὸ τῆς πόλεως μεῖζόν τι τῶν ἄλλων φρονεῖν.
τοὺς δ᾽ ἰχθυοπώλας τοὺς κάκιστ᾽ ἀπολουμένους
ἐπὰν ἴδω κάτω βλέποντας, τὰς δ᾽ ὀφρῦς
ἔχοντας ἐπάνω τῆς κορυφῆς, ἀποπνίγομαι.
ἐὰν δ᾽ ἐρωτήσῃς, πόσου τοὺς κεστρέας
πωλεῖς δύ᾽ ὄντας; δέκ᾽ ὀβολῶν, φησίν. βαρύ·
ὀκτὼ λάβοις ἄν; — εἴπερ ὠνεῖ τὸν ἕτερον. —
ὦ τᾶν λαβὲ καὶ μὴ παῖζε. — τοσουδί. παράτρεχε. —
ταῦτ᾽ οὐχὶ πικρότερ᾽ ἐστὶν αὐτῆς τῆς χολῆς;

Athenaeus VI p. 224 f de piscariorum insolenti superbia poetarum χρήσεις apponens: Ἄλεξις Ἀπεγλαυκωμένῳ Τοὺς μὲν στρατηγοὺς κτλ. Vs. 4 μεῖζόν τι Wakefieldus μείζω ABPV

μείζω τι L. Vs. 8 ἐὰν δ' pro ἐάν τ' Dindorfius ex B ἐρωτήσῃς C ἐρωτήσας BPV ἐρωτήσαις L ἐρωτήσω tentabat Dindorfius. Vs. 10 ὠνεῖ AC ὠνῇ PVL. Vs. 11 τοσουδὶ Dobraeus. PVL τοὺς οὐ δεῖ. C τοῦ σοι δεῖ. Coraes τόσου δεῖ.

III IV (3, 392) 18. 19

Καὶ γὰρ ἑψητοί τινες
παρῆσαν ἡμῖν δαιδάλεοί πως . . . .
Τῶν οὖν κοραχίνων πεῖραν οὐχὶ λαμβάνεις;
οὐδὲ τριχίδων, οὐδ' οἷον ἑψητῶν τινῶν;

Athenaeus VII p. 301 a de ἑψητοῖς agens: *Ἄλεξις ἐν Ἀπεγλαινωμένῳ Καὶ γὰρ — δαιδάλεοί πως. τὰ γὰρ καλὰ πάντα Δαιδάλου καλοῦσιν ἔργα. καὶ πάλιν Τῶν οὖν — τινῶν;* Athenaei verba, *τὰ γὰρ καλὰ πάντα Δαιδάλου καλοῦσιν ἔργα*, falso pro Alexideis habuisse editores, monui Curis crit. p. 32 allato Eustathii loco p. 1169 12: *Δαιδάλου γὰρ ἐκάλουν ἔργον πᾶν τὸ καλόν. διὸ καὶ Ἄλεξίς φησιν ὡς ἑψητοί τινες παρῆσαν δαιδάλεοί πως, ἤγουν καλοί.* Pro δαιδάλεοι, ut C et Eustathius habent, in AP scribitur δαιδαλαῖοι. B δαιδάλαιοι VL δαιδαλέοι.

ΑΠΟΚΟΠΤΟΜΕΝΟΣ

I (3, 392. 393) 20

Λέγεται γὰρ λόγος
ὑπὸ τῶν σοφιστῶν, μὴ πέτεσθαι τὸν θεόν
τὸν Ἔρωτα, τοὺς δ' ἐρῶντας· αἰτίαν δ' ἔχειν
ἐκεῖνον ἄλλως, ἠγνοηκότας δὲ τούς
γραφεῖς ἔχοντα πτέρυγας αὐτὸν ζωγραφεῖν.

Athenaeus XIII p. 562 d de Amoris vi et natura agens: *Ἄλεξις δ' ἐν Ἀποκοπτομένῳ Λέγεται γὰρ λόγος κτλ.* Respicit locum Eustathius p. 987 25.

II (3, 393) 21

Οὐ συμποσίαρχος ἦν γὰρ ἀλλὰ δήμιος
ὁ Χαιρέας, κυάθους προπίνων εἴκοσιν.

Athenaeus X p. 431 c: *Ἄλεξις δ' ἐν Ἀποκοπτομένῳ Οὐ συμποσίαρχος κτλ.*

ΑΡΧΙΛΟΧΟΣ

I (3, 393) 22

Ὦ τὴν εὐτειχῆ ναίων Πάρον, ὄλβιε πρέσβυ,
ἵ κάλλιστα φέρει χώρα δύο τῶν συναπασῶν,
κόσμον μὲν μακάρεσσι λίθον, θνητοῖς δὲ πλακοῦντας.

Athenaeus XIV p. 644 b: *ὅτι δὲ καλοὺς πλακοῦντας ἐν Παρίῳ τοῦ Ἑλλησπόντου φαγεῖν ἔστιν οἱ ἐπιδημήσαντες μαρτυρήσουσιν. Ἄλεξις γὰρ πεπλάνηται λέγων τοὺς ἐκ Πάρου· λέγει δὲ οὕτως ἐν τῷ ἐπιγραφομένῳ Ἀρχιλόχῳ Ὦ τὴν εὐτειχῆ κτλ.* Vs. 1 libri *εὐτυχῆ*. Dindorfius *εὐτείχη*.

23 II (3, 394)

Antiatticista p. 106 16. *Λαβόμενος: ἀντὶ τοῦ λαβών. Ἄλεξις Ἀρχιλόχοις.*

ΑΣΚΛΗΠΙΟΚΛΕΙΔΗΣ

24 (3, 394)

Οὕτως δ' ὀψοποιεῖν εὐφυῶς
περὶ τὴν Σικελίαν αὐτὸς ἔμαθον, ὥστε τούς
δειπνοῦντας εἰς τὰ βατάνι' ἐμβαλεῖν ποιῶ
ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.

Athenaeus IV p. 169 d: *βατάνιον δ' εἴρηκεν Ἀντιφάνης — Ἄλεξις ἐν Ἀσκληπιοκλείδῃ Οὕτως κτλ.* Respexit locum alio codice usus Pollux X 107: *Ἄλεξις δὲ ἐν Ἀσκληπιοκλείδῃ πατάνια εἴρηκεν.* Quae inde a verbis *ὥστε τοὺς δειπνοῦντας* leguntur, paucis mutatis posuit poeta etiam in Crateua, cuius vide Fragm. I 21 sqq. Vs. 3 *βατάνι'* Schweigh. *βατάνεια* ABP. Tum *ἐμβαλεῖν* Iungermannus. Libri *ἐκβαλεῖν*.

ΑΣΩΤΟΔΙΔΑΣΚΑΛΟΣ

25 (3, 394. 395)

Τί ταῦτα ληρεῖς, φληναφῶν ἄνω κάτω
Λύκειον, Ἀκαδήμειαν, Ὠιδείου πύλας,
λήρους σοφιστῶν; οὐδὲ ἓν τούτων καλόν.
πίνωμεν, ἐμπίνωμεν, ὦ Σίκων, Σίκων,
χαίρωμεν, ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν.
τύρβαζε, Μανῆ. γαστρὸς οὐδὲν ἥδιον.
αὕτη πατήρ σοι καὶ πάλιν μήτηρ μόνη.
ἀρεταὶ δὲ πρεσβεῖαί τε καὶ στρατηγίαι
κόμποι κενοὶ ψοφοῦσιν ἀντ' ὀνειράτων.
ψύξει σε δαίμων τῷ πεπρωμένῳ χρόνῳ·
ἕξεις δ' ὅσ' ἂν φάγῃς τε καὶ πίῃς μόνα·
σποδὸς δὲ τἄλλα, Περικλέης, Κόδρος, Κίμων.

Athenaeus VIII p. 336 d: *Ἄλεξις δ' ἐν Ἀσωτοδιδασκάλῳ, φησὶ Σωτίων ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ τῶν Τίμωνος Σίλλων· ἐγὼ γὰρ οἰκ ἀπήντησα τῷ δράματι· — ὁ δὲ Σωτίων φησὶν ἐν τῷ δράματι Ξανθίαν τινὰ οἰκέτην πεποιῆσθαι προ-*

τρεπόμενον ἐπὶ ἡδυπάθειαν ὁμοδούλους ἑαυτοῦ καὶ λέγοντα Τί ταῦτα ληρεῖς κτλ. Non Alexidis haec esse certissimum est. Vs. 2 ante Dindorfium *Ἀκαδημίαν*. Ibidem *Ὠιδείου πύλας* ABC et MSS Casauboni. *ᾠδεῖον πύλας* PVL. De Odeo a philosophis frequentato v. Plut. de exil. c. 14 et Diog. Laert. VII 184. Vs. 4 *πίωμεν* C. Ib. *ἐμπίνωμεν, ὦ* Schweighaeuserus. *ἐνπινομένω* A *ἐνπινωμένω* P *ἐμπίνωμεν* sine *ὦ* B *ἐμπίωμεν* C. Alias corruptelas vide apud Dindorfium. *Σίκων Σίκων* Casaubonus. Libri *Σικῶν*, idque semel scriptum. Vs. 6 libri *μανήν*, pro quo *Μάνη* Muretus. Vs. 8 pro *ἀρεταὶ* Iacobsius *ἀρχαί*. Ib. *δὲ* CVL *τε* ABP. Vs. 10 Muretus ex veteribus libris affert *σ' ὁ δαίμων*. Vs. 11 *φάγοις* et *πίοις* P. Vs. 12 *σποδὸς* scripsi, ut voluit Dobraeus. Libri *σποδοί*. Eodem errore PVL *Κόδροι* habent pro *Κόδρος*.

A T A L A N T H

(3, 396) 26

Antiatticista p. 108 3. *Μικρόφωνος: Ἄλεξις Ἀταλάντῃ.*

A T Θ I Σ

I (3, 396. 397) 27

Ὁ πρῶτος εἰπὼν ὅτι σοφιστὴς οὐδὲ εἷς
ἔμψυχον οὐδὲν ἐσθίει, σοφός τις ἦν.
ἐγὼ γὰρ ἥκω νῦν ἀγοράσας οὐδὲ ἕν
ἔμψυχον. ἰχθῦς ἐπριάμην τεθνηκότας
μεγάλους· κρεάδι' ἀρνός ἐστι πίονος
οὐ ζῶντος· οὐχ οἷόν τε γάρ. τί ἄλλο; καί
ἡπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐάν
δείξῃ τις ἢ φωνήν τι ἢ ψυχὴν ἔχον,
ἀδικεῖν ὁμολογῶ καὶ παραβαίνειν τὸν νόμον.

Athenaeus IX p. 386 c: *καὶ σὺ γάρ, ὡς ἔοικε, μετ' ἐμοῦ κατὰ τὸν Ἄλεξιν οὐδενὸς ἐμψύχου μεταλαμβάνεις, ὅς φησιν ἐν Ἀτθίδι τάδε Ὁ πρῶτος κτλ.* Vs. 5 *ἐστι* Schweighaeuserus. Libri *ἐσθίειν*. Vs. 6 *καὶ* B *ναὶ* PVL. Vs. 8 *τι* pro *τιν'* vel *τινὰ* Grotius. Vs. 9 *προσομολογῶ* libri. Correxit Grotius.

II (3, 397) 28

Πῶς ἐπινεφεῖ τὸ πρῶτον ὁ Ζεὺς ἡσυχῇ,
ἔπειτα μᾶλλον μᾶλλον.

Photius Lex. p. 244 23. *Μᾶλλον μᾶλλον: ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον. Ἄλεξις Ἀτθίδι Πῶς ἐπινεφεῖ κτλ.* Eadem Suidas s. v. *μᾶλλον μᾶλλον*. Scribendum videtur *ὡς ἐπινεφεῖ*.

Α Χ Α Ι Σ

9 I (3, 397)

Ἅπαντα τὰ ζητούμεν᾽ ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς μηδὲ τὸν πόνον φύγῃς·
ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
μέρος τι τῶν θείων τοσοῦτο τῷ τόπῳ
ἀπέχοντες, ἄστρων ἐπιτολάς, δύσεις, τροπάς,
ἔκλειψεν ἡλίου, τί τῶν κοινῶν κάτω
καὶ συγγενικῶν δύναιτ᾽ ἂν ἄνθρωπον φυγεῖν;

Stobaeus Floril. XXIX 33. *Ἀλέξιδος Ἀχαιίδι.* Vs. 1 *ἅπαντα* scripsi pro *ὅτι πάντα.* Vs. 4 *τοσοῦτο* Bothius, libri *τοσούτῳ.* Vs. 6 *κάτω* addidit Gaisfordus ex A, qui id inter lineas scriptum habet. B in marg. *γρ. ὅλως κάτω.* Grotius *τῶν κοινῶν τε καὶ τῶν συγγενικῶν.*

30 II (3, 398)

Grammat. Bekkeri p. 338 8: *ἔστι δὲ ἀγκύλη καὶ εἶδός τι ἄμματος. Ἄλεξις Ἀχαΐδι Ἀγκύλην τῆς ἐμβάδος οὐ καλῶς ἔσφιγξας λυθεῖσαν. ἐχρήσαντο δὲ καὶ ἄλλοι τῇ λέξει.* Versuum reliquias ita distinguere licebit:

Τὴν ἀγκύλην τῆς ἐμβάδος
οὐ καλῶς ἔσφιγξας αὖ λυθεῖσαν.

Β Ο Σ Τ Ρ Υ Χ Ο Σ

31 (3, 398)

Antiatticista p. 115 12. *Ὑποχροῦσαι: ἐμποδίσαι. Ἄλεξις Βοστρύχῳ.*

Β Ρ Ε Τ Τ Ι Α

32 I (3, 398)

Εἶδές ποτε
πίνουσιν ἀνθρώποις ἀπίους παρακειμένας
ἐν ὕδατι πολλῷ; Β. πολλάκις δήπου. τί οὖν;
Α. οὐκοῦν ἕκαστος ἐκλεγόμενος λαμβάνει
τῶν ἐπινεουσῶν τὴν πεπαιτάτην ἀεί;
Β. δηλονότι.

Athenaeus XIV p. 650 c: *ὅτι δὲ τὰς ἀπίους ἐν ὕδατι εἰσέφερον εἰς τὰ συμπόσια Ἄλεξις ἐν Βρεττίᾳ παρίστησι διὰ τούτων Εἶδες κτλ.* Vs. 2 *πίνουσιν* Dobraeus, *πεινοῦσιν* ABPV, *πεινῶσιν* L. Respexit schol. Aristoph. Eccles. 355: *ἀχράς τις] στένωσιν τῇ γαστρὶ παρέχει ὁ λεγόμενος παρ᾽ ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν Νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον*

(leg. *μόνος*) *δέ, ἀλλὰ καὶ παρ' Ἀλέξιδι.* Eadem fere apud grammaticum Bekkeri p. 425 in. et Suidam s. v. *ἄπια.* Vs. 3 malim *ἐν ὕδατι. B. πολλὰ πολλάκις δήπου.*

II (3, 399) 33

Τοιοῦτο τὸ ζῆν ἐστιν ὥσπερ οἱ κύβοι·
οὐ ταὐτ' ἀεὶ πίπτουσιν, οὐδὲ τῷ βίῳ
ταὐτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει.

Stobaeus Floril. CV 4 cum lemmate *Ἀλέξιδος ἐκ Βρεττίας.* Omisso fabulae indice Arsenius Viol. p. 101.

B Ω M O Σ

(3, 399) 34

Γυνὴ λινουργὸς περιτυχοῦσ' ἀφείλετο.

Pollux VII 72: *τὴν δὲ ἐργαζομένην τὸ λίνον λινουργὸν ἂν εἴποις, Ἀλέξιδος εἰπόντος ἐν Βωμῷ Γυνὴ λινουργὸς περὶ τοίχους ἀφείλετο.* Correxit Porsonus.

Γ A Λ A T E I A

I (3, 400) 35

Ὁ δεσπότης οὑμὸς περὶ λόγους γάρ ποτε
διέτριψε μειρακίσκος ὢν καὶ φιλοσοφεῖν
ἐπέθετο· Κυρηναῖος ἦν ἐνταῦθά τις,
ὡς φασ', Ἀρίστιππος, σοφιστὴς εὐφυής,
μᾶλλον δὲ πρωτεύων ἁπάντων τῶν τότε,
ἀκολαστίᾳ τε τῶν γεγονότων διαφέρων.
τούτῳ τάλαντον δοὺς μαθητὴς γίνεται
ὁ δεσπότης. καὶ τὴν τέχνην μὲν οὐ πάνυ
ἐξέμαθε, τὴν δ' ἀρτηρίαν συνήρπασεν.

Athenaeus XII p. 544 e: *κωμῳδῶν δὲ αὐτὸν* (Aristippum) *Ἄλεξις ἐν Γαλατείᾳ ποιεῖ τινα θεράποντα διηγούμενον περί τινος τῶν μαθητῶν τάδε Ὁ δεσπότης κτλ.* Vs. 3 *τις*, quod libri vs. 4 post *Ἀρίστιππος* habent, huc transposuit Schweighaeuserus. Vs. 4 vulgo *φησ'*. Scripsi *φασ'* ex B. Vs. 5 *τῶν* addidit Casaubonus. Vs. 6 *ἀκολαστίᾳ* scripsi pro *ἀκολασίᾳ*, cfr. Grammat. Bekkeri p. 367 24: *ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἄλεξις.* Vs. 9 forsan *ἀρτυσίαν.*

II (3, 401) 36

Νάρκην μὲν οὖν, ὥς φασιν, ὠνθυλευμένην
ὀπτᾶν ὅλην.

Athenaeus VII p. 314 d de *νάρκῃ* pisce comicorum *χρήσεις*

afferens: *Ἄλεξις ἐν Γαλατείᾳ Νάρκην μὲν οὖν κτλ.* Vs. 2 post *ὅλην* fortasse excidit *δεῖ*.

37. 38 III IV (3, 401)

Antiatticista p. 93 in. *Εὐοψίαν: ἀντὶ τοῦ εὐπροσωπίαν. Ἄλεξις Γαλατείᾳ.* Pollux VI 38: *Ἄλεξις εὐοψίαν εἶπεν.* Photius p. 302 2. *Νομικόν: τὸν ἐπιστήμονα τῶν νόμων. Ἄλεξις Γαλατείᾳ.* Eadem omisso poetae et fabulae nomine Antiatt. p. 109 11.

Γ Ρ Α Φ Η

39 (3, 401)

Γεγένηται δ', ὡς λέγουσι, κἀν Σάμῳ
τοιοῦθ' ἕτερον. λιθίνης ἐπεθύμησεν κόρης
ἄνθρωπος ἐγκατέκλεισέ θ' αὑτὸν τῷ νεῷ.

Athenaeus XIII p. 606 a de statuarum amatoribus dicens: *τῆς πράξεως ταύτης μνημονεύει καὶ Ἄλεξις ὁ ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι Γραφῇ, λέγων ὧδε Γεγένηται κτλ.*

Γ Υ Ν Α Ι Κ Ο Κ Ρ Α Τ Ι Α

40 I (3, 402)

Ἐνταῦθα περὶ τὴν ἐσχάτην δεῖ κερκίδα
ὑμᾶς καθιζούσας θεωρεῖν ὡς ξένας.

Pollux IX 44: *Προσαριθμητέον δὲ τοῖς δημοσίοις θέατρον, καὶ θεάτρου μέρος τοῖς προειρημένοις κερκίδα, ὡς ἔστιν εὑρεῖν ἐν Ἀλέξιδος Γυναικοκρατίᾳ Ἐνταῦθα κτλ.*

41 II (3, 402)

Ὁ δὲ Κίλιξ ὅδ' Ἱπποκλῆς,
ὁ ζωμοτάριχος ὑποκριτής.

Athenaeus III p. 125 b: *Ἄλεξις δ' ἐν Γυναικοκρατίᾳ καὶ ζωμοτάριχόν τινα κέκληκεν ἐν τούτοις Ὁ δὲ Κίλιξ κτλ.*

Δ Α Κ Τ Υ Λ Ι Ο Σ

42 I (3, 403)

Εἶτ' οὐχ ἁπάντων ἐστὶ τὸ μεθύειν κακόν
μέγιστον ἀνθρώποισι καὶ βλαβερώτατον;

Athenaeus X p. 443 e: *καλῶς πρὸς τοὺς οὕτω λάπτοντας τὸν οἶνον ὁ αὐτὸς Ἄλεξις ἐν Ὀπώρᾳ φησίν — κἀν Δακτυλίῳ Εἶτ' οὐχ ἁπάντων κτλ.*

43 II (3, 403)

Antiatticista p. 92 5. *Ἐκκόψαι: ἀντὶ τοῦ νικῆσαι κύβοις.*

Ἄλεξις Δακτυλίῳ. Suidas, *Ἐκκόψαι: νικῆσαι. οὕτως Ἄλεξις.* Eadem Zonaras p. 671.

ΔΗΜΗΤΡΙΟΣ Η ΦΙΛΕΤΑΙΡΟΣ

I (3, 403) 44

Πρότερον μὲν εἰ πνεύσειε βορρᾶς ἢ νότος
ἐν τῇ θαλάττῃ λαμπρός, ἰχθῦς οὐκ ἂν ἦν
οὐδενὶ φαγεῖν· νυνὶ δὲ πρὸς τοῖς πνεύμασιν
τούτοις Φάυλλος προσγέγονε χειμὼν τρίτος·
ἐπὰν γὰρ ἐκνεφίας καταιγίσας τύχῃ
ἐς τὴν ἀγοράν, τοὔψον πριάμενος οἴχεται
φέρων ἅπαν τὸ ληφθέν, ὥστε γίνεται
ἐν τοῖς λαχάνοις τὸ λοιπὸν ἡμῖν ἡ μάχη.

Athenaeus VIII p. 338 d: *Ἄλεξις δ' ἐν Δημητρίῳ Φάυλλόν τινα κωμῳδεῖ ὡς φίλιχθυν ἐν τούτοις Πρότερον κτλ.* Vertit Turpilius in Demetrio apud Nonium p. 488 18: ***Antehac si flabat aquilo aut auster, inopia tum erat piscati.*** Vs. 2 ἂν ἦν pro ἐνῆν Porsonus. Vs. 3 *νυνὶ* Schweighaeuserus .pro *νῦν*. Vs. 6 Dindorfius *εἰς*.

II (3, 404) 45

Ἀλλ' αἰσχύνομαι
τὸν Κόρυδον, εἰ δόξω συναριστᾶν τισιν
οὕτω προχείρως· οὐκ ἀπαρνοῦμαι δ' ὅμως·
οὐδὲ γὰρ ἐκεῖνος, ἂν καλῇ τις.

Athenaeus VI p. 241 b de Corydo, parasito famoso, dicens: *Ἄλεξις Δημητρίῳ ἢ Φιλεταίρῳ Ἀλλ' αἰσχύνομαι κτλ.* Vs. 4 ante Dindorfium *ἐάν*. Non puto tamen locum persanatum esse. Ac nescio an tale quid poeta scripserit: *κἄν τις αὐτὸν μὴ καλῇ.*

III (3, 404) 46

Ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος
ὅτι δεῖ γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλούς, ὑπ' ἀκάνθης μηδὲ ἓν τούτους παθεῖν.

Athenaeus VII p. 314 d de *νάρκῃ* disserens: *Ἄλεξις ἐν Γαλατείᾳ — ἐν δὲ Δημητρίῳ Ἔπειτα κτλ.* Vs. 2 *δεῖ* Dindorfius ex C. Vulgo *δή*. Eosdem versus posuit in Crateua Fragm. I 9 sqq.

IV (3, 404) 47

Athenaeus III p. 108 a: *ταγηνιστῶν δ' ἰχθύων μνημονεύει Ἄλεξις ἐν Δημητρίῳ καθάπερ κἀν τῷ προκειμένῳ δράματι.* Crateuam dicit, cuius vide Fragm. I 12.

48 V (3, 404)

Τοὔψον λαβοῦσαι τοῦτο τἀπεσταλμένον
σκευάζετ', εὐωχεῖσθε, προπόσεις πίνετε,
λέπεσθε, ματτυάζετε.

Athenaeus XIV p. 663 c: *συνεμφῆναι γὰρ βουλόμενος ὁ Ἄλεξις τὴν ἀκολασίαν τῆς παρασκευῆς προσέθηκε τὸ λέπεσθαι. ἔχει δ' ἡ σύμπασα ἐκλογὴ οὕτως, οὖσα ἐκ τοῦ διεσκευασμένου δράματος, ὃ ἐπιγράφεται Δημήτριος Τοὔψον κτλ.* Ex Athenaeo petiit Eustathius ad Od. p. 1752 2.

49 VI (3, 405)

Ὁμοιότατος ἄνθρωπος οἴνῳ τὴν φύσιν
τρόπον τιν' ἐστί. καὶ γὰρ οἶνον τὸν νέον
πολλή 'στ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
πρώτιστον ἀφυβρίσαι τ', ἀπανθήσαντα δέ
σκληρὸν γενέσθαι, παραχμάσαντα δ' ὧν λέγω
τούτων ἁπάντων, ἀπαρυθέντα τὴν ἄνω
ταύτην ἄνοιαν ἐπιπολάζουσαν, τότε
πότιμον γενέσθαι καὶ καταστῆναι πάλιν,
ἡδύν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

Stobaeus Floril. CXV 7 cum lemmate *Ἀλέξιδος ἐκ Δημητρίου.* Sine fabulae nomine idem locus est apud Athen. II p. 36 e: *Ἄλεξις δέ πού φησιν ὡς Ὁμοιότατος κτλ.* Vs. 1 Stob. *ὅμοιότατον.* Vs. 2 *καὶ γὰρ* pro *τὸν γὰρ* Stobaei cod. Paris. Vs. 3 *πολλή γ' ἀνάγκη* Stobaeus et Athenaei VL, *πολλή τ' ἀνάγκη* BCD. Hinc Dindorfius *πολλή 'στ' ἀνάγκη.* Vs. 4 Stobaeus *ἀφυβρίσαντ' ἀποινήσαντα δέ.* Athenaei libri fere omnes *ἀφυβρίσαι τε ἀπανθῆσαι πάλιν,* nisi quod C *ἀπανθίσαι,* E *ἀπαντοῦσαι,* L *κ'* pro *τε.* Correxit Valckenarius ad Herodot. IX 31. Vs. 5 Stobaeus *σκληρὸν γενέσθαι καὶ καταστῆναι πάλιν,* verbis *παραχμάσαντα — πότιμον γενέσθαι* omissis. Erroris origo in promptu est. Vs. 7 *τότε* pro *ποτὲ* Boissonadus apud Schweighaeuserum.

ΔΙΑΠΛΕΟΥΣΑΙ

50 (3, 406)

Ἐπιχαιρέκακος εἶ καὶ φθονεῖς τοῖς πλησίον.

Antiatticista p. 91 21. *Ἐπιχαιρέκακος: Ἄλεξις ἐν Διαπλεούσαις λέγει Ἐπιχαιρέκακος κτλ.* Suspicari possis *ἐν Δὶς πλεούσαις.*

Δ Ι Δ Υ Μ Ο Ι

I (3, 406) 51

Τούτῳ πρόπιθ', ἵνα καὐτὸς ἄλλῳ.

Athenaeus X p. 446 f: *καὶ σὺ οὖν, ὦ ἑταῖρε, κατὰ τὸν Ἄλεξιν, ὃς ἐν Διδύμοις φησί Τούτῳ πρόπιθι, ἵνα καὶ αὐτὸς ἄλλῳ.*

II (3, 406) 52

Στεφάνων δὲ τουτωνὶ χύδην πεπλεγμένων.

Athenaeus XV p. 686 a: *κελεύω αὐτὸν κατὰ τοὺς Ἀλέξιδος Διδύμους χυδαίοις στεφανωθέντα στεφάνοις ἐξάγεσθαι τοῦ συμποσίου· τῶν δὲ χυδαίων στεφάνων μνημονεύων ὁ κωμῳδιοποιός φησι Στεφάνων κτλ.*

III (3, 406. 407) 53

Pollux IX 153: *Ἄλεξις ἐν Ποιητρίᾳ εἴρηκεν "ὡς ἐπιτα-πολλὰ τοῦτο ποιῶ"· τὸ δὲ ὡς ἐπὶ τὸ πλῆθος ὁ αὐτὸς ἐν Διδύμοις.* Integrum locum, quem respexit Pollux, fortasse servavit Stobaeus Floril. LXII 40:

Ἀλλ' ἐπὶ τὸ πλῆθος ἐμφερεῖς τοὺς οἰκέτας
ἔχοντας ὄψει τοὺς τρόπους τοῖς δεσπόταις·
τοῖς ἤθεσιν γάρ, οἷς ὑπηρετοῦσ' ἀεί,
προσέχουσα τούτοις ἡ φύσις κεράννυται.

Si recte conieci, vs. 1 legendum est *ὡς ἐπὶ τὸ πλῆθος*. Vs. 3 sequutus sum coniecturam Valckenarii: in libris haec ita scripta sunt: *τοῖς ἤθεσιν γὰρ τοῖσδ' ὑπηρετοῦσι καὶ προσέχουσα κτλ.*

Δ Ι Σ Π Ε Ν Θ Ω Ν

(3, 407) 54

Athenaeus X p. 441 d: *ἐν δὲ Δὶς πενθοῦντι Ζωπύρας τινὸς* (bibacis vetulae) *μνημονεύων* (Alexis) *φησὶ Καὶ Ζω-πύρα | οἰνηρὸν ἀγγεῖον.*

Δ Ο Ρ Κ Ι Σ Η Π Ο Π Π Υ Ζ Ο Υ Σ Α

I (3, 407) 55

Τοῖς ἰχθυοπώλαις ἐστὶν ἐψηφισμένον,
ὥς φασι, χαλκῆν Καλλιμέδοντος εἰκόνα
στῆσαι Παναθηναίοισιν ἐν τοῖς ἰχθύσιν,
ἔχουσαν ὀπτὸν κάραβον ἐν τῇ δεξιᾷ,
ὡς αὐτὸν ὄντ' αὐτοῖσι τῆς τέχνης μόνον
σωτῆρα, τοὺς ἄλλους δὲ πάντας ζημίαν.

Athenaeus III p. 104 d: *Ἄλεξις μὲν οὖν αὐτὸν* (Callimedontem) *ἐν Δορκίδι ἢ Ποππυζούσῃ φίλιχθυν εἶναι κοινῶς παραδίδωσι, καθάπερ καὶ ἄλλοι τῶν κωμῳδιοποιῶν, λέγων οὕτως Τοῖς ἰχθυοπώλαις κτλ.* Versu tertio *στήσειν* C.

56 II (3, 408)

Περιστεράς
ἔνδον τρέφων τῶν Σικελικῶν τούτων πάνυ
κομψάς.

Athenaeus IX p. 395 b: *ἐν δὲ Ῥοδίῳ ἢ Ποππυζούσῃ θηλυκῶς* (περιστερὰ) *εἴρηκε* (Alexis) *καὶ ὅτι αἱ Σικελικαὶ διάφοροί εἰσι Περιστερὰς κτλ.* Vs. 2 Dindorfius ex B *τρέφω*. Ibidem P *τούτων πάνυ τούτων*.

57 III (3, 408)

Τῆς φιλοτησίας ἐγώ
μεστὰς προπίνω γ' ἴσον ἴσῳ κεκραμένας.

Athenaeus XI p. 431 a: *καὶ Ἄλεξις ἐν Δορκίδι ἢ Ποππυζούσῃ Τῆς φιλοτησίας κτλ.* Vs. 1 Iacobsius *τρεῖς φιλοτησίας*. At cfr. Phrynichum Bekk. p. 70. Vs. 2 addidi *γ'*. Dindorfius *δ'*, vel *προπίνων*.

Δ Ρ Ω Π Ι Δ Η Σ

58 I (3, 408)

Εἰσῆλθεν ἡταίρα φέρουσα τὸν γλυκύν
ἐν ἀργυρῷ ποτηρίῳ πετάχνῳ τινί,
ἀστειοτάτῳ τὴν ὄψιν, οὔτε τρυβλίῳ
οὔτε φιάλῃ, μετεῖχε δ' ἀμφοῖν τοῖν ῥυθμοῖν.

Athenaeus III p. 125 f: *ὅτι δ' ἔπινον καὶ γλυκὺν οἶνον μεταξὺ ἐσθίοντες Ἄλεξίς φησιν ἐν Δρωπίδῃ Εἰσῆλθεν κτλ.* Vs. 2 *πετάχμῳ* APDQ *πενταχμῷ* B *πενταδράχμῳ* VL *πετάχνῳ* Casaubonus ex XI p. 496 a, *πέταχνον: ποτήριον ἐκπέταλον, οὗ μνημονεύει Ἄλεξις ἐν Δρωπίδῃ. πρόκειται δὲ τὸ μαρτύριον.* Vs. 4 *μετεῖχε δ'* A *μετεῖχε* B *μετεῖχ'* PVL.

59. 60 II III (3, 409)

Pollux X 121: *τὸ μὲν εἰς τὰς ληκύθους καθιέμενον ἐπὶ γεύματι τοῦ μύρου σπαθίδα καὶ σπάθην κλητέον — Ἀλέξιδος μέντοι ἐν τῷ Δρωπίδῃ σπάθην τὴν σπαθίδα εἰπόντος Τὴν σπάθην | ἐν τῷ μύρῳ καθῆκε.* Athenaeus IV p. 171 b: *παροψωνεῖν δ' ἔφη Κρατῖνος — παραγοράζειν δ' Ἄλεξις ἐν Δρωπίδῃ.*

ΕΙΣ ΤΟ ΦΡΕΑΡ

I (3, 409) 61

Νυνί τέ μοι
ὁ δεσπότης προὔπεμψεν οἴνου κεράμιον
τῶν ἔνδοθεν κομιοῦντ' ἐκεῖθεν. Β. μανθάνω·
ἐπιδόσιμον παρὰ τἄλλα τοῦτ' ἔσται. Α. φιλῶ
αἰσθητικὴν γραῦν.

Athenaeus VIII p. 364 f: *ὀνομάζουσι δ' οἱ ἀρχαῖοι καὶ ἐπιδόσιμά τινα δεῖπνα. — Ἄλεξις γοῦν ἐν τῇ Εἰς τὸ φρέαρ φησί Νυνί τέ μοι κτλ.* Vs. 1 et 2 Schweighaeuserus *νυνί τέ με ἡ δεσπότις.* Fortasse scribendum *νυνί γέ τοι.* Vs. 2 *προὐπέκυψεν* B. Vs. 3 *κομιοῦντ' ἐκεῖθεν* L *κομιοῦντες κεῖθεν* ABP. *κομιοῦντι κεῖθεν* V.

II (3, 409) 62

Τοῖς ἄρτοις ὅσας
ἱστᾶσι παγίδας οἱ ταλαίπωροι βροτοί.

Athenaeus III p. 109 b: *ἐπεὶ δὲ ἤδη ἄρτοι εἰσεκομίζοντο καὶ πλῆθος ἐπ' αὐτοῖς παντοδαπῶν βρωμάτων, ἀποβλέψας εἰς αὐτὰ ἔφη Τοῖς ἄρτοις — βροτοί, φησὶν Ἄλεξις ἐν τῇ Εἰς τὸ φρέαρ.*

III (3, 410) 63

Athenaeus VIII p. 340 c: *τὰ αὐτὰ ἰαμβεῖα* (quae Alexis in Phaedone posuit) *φέρεται κἀν τῇ ἐπιγραφομένῃ Εἰς τὸ φρέαρ.*

ΕΙΣΟΙΚΙΖΟΜΕΝΟΣ

I (3, 410) 64

Οὐ γὰρ ἐμυρίζετ' ἐξ ἀλαβάστου, πρᾶγμά τι
γινόμενον ἀεί, χρονικόν, ἀλλὰ τέτταρας
περιστερὰς ἀφῆκεν ἀποβεβαμμένας
εἰς οὐχὶ ταὐτὸν μὰ Δία τὴν αὐτὴν μύρον,
ἰδίῳ δ' ἑκάστην. πετόμεναι δ' αὖται κύκλῳ
ἔρραινον ἡμῶν θαἱμάτια καὶ στρώματα.
μή μοι φθονήσητ', ἄνδρες Ἑλλήνων ἄχροι,
ἠλειφόμην ὑόμενος ἰρίνῳ μύρῳ.

Athenaeus XV p. 691 e: *ὡς λῆρον εἶναι τὰ ἐν τῷ Εἰσοικιζομένῳ Ἀλέξιδος ταυτί Οὐ γὰρ κτλ.* Priora verba usque ad *ἀλαβάστου* habet etiam Eustathius ad Hom. p. 1161 30. Vs. 1 *ἀλαβάστου* A et Eustathius, alii *ἀλαβάστρου.* Ibid. *πρᾶγμά τι* pro *πράγματι* Canterus. Vs. 2 libri *τέσσαρες.* Vs. 6 *καὶ* pro *τὰ* Dindorfius. Vs. 7 ex Euripidis Telepho sumptum esse docuit

Valckenarius ad Theocr. Adon. p. 414. Vs. 8 libri *θνόμενος*, quod correxi.

65 II (3, 411)

Athenaeus XI p. 502 d: *Ἄλεξις ἐν Εἰσοικιζομένῳ φησί τρικότυλον ψυγέα.* Hinc sumpsit Eustathius p. 1632 12.

66 III (3, 411)

Athenaeus XIV p. 613 c: *ὁ ἔξοινος — παρ' Ἀλέξιδι ἐν Εἰσοικιζομένῳ ἔξοινος ἐποίει ταῦτα.* Idem XV p. 685 f: *οὕτως (ἔξοινος) δ' εἴρηκε τὸν μεθύσην Ἄλεξις ἐν Εἰσοικιζομένῳ.* Falluntur Porsonus Adv. p. 146 et Piersonus ad Moer. p. 160. De quarto quodam fragmento vide Inc. fab. XXIX.

ΕΚΠΩΜΑΤΟΠΟΙΟΣ

67. 68 I II (3, 411)

Ἀεὶ φιλόμυρον πᾶν τὸ Σάρδεων γένος.

Athenaeus XV p. 691 d: *οὐ μόνον δὲ τὸ τῶν Σαρδιανῶν γένος φιλόμυρον ἦν, ὡς Ἄλεξίς φησιν ἐν Ἐκπωματοποιῷ Ἀεὶ φιλόμυρον κτλ. ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀθηναῖοι.* Σάρδεων pro Σαρδέων Schweighaeuserus. Antiatticista p. 82 7. *Ἄσημον: ἐπὶ τοῦ ἀργυρίου Ἄλεξις Ἐκπωματοποιῷ*

ΕΛΕΝΗ

69 (3, 411)

Ὡς ὅστις αὐτῆς τῆς ἀκμῆς τῶν σωμάτων
ἐρᾷ, τὸν ἄλλον δ' οὐδὲ γινώσκει λόγον,
τῆς ἡδονῆς ἔστ', οὐχὶ τῶν φίλων φίλος,
ἀδικεῖ τε τὸν Ἔρωτ' ἐμφανῶς θνητὸς θεόν,
ἄπιστον αὐτὸν πᾶσι τοῖς ἄλλοις ποιῶν.

Athenaeus XIII p. 563 d: *Ἄλεξις Ἑλένῃ Ὡς ὅστις αὐτῆς κτλ.* Locus ex alterutra duarum insequentium fabularum desumptus videtur. Vs. 1 *ὅστις αὐτῆς τῆς ἀκμῆς* Iacobsius. *ὅστις αὐτῆς* (A *αὖ τῆς*) *ἀκμῆς* ABP *ὅστις αὖθις ἀκμῆς* C *ὅστις ἀκμῆς* VL. Vs. 2 *δ'* om. VL. add. P. ut coniecerat Iacobsius.

ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ

70 I (3, 412)

Ἀκόλαστός ἐστι, τὴν δὲ πολιὰν οὐκ ἐντρέπεται.

Priscianus XVIII p. 204 ed. Kr. "Attici *ἐντρέπομαι τοῦτο καὶ τούτου. — Ἄλεξις Ἑλένης ἁρπαγῇ Ἀκόλαστός ἐστι κτλ.*" Coniicere possis *Ἀκόλαστος εἶ, τὴν δὲ πολιὰν οὐκ ἐντρέπει.*

Nisi forte aliquid excidit, *τὴν δὲ πολιὰν τοῦ πατρός | οὐκ ἐντρέπεται.*

II (3, 412) 71

Antiatticista p. 106 22: *Λάκαιναν τὴν παρθένον φασὶ δεῖν καλεῖν, τὴν δὲ χώραν Λακωνικήν. Ἄλεξις Ἑλένης ἁρπαγῇ.*

ΕΛΕΝΗΣ ΜΝΗΣΤΗΡΕΣ

I II (3, 412) 72. 73

Antiatticista p. 96 10. *Εἷς ἕκαστος: Ἄλεξις Ἑλένης μνηστῆρσιν.* Idem p. 99 20. *Θερμολουτεῖν: Ἄλεξις Ἑλένης μνηστῆρσιν.*

III (3, 412) 74

Ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν.

Athenaeus XIV p. 650 e: *Ἐπίλυκος Κωραλίσκῳ "μῆλα καὶ ῥόας λέγεις." Ἄλεξις Μνηστῆρσι Ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν.* Non dubito quin ante *Μνηστῆρσι* Helenae nomen exciderit.

ΕΛΛΗΝΙΣ

(3, 413) 75

Ἀεὶ δὲ καὶ ζῶντ' ἐστὶ καὶ τεθνηκότα
τἀν τῇ θαλάττῃ πολέμι' ἡμῖν θηρία.
ἂν ἀνατραπῇ γὰρ πλοῖον, εἶθ', ὡς γίνεται,
ληφθῇ νέων τις, καταπεπώκασ' εὐθέως·
αὐτοί τ' ἐπὰν ληφθῶσιν ὑπὸ τῶν ἁλιέων,
τεθνεῶτες ἐπιτρίβουσι τοὺς ὠνουμένους.
τῆς οὐσίας γάρ εἰσιν ἡμῶν ὦνιοι,
ὁ πριάμενός τε πτωχὸς εὐθὺς ἀποτρέχει.

Athenaeus VI p. 226 f: *οὐκ ἀπιθάνως δὲ καὶ Δίφιλος ἐν Ἐμπόρῳ περὶ τοῦ παμπόλλου πιπράσκεσθαι τοὺς ἰχθῦς λέγει — Ἄλεξις δ' ἐν Ἑλληνίδι Ἀεὶ δὲ καὶ κτλ.* Vs. 1 ante Dindorfium *αἰεί.* Vs. 2 libri *ἐν τῇ*, quod correxi. Vs. 3 *ἂν ἀνατραπῇ* ABC *ἀνατραπῇ* sine *ἂν* P *ἐὰν τραπῇ* VL. Vs. 4 *νέων* BCL *ναίων* AP *καταπεπώκασ'* ABC *καταπεπτώκασ'* PVL.

ΕΠΙΔΑΥΡΙΟΣ

(3, 413) 76

Τοὺς Χαιρεφίλου δ' υἱεῖς Ἀθηναίους, ὅτι
εἰσήγαγεν τάριχος, οὓς καὶ Τιμοκλῆς
ἰδὼν ἐπὶ τῶν ἵππων δύο σκόμβρους ἔφη
ἐν τοῖς σατύροις εἶναι.

Athenaeus III p. 119 f: *τοσαύτην δ' Ἀθηναῖοι σπουδὴν ἐποιοῦντο περὶ τὸ τάριχος ὡς καὶ πολίτας ἀναγράψαι τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὥς φησιν Ἄλεξις ἐν Ἐπιδαυρίῳ οὕτως Τοὺς Χαιρεφίλου κτλ.* Vs. 1 pro δ' υἱεῖς forsan *ποιεῖν*.

ΕΠΙΚΛΗΡΟΣ

I (3, 414. 415)

77

Ὅστις ἀγοράζει πτωχὸς ὢν ὄψον πολύ,
ἀπορούμενός τε τἄλλα πρὸς τοῦτ' εὐπορεῖ,
τῆς νυκτὸς οὗτος τοὺς ἁπαντῶντας ποιεῖ
γυμνοὺς ἅπαντας. εἶτ' ἐπάν τις ἐκδυθῇ,
τηρεῖν ἔωθεν εὐθὺς ἐν τοῖς ἰχθύσιν·
ὃν ἂν δ' ἴδῃ πρῶτον πένητα καὶ νέον
παρὰ Μικίωνος ἐγχέλεις ὠνούμενον,
ἀπάγειν λαβόμενον εἰς τὸ δεσμωτήριον.

Athenaeus VI p. 227 d: *πρὸς δὲ τοὺς περιέργως ὀψωνοῦντας τάδε φησὶν Ἄλεξις ἐν Ἐπικλήρῳ Ὅστις ἀγοράζει κτλ.* Vs. 4 fortasse legendum *δεῖ τ'* pro *εἶτ'*. Vs. 5 *τηρεῖ* C. Vs. 6 ante Dindorfium *ὃν δ' ἄν*. Vs. 7 *ἐγχέλεις* AB reliqui *ἐγχέλυς*. Micionem piscarium ex hoc loco commemorat Athen. VI p. 227 b: *Ἄλεξις δ' ἐν Ἐπικλήρῳ Μικίωνος ἰχθυοπώλου τινὸς μνημονεύει.* Vs. 8 *ἀπάγει* C.

II (3, 415)

78

Ἀλλ' ἔγωγ', ὦ παῖ, δίδωμι, καὶ ποιήσω πάνθ' ὅσα
οὗτος αἰτεῖται παρ' ἡμῶν.

Antiatticista p. 81 20. *αἰτεῖσθαι γάρ φησι τὸν ἀποδιδόντα, τὸν δὲ μὴ ἀποδώσοντα αἰτεῖν. Ἄλεξις δ' Ἐπικλήρῳ ἐκδιδόντος τινὸς θυγατέρα Ἀλλ' ἔγωγ', ὦ παῖ κτλ.* Codex *ἐγὼ παῖ*. Bekkerus *ἔγωγε παῖ*. Nostrum Dobraeus ad Aristoph. Achar. 254.

III (3, 415)

79

Antiatticista p. 104 24. *Κακουχία: Ἄλεξις Ἐπικλήρῳ.*

ΕΠΙΣΤΟΛΗ

(3, 415)

80

Antiatticista p. 112 9. *Προσέκοψεν: ἀντὶ τοῦ προσέπταισεν. Ἄλεξις Ἐπιστολῇ.* Eadem Photius et Suidas s. v. *προσέκοψεν*, sed fabulae nomine omisso.

Ε Π Ι Τ Ρ Ο Π Ο Σ

(3, 416)

81 *Πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποιεῖ.*

Athenaeus X p. 443 f: *καλῶς πρὸς τοὺς οὕτω λάπτοντας τὸν οἶνον Ἄλεξις ἐν Ὀπώρᾳ φησὶν — κἀν Ἐπιτρόπῳ δ' ἔφη Πολὺς κτλ.* Cod. B ὁ *οἶνος*, h. e. *ὤνος*, quod fortasse praestat. Pro *ποιεῖ* AP *ποεῖ*.

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ

(3, 416)

82 *Γόγγρου δ' ὁμοῦ σωρευτὰ πιμελῆς μέλη*
ὑπεργέμοντα.

Athenaeus VII p. 294 a de gongro pisce agens: *Ἄλεξις ἐν Ἑπτὰ ἐπὶ Θήβαις Γόγγρου κτλ.* Vulgatum verborum ordinem: *γόγγρου δ' ὁμοῦ μέλη σωρευτὰ πιμελῆς ὑπεργέμοντα*, mutavit Porsonus.

Ε Ρ Ε Τ Ρ Ι Κ Ο Σ

(3, 416)

83 *Τευθίδες, σπίναι, βατίς, δῆμος, ἀφύαι,*
κρεάδι', ἐντερίδι'· ἀλλὰ τὰς μὲν τευθίδας,
τὰ πτερύγι' αὐτῶν συντεμών, στεατίου
μικρὸν παραμίξας, περιπάσας ἡδύσμασιν
λεπτοῖσι χλωροῖς, ὠνθύλευσα.

Athenaeus VII p. 326 d: *Ἄλεξις δ' ἐν Ἐρετρικῷ τάδε ποιεῖ λέγοντα μάγειρον Τευθίδες κτλ.* Vs. 1 *σπίναι* Dindorfius, *σπῖναι* ABPV *πίναι* B *πίνναι* L ex coniectura Gesneri. Pro *δῆμος* forsan *χῆμος* scribendum, id ut idem sit quod *χήμη*. Ita *χάννος* dicebatur et *χάννη*. Vs. 2 *ἀλλὰ* delevit Dindorfius. Locus fortasse ita distinguendus: *τευθίδες,* | *σπίναι, βατίς, δῆμος, ἀφύαι, κρεάδια,* | *ἐντερίδι', ἄλλα. * * τὰς μὲν τευθίδας* etc. Vs. 5 *λεπτοῖσι* pro *λεπτοῖς* Schweighaeuserus.

ΕΡΙΘΟΙ. Η ΕΙΣ ΤΟ ΦΡΕΑΡ

Vide in *Παννυχὶς ἢ Ἔριθοι* et *Εἰς τὸ φρέαρ.*

Η Σ Ι Ο Ν Η

I (3, 417)

84 *Γενόμενος δ' ἔννους μόλις*
ἦτησε κύλικα, καὶ λαβὼν ἐξῆς πυκνὰς
ἔλκει κατανλεῖ, κατά τε τὴν παροιμίαν

ἀεί ποτ' εὖ μὲν ἀσκὸς εὖ δὲ θύλακος
ἄνθρωπός ἐστι.

Athenaeus XI p. 470 e: *καὶ μήποτε Ἄλεξις ἐν Ἡσιόνῃ θηρικλείῳ ποιεῖ τὸν Ἡρακλέα πίνοντα ὅταν οὕτωσὶ λέγῃ Γενόμενος κτλ.* Vs. 1 vulgo *εἴνους*. B *εὔννους*. C *ἔννους*. Vs. 2 *κύλικα* Bentleius, firmante C *κύλην* VL *κοίλην κύλην* deleto *κοίλην* P. Vs. 4 libri *αἰεί*. Vs. 5 malim *ἄνθρωπος*, sc. Hercules.

85 II (3, 418)

Ὡς εἶδε τὴν τράπεζαν ἀνθρώπους δύο
φέροντας εἴσω ποικίλων παροψίδων
κόσμου βρύουσαν, οὐκέτ' εἰς ἐμὲ βλέπων —

Athenaeus IX p. 367 f: *ἐπὶ σκεύους οὖν εἴρηκεν (τὸ παροψὶς) — καὶ Ἄλεξις ἐν Ἡσιόνῃ Ὡς εἶδε κτλ.* Vs. 1 *εἶδε* pro *ἴδε* Schweighaeuserus. Vs. 3 *βλέπων* PVL *βλέπον* AC. Dindorfius *ἔμ' ἔβλεπεν*.

ΘΕΟΦΟΡΗΤΟΣ

86 I (3, 418)

Οἶμαί γ' ἐπιτιμᾶν τῶν ἁπαντώντων τινάς
ἡμῖν, ὅτι τηνικαῦτα μεθύων περιπατῶ·
ποῖος γάρ ἐστι φανός, ὦ πρὸς τῶν θεῶν,
τοιοῦτος οἷος ὁ γλυκύτατος ἥλιος.

Athenaeus XV p. 700 a de *λύχνῳ, λυχνούχῳ* et *φανῷ* disserens, allato Alexidis ex Midone loco: *ἐν δὲ Θεοφορήτῳ ὁ αὐτὸς Ἄλεξις Οἶμαι κτλ.* Vs. 1 libri *οἶμαι γὰρ ἐπιτιμᾶν*. Correxit Iacobsius. Ibidem *ἁπαντώντων* pro *ἀπαντώντων* BVL *ἁπάντων* P *τινὰς* om. B. Tertium et quartum versum ex parte apposuit Eustathius p. 1571 11.

87 II (3, 419)

Λαλῶ Πτολεμαίῳ γογγυλίδος ὀπτῶν τόμους.

Athenaeus IX p. 369 e: *ταύτης (τῆς ὠπτημένης γογγυλίδος) μνημονεύει — καὶ Ἄλεξις ἐν Θεοφορήτῳ Λαλῶ κτλ.* B *λάλω πτοτεμαίω*. Pro *ὀπτῶν* C habet *ὀπτῆς*.

ΘΕΣΠΡΩΤΟΙ

88 (3, 419)

Ἑρμῆ θεῶν προπομπὲ καὶ Φιλιππίδου
κληροῦχε, νυκτός τ' ὄμμα τῆς μελαμπέπλου.

Athenaeus XII p. 552 e de Philippidis gracilitate poetarum testimonia afferens: *Ἄλεξίς τ' ἐν Θεσπρωτοῖς φησιν Ἑρμῆ κτλ.*

Θ H B A I O I

(3, 419) 89

Ἔστιν δὲ ποδαπὸς τὸ γένος οὗτος; Β. πλούσιος.
τούτους δὲ πάντες φασὶν εὐγενεστάτους
εἶναι· πένητας δ' εὐπατρίδας οὐδεὶς ὁρᾷ.

Athenaeus IV p. 159 d: *Χρύσιππος . . . νεανίσκον φησί τινα ἐκ τῆς Ἰωνίας σφόδρα πλούσιον ἐπιδημῆσαι ταῖς Ἀθήναις . . . πυνθανομένου δέ τινος αὐτοῦ ποδαπός ἐστιν, ἀποκρίνασθαι ὅτι πλούσιος. μήποτε τοῦ αὐτοῦ μνημονεύει καὶ Ἄλεξις ἐν Θηβαίοις λέγων ὧδε Ἔστιν δὲ ποδαπός κτλ.* Consimili lusu Plautus Capt. II 2 27 ***quo de genere natu'st illic Philocrates? Polyplusio: Quod genus illic est unum pollens atque honoratissimum.*** Vs. 3 εἶναι addidit Dindorfius. Idem οὐδεὶς scripsit pro *οὐδὲ εἷς*, et praeterea *εὐπάτριδας* pro *εὐπατρίδας*.

Θ H T E Y O N T E Σ

(3, 420) 90

Ὅρκος βέβαιός ἐστιν ἂν νεύσω μόνον.

Stobaeus Floril. XXVII 3 cum lemmate Ἀλέξιδος ἐκ *Θητευόντων*.

Θ P A Σ Ω N

(3, 420) 91

Σοῦ δ' ἐγὼ λαλιστέραν
οὐπώποτ' εἶδον οὔτε κερκώπην, γύναι,
οὐ κίτταν, οὐκ ἀηδόν', οὔτε τρυγόν', οὐ
τέττιγα.

Athenaeus IV p. 133 b: *Ἄλεξις ἐν Θράσωνί φησι Σοῦ δ' ἐγὼ κτλ.* Eustathius ad Hom. p. 1282 40: *ὁμοίως δὲ καὶ ἡ κερκώπη ζῷον αὐτὴ ὅμοιον τέττιγι καὶ τριγονίῳ* (leg. *τιγονίῳ*), *περὶ ὧν δηλοῖ ὁ κωμικὸς Ἄλεξις εἰπών Σοῦ δ' κτλ.* Respicit Libanius vol. IV p. 143: *τρυγόνος λαλιστέρα, κίττης, ἀηδόνος, κερκώπης.* Cfr. Photius p. 608 10. Vs. 3 libri *οὐ* pro *οὔτε*, quod reposuit Porsonus.

I A Σ I Σ

(3, 421) 92

Antiatticista p. 83 15. *Ἀμφιτάπητα*: Ἄλεξις *Ἰάσιδι*. Aut *Ἰασίδι* scribendum aut *Ἰάσονι*.

Ι Π Π Ε Υ Σ

93 I (3, 421)

Τοῦτ' ἔστιν Ἀκαδήμεια, τοῦτο Ξενοκράτης;
πόλλ' ἀγαθὰ δοῖεν οἱ θεοὶ Δημητρίῳ
καὶ τοῖς νομοθέταις, διότι τοὺς τὰς τῶν λόγων,
ὥς φασι, δυνάμεις παραδιδόντας τοῖς νέοις
ἐς κόρακας ἔρρειν φασὶν ἐκ τῆς Ἀττικῆς.

Athenaeus XIII p. 610 e: *οὓς (φιλοσόφους) οὐ μόνον Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ἀλλὰ καὶ Ἀθηναῖοι. Ἄλεξις γοῦν ἐν Ἵππῳ* (leg. *Ἱππεῖ*) *φησί Τοῦτ' ἔστιν Ἀκαδήμεια κτλ.* Vs. 1 libri *Ἀκαδημία*. Vs. 5 Dobraeus *ἐς κόρακας ἐρρίφασιν.*

94 II (3, 421)

Καὶ θηρίκλειός τις κύλιξ, στέφανον κύκλῳ
ἔχουσα χρυσοῦν· οὐ γὰρ ἐπίτηκτόν τινα.

Athenaeus XI p. 471 e de thericleis poculis poetarum testimonia afferens: *Ἄλεξις δ' ἐν Ἱππεῖ Καὶ θηρίκλειος κτλ.* Vs. 2 *ἐπίτηκτον* Coraes. Libri *ἐπίκτητον.*

95 III (3, 422)

Τά τε κυμβία
ἆρ' ἦν πρόσωπ' ἔχοντα χρυσᾶ παρθένων;
Β. νὴ τὸν Δί' ἦν γάρ. Α. ὦ τάλαιν' ἐγὼ κακῶν.

Athenaeus XI p. 481 f de *κυμβίῳ* poculo ageus: *Ἄλεξις Ἱππεῖ Τά τε κυμβία κτλ.* Vs. 2 libri *ἦν* sine *ἆρ'*, et vs. 3 *ἔγωγε* pro *ἐγώ*. Correxit additis personarum notis Dobraeus.

Ι Π Π Ι Σ Κ Ο Σ

Vide *Ἀγωνὶς ἢ Ἱππίσκος.*

Ι Σ Ο Σ Τ Α Σ Ι Ο Ν

96 I (3, 422. 423)

Πρῶτα μὲν γὰρ πρὸς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς πέλας
πάντα τἄλλ' αὐταῖς πάρεργα γίνεται· ῥάπτουσι δέ
πᾶσιν ἐπιβουλάς· ἐπειδὰν δ' εὐπορήσωσίν ποτε,
ἀνέλαβον καινὰς ἑταίρας, πρωτοπείρους τῆς τέχνης.
εὐθὺς ἀναπλάττουσι ταύτας, ὥστε μήτε τοὺς τρόπους
μήτε τὰς ὄψεις ὁμοίας διατελεῖν οὔσας ἔτι.
τυγχάνει μικρά τις οὖσα, φελλὸς ἐν ταῖς βαυκίσιν
ἐγκεκάττυται· μακρά τις, διάβαθρον λεπτὸν φορεῖ
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται·

τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία,
ὑπενέδυσ' ἐρραμμέν' αὐτήν, ὥστε τὴν εὐπτυγίαν
ἀναβοᾶν τοὺς εἰσιδόντας. κοιλίαν ἁδρὰν ἔχει,
στηθί' ἔστ' αὐταῖσι τούτων ὧν ἔχουσ' οἱ κωμικοί·
ὀρθὰ προσθεῖσαι τοιαῦτα τοὔνδυτον τῆς κοιλίας
ὥσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγον.
τὰς ὀφρῦς πυρρὰς ἔχει τις, ζωγραφοῦσιν ἀσβόλῳ.
συμβέβηκ' εἶναι μέλαιναν, κατέπλασε ψιμυθίῳ.
λευκόχρως λίαν τίς ἐστι, παιδέρωτ' ἐντρίβεται.
καλὸν ἔχει τοῦ σώματός τι, τοῦτο γυμνὸν δείκνυται.
εὐφυεῖς ὀδόντας ἔσχεν, ἐξ ἀνάγκης δεῖ γελᾶν,
ἵνα θεωρῶσ' οἱ παρόντες τὸ στόμ' ὡς κομψὸν φορεῖ.
ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν
ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε,
ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
μυρρίνης ἔχουσα λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν,
ὥστε τῷ χρόνῳ σέσηρεν, ἄν τε βούλητ' ἄν τε μή.
[ὄψεις διὰ τούτων σκευοποιοῦσι τῶν τεχνῶν.]

Athenaeus XIII p. 568 a: *Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἰσοστάσιον τὴν ἑταιρικὴν παρασκευὴν καὶ τὰς δι' ἐπιτεχνήσεως κομμώσεις τῶν ἑταιρῶν οὕτως ἐκτίθεται Πρῶτα μὲν γάρ κτλ.* Omisso fabulae nomine habet etiam Clemens Alex. Paed. III 2. Vs. 1 *πρῶτα* Clemens. *πρῶτον* Athenaeus. Ib. Clemens *ἐς τὸ κέρδος.* Vs. 6 *ὁμοίας* B. Ceteri *ὁμοίως.* Vs. 7 Eustathius p. 1522 10: *βαυκίδες ὡς τό "φελλὸς ἐν τοῖς βαυκίσιν ἐγκεκάττυται."* Vs. 8 Eustathius l. l. *διάβαθρον γυναικεῖον φόρημα ὡς τό "διάβαθρον λεπτὸν φορεῖ.".* Vs. 12 *εἰσιδόντας* Sylburgius ad Clementem et Grotius. Athenaeus *ἰδόντας,* Clementis ed. Flor. *εἰσιόντας.* Ibid. *ἁδρὰν* codices Athenaei omittunt. Vs. 13 *στήθιες ταυταισὶ* APV *στήθιες ταυτασὶ* B *τιτθείαις ταυταισὶ* L *τιτθίαις ταύταισιν* Clemens. Hinc *τιτθί' ἔστ' αὐταῖσι* Iacobsius. Dindorfius Athenaei codices sequutus *στηθί' ἔστ' αὐταῖσι.* Vs. 14 *ὀρθὰ προσθεῖσαι τοιαῦτα γοῦν αὐτῶν τῆς κοιλίας* Athenaeus. *ὀρθὰ προσθεῖσα οὐτοντύνδυτον τῆς κοιλίας* Clemens. Idem sequenti versu *ἀπήγαγεν.* Sylburgius *ὀρθὰ προστιθεῖσα τούτων τοὔνδυτον τῆς κοιλίας — ἀπήγαγεν.* Emperius *ὧν ἔχουσ' οἱ κωμικοί | ὀρθά. προστιθεῖσα τοῦτο τοὔνδυτον τῇ κοιλίᾳ, | ὥσπερεὶ κοντοῖσι τοὔπισθ' εἰς τὸ πρόσθ' ἀπήγαγεν.* Vs. 19 *τοῦτο* Clemens. Apud Athenaeum *τοῦτ' αὐτὸ* BC *ταὐτὸ* PVL *δεικνύει* Clemens. Vs. 21 *θεω-*

ρῶσ' Clemens. *ϑεωροῖεν* Athenaeus. Vs. 22 *διατελεῖ* Clemens. Athenaeus *διὰ τέλους*. Vs. 23 et 24 *ἔνδον — χρανία* omittit Clemens. Vs. 24 Lobeckius ad Phryn. p. 78 *ξυλύφιον*. Vs. 25 *ἔχουσα* Clemens. Athenaeus *ἔχουσι*. Vs. 26 *σέσηρεν* Clemens. Athenaeus *σεσηρέναι*. Ib. Athenaeus *βούλωντ'*. Clemens *βούλετ'*. Correxit Schweighaeuserus. Postremus versus, a Clemente omissus, cum Athenaei oratione coniungendus, qui ita pergit: *διὸ συμβουλεύω σοι, Θετταλὲ ποικιλόδιφρε, τὰς ἐπὶ τῶν οἰκημάτων ἀσπάζεσϑαι* etc. Itaque uncinis circumclusi. Frustra, quamquam aliis felicius, Dobraeus tentabat *τὰς μὲν ὄψεις διὰ τοιούτων σκευοποιοῦσιν τεχνῶν*.

97 II (3, 425)

Ἀπὸ συμβολῶν ἔπινον, ὀρχεῖσϑαι μόνον
βλέποντες, ἄλλο δ' οὐδέν, ὄψων ὀνόματα
καὶ σιτίων ἔχοντες, Ὄψων, Κάραβος,
καὶ Κωβιός, Σεμίδαλις.

Athenaeus IV p. 134 c: *Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ Ἰσοστάσιόν φησιν Ἀπὸ συμβολῶν κτλ.* Vs. 3 *ὄψων* ADP *ὄψον* VL. Vs. 4 *καὶ* ante *Σεμίδαλις* delevit Dindorfius. Respicit ad hunc locum Athen. III p. 127 c: *σεμιδάλεως μέμνηται — καὶ Ἄλεξις ἐν Ἰσοστασίῳ*, non memor *Σεμίδαλις*, ut *Ὄψων Κάραβος* et *Κωβιός*, in Alexidis loco hominis esse nomen.

ΚΑΛΑΣΙΡΙΣ

98 (3, 426)

Ποῖ δή μ' ἄγεις διὰ τῶν κύκλων;

Pollux X 18: *ἵνα δ' ἐπιπράσκετο τὰ σκεύη, τῆς ἀγορᾶς τὸ μέρος τοῦτο κύκλοι ὠνομάζοντο, ὡς Ἄλεξις ὑποδηλοῦν ἔοικεν ἐν Καλασίριδι Ποῖ δέ με ἄγεις ἐν τῷ κύκλῳ*. Ita Aldus. Codices *ποῖ δή με ἄγεις διὰ τῶν κύκλων*. Bentleius *πῆ δή μ' ἄγεις; B. διὰ τῶν κύκλων*.

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

Vide *Τοκιστὴς ἢ Καταψευδόμενος*.

ΚΑΥΝΙΟΙ

99 (3, 426)

Ἐν τῷ βαλανείῳ μήτε πῦρ ταῖς ἐσχάραις
ἐνὸν κεκλεισμένον τε τἀλειπτήριον.

Pollux VII 166: *μέρος δὲ βαλανείου καὶ ἐσχάρα καὶ ἀλειπτήριον. φησὶ γοῦν Ἄλεξις ἐν Καυνίοις Ἐν τῷ βαλανείῳ κτλ.*

ΚΗΡΥΤΤΟΜΕΝΟΣ

(3, 426) 100

Ὥστ' ἐξελὼν ἐκ τοῦ λυχνούχου τὸν λύχνον
μικροῦ κατακαύσας ἔλαθ' ἑαυτόν, ὑπὸ μάλης
τῇ γαστρὶ μᾶλλον τοῦ δέοντος προσαγαγών.

Athenaeus XV p. 1561 Dind. de *λυχνούχῳ* agens: *Ἄλεξις δ' ἐν Κηρυττομένῳ Ὥστ' ἐξελὼν κτλ.* Vs. 1 codex A *ἐξελὼν τοῦ λύχνου τὸν χαντον λύχνον*, et vs. 2 *ἐλαϑεν ϑ' αυτον.* Correxit Elmsleius.

ΚΙΘΑΡΩΙΔΟΣ

(3, 427) 101

Antiatticista p. 96 9. *Ἐξέβη ἡμῖν τὸ ἐνύπνιον: Ἄλεξις Κιθαρῳδῷ.* Apud Alexin fuisse videtur *ἐξέβη | τοὐνύπνιον ἡμῖν.*

ΚΛΕΟΒΟΥΛΙΝΗ

(3, 427) 102

Athenaeus XIII p. 586 a: *μνημονεύει δ' αὐτῆς — καὶ Ἄλεξις ἐν Κλεοβουλίνῃ.* Sinopen dicit meretricem. Cfr. Photium, *Σινωπῆσαι: τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην. ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθάπερ Ἄλεξις ἔφη.* Quae leguntur etiam apud Suidam.

ΚΝΙΔΙΑ

(3, 427) 103

Διόδωρος οὐπίτριπτος ἐν ἔτεσιν δύο
σφαῖραν ἀπέδειξε τὴν πατρῴαν οὐσίαν·
οὕτως ἰταμῶς ἅπαντα κατεμασήσατο.

Athenaeus IV p. 165 d: *ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους· ἕνα μέν, οὗ μνημονεύει Ἄλεξις ἐν Κνιδίᾳ Διόδωρος οὐπίτριπτος κτλ.*

ΚΟΝΙΑΤΗΣ

(3, 427) 104

Κυμβία,
φιάλαι, τραγέλαφοι, κύλικες.

Athenaeus XI p. 500 e: *Τραγέλαφοι: οὕτω τινὰ καλεῖται ποτήρια, ὧν μνημονεύει Ἄλεξις ἐν Κονιάτῃ Κυμβία, φιάλαι, τραγέλαφοι, κύλικες.*

K O Y P I Σ

105 I (3, 428)

Καὶ γὰρ ἐπὶ κῶμον . . ἀνθρώπων ὁρῶ
πλῆθος προσιόν, ὡς τῶν καλῶν τε κἀγαθῶν
ἐνθάδε συνόντων· μὴ γένοιτό μοι μόνῳ
νύκτωρ ἀπαντῆσαι καλῶς πεπραγόσιν
ὑμῖν περὶ τὸν βαλλισμόν· οὐ γὰρ ἄν ποτε
θοίμάτιον ἀπενέγκαιμι μὴ φύσας πτερά.

Athenaeus VIII p. 362 c de verbo *βαλλίζειν* disserens, quo Epicharmum et Sophronem usos esse docet: *ἀλλὰ μὴν καὶ Ἄλεξις ἐν Κουρίδι φησί Καὶ γὰρ κτλ.* Vs. 1 *ἐπὶ κῶμον* L *ἐπικώμω* PV. Fortasse *ἐνθάδ'* addendum. Vs. 2 *προσιὸν ὡς τῶν* APV *προσιὼν ὡς τῶν* B *προσιόντων τῶν* L *προσιὸν ἀστῶν* Iacobsius. Forsan *προσιόντων, ὡς καλῶν τε κἀγαθῶν* etc. Vs. 4 malim *κακῶς*.

106 II (3, 428)

Ὁ μὲν οὖν ἐμὸς υἱός, οἷον ὑμεῖς ἀρτίως
εἴδετε, τοιοῦτος γέγονεν, Οἰνοπίων τις ἢ
Μάρων τις ἢ Κάπηλος ἢ καὶ Τιμοκλῆς.
μεθύει γὰρ οὐδὲν ἧττον· ὁ δ' ἕτερος — τί ἄν
τύχοιμ' ὀνομάσας; βῶλος, ἄροτρον, γηγενής
ἄνθρωπος.

Athenaeus X p. 443 d: *Ἄλεξις δ' ἐν Κουρίδι περί τινος πλέον πιόντος διαλεγόμενός φησιν Ὁ μὲν οὖν κτλ.* Partem loci apposuit Eustath. ad Od. p. 1623 51 sq. Vs. 3 addidi *καί*, ut voluit Dindorfius. Dobraeus dubitanter supplet *τις*. Vs. 4 *οὐδὲν ἕτερον* ante Porsonum. Ibidem *ὁ δ' ἕτερος κτλ.* affert Eustathius ad Iliad. p. 962 34. Vs. 6 vulgo *ἄνθρωπος*.

107 III (3, 429)

Athenaeus X p. 422 e: *εἴρηκε δὲ οὕτως* (*δεδείπναμεν* pro *δεδειπνήκαμεν*) *Ἄλεξις ἐν Κουρίδι Ἐπεὶ πάλαι δεδείπναμεν.*

ΚΡΑΤΕΥΑΣ Η ΦΑΡΜΑΚΟΠΩΛΗΣ

108 I (3, 429. 430)

Πρῶτον μὲν οὖν ὄστρεια παρὰ Νηρεῖ τινα
ἰδὼν γέροντα φῦκος ἠμφιεσμένα
ἔλαβον ἐχίνους τ'· ἔστι γὰρ προοίμιον
δείπνου χαριέντως ταῦτα πεπρυτανευμένου.
τούτων δ' ἀπολυθείς, κειμένων ἰχθυδίων

μικρῶν, τρεμόντων τῷ δέει τί πείσεται,
θαρρεῖν κελεύσας ἕνεκ' ἐμοῦ ταῦτ', οὐδὲ ἓν
φήσας ἀδικήσειν, ἐπριάμην γλαῦκον μέγαν.
ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος
ὅτι δεῖ γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλοὺς ὑπ' ἀκάνθης μηδὲ ἓν τούτων παθεῖν.
ἐπὶ τὸ τάγηνον φυκίδας, ψήττας τινάς,
καρῖδα, φύκην, κωβιόν, πέρκην, σπάρον,
ἐποίησά τ' αὐτὸ ποικιλώτερον ταῶ.
κρεάδι' ἄττα, ποδάρια, δύγγη τινά,
ὠτάρι' ὕει', ἡπάτιον ἐγκεκαλυμμένον·
αἰσχύνεται γὰρ πελιτνὸν ὂν τῷ χρώματι.
τούτοις μάγειρος οὐ πρόσεισ', οὐκ ὄψεται.
οἰμώξεται γὰρ νὴ Δί'· ἀλλ' ἐγὼ σοφῶς
ταῦτ' οἰκονομήσω καὶ γλαφυρῶς καὶ ποικίλως
οὕτω, ποιῶ γὰρ τοὔψον αὐτός, ὥστε τούς
δειπνοῦντας εἰς τὰ λοπάδι' ἐμβάλλειν ποιῶ
ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.
τὰς σκευασίας πάντων δὲ καὶ τὰς σκευάσεις
τούτων ἕτοιμός εἰμι δεικνύειν, λέγειν,
προῖκα προδιδάσκειν, ἂν θέλῃ τις μανθάνειν.

Athenaeus III p. 107 a: *Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ — φησὶ δ' οὕτως ὁ κωμικός Πρῶτον μὲν οὖν κτλ.* Vs. 1 *οὖν* addidit Elmsleius. Tum libri *ὄστρεα* et *τινί*, quod ineptum est de Nereo coquo et caupone celeberrimo. Scripsi igitur quod Hist. crit. p. 372 proposui *τινά*. Vs. 2 vulgo *φυσκίοισιν*. ABP *φυκίοις*. Correxit Elmsleius, quamquam possis etiam cum Dindorfio *φυκί'*. Ib. *ἠμφιεσμένα* pro *ἠμφιεσμένῳ* Coraes. Denique pro *γέροντι* scripsi *γέροντα*, id ut ad *ὄστρεια* referatur. Vs. 9—11 etiam in Demetrio posuit, cuius vide Fragm. III. Vs. 10 *δεῖ* C. Vulgo *δή*. Vs. 11 pro *τούτων* in Demetrio *τούτους*, quod nescio an praestet. Vs. 12—14. Hos quoque versus poeta Demetrio videtur inseruisse. V. Fragm. 47. Vs. 12 post *τὸ* C addit *τε*. Pro *τινάς* forsan *κτένας*. Vs. 14 *αὐτὸ* C *αὐτὸν* APVL. Vs. 15 *κρεάδι' ἄττα* pro *κρεάδια* Dobraeus. Elmsleius *κρεάδια καὶ ποδάρια καί*. Respexit Athenaeus III p. 95 a: *ποδῶν δὲ καὶ ὠτίων ἔτι δὲ δύγχους Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ*. Vs. 16 ante Elmsleium et Dindorfium *ὠτάρια ὕειον ἡπάτιον*. Propius vero AP *ὠτάρια ὗϊ ἡπάτιον*. Vs. 17 libri *πελιδνόν*, pro quo *πελιτνὸν* restituit

Porsonus. Ibid. ὃν ex coniectura addidit Berglerus. Confirmat C. Vs. 19 Δί' ἀλλ' ἐγὼ L et epit. Hoesch. δία λέγω ABPV. Ib. σοφῶς C σαφῶς (superscripto o) B σαφῶς PVL. Vs. 21 et 22 ante Dindorfium ποῶ. Vs. 21 ὥστε τοὺς usque ad vs. 23 paucis mutatis etiam in Asclepioclide posuit. Vide supra p. 694. Vs. 24 aut ἐργασίας pro σκευασίας, aut διαθέσεις pro σκευάσεις legendum suspicor. Vs. 26 ἃν pro ἂν Porsonus.

109 II (3, 431)

Τῷ Καλλιμέδοντι γὰρ θεραπεύω τὰς κόρας
ἤδη τετάρτην ἡμέραν. Β. ἦσαν κόραι
θυγατέρες αὐτῷ; Α. τὰς μὲν οὖν τῶν ὀμμάτων,
ἃς οὐδ' ὁ Μελάμπους, ὃς μόνος τὰς Προιτίδας
ἔπαυσε μαινομένας, καταστήσειεν ἄν.

Athenaeus VIII p. 340 a: *περὶ δὲ Καλλιμέδοντος τοῦ Καράβου ὅτι — ἦν καὶ διάστροφος τοὺς ὀφθαλμούς — Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ Τῷ Καλλιμέδοντι κτλ.*

110 III (3, 432)

Παῖ τὴν μεγάλην δός, ἐπιχέας
φιλίας κυάθους μὲν τῶν παρόντων τέτταρας,
τοὺς τρεῖς δ' ἔρωτος προσαποδώσεις ὕστερον·
ἓν' Ἀντιγόνου τοῦ βασιλέως νίκης καλῶς,
καὶ τοῦ νεανίσκου κύαθον Δημητρίου.
*φέρε τὸν τρίτον * * * *
Φίλας Ἀφροδίτης· χαίρετ' ἄνδρες συμπόται,
ὅσων ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι.

Athenaeus VI p. 254 a: *Ἄλεξις γοῦν ἐν Φαρμακοπώλῃ ἢ Κρατεύᾳ προπίνοντά τινα εἰσαγαγὼν ἑνὶ τῶν συμποτῶν καὶ λέγοντα ποιεῖ τάδε Παῖ τὴν μεγάλην κτλ.* Vs. 1 ὑποχέας ante Valesium. Vs. 2 μὲν addidi. Schweighaeuserus τούς. Vs. 3 ἔρωτος pro ἔρωτας Dalecampius. Vs. 4 ἓν' addidit Casaubonus. Idem καλῆς. Vs. 8 ὅσων AP ὅσην VL.

111 IV (3, 433)

Εἶθ' ὁρῶ τὸν Ἑρμαΐσκον τῶν ἀδρῶν τούτων τινά
κάνθαρον καταστρέφοντα, πλησίον δὲ κείμενον
στρωματέα καὶ γύλιον αὐτοῦ.

Athenaeus XI p. 473 d de κανθάρῳ poculo disserens: *Ἄλεξις δ' ἐν Κρατεύᾳ· ὁ δὲ λόγος περί τινος ἐν καπηλείῳ πίνοντος· Εἶθ' ὁρῶ κτλ.* Vs. 1 libri ἀνδρῶν. Correxit Hermannus. Vs. 3 post στρωματέα in A additum est τε. PVL στρώματά τε.

V (3, 433) 112

Καὶ Καλλιμέδων μετ᾽ Ὀρφέως ὁ Κάραβος.

Athenaeus VIII p. 340 c de Callimedonte piscium lurcone Alexidis *χρήσεις* afferens: *ἐν δὲ Κρατεύᾳ Καὶ Καλλιμέδων κτλ.* *Ὀρφέως* Dindorfius. Vulgo *Ὄρφεως*.

VI (3, 433) 113

Στεφάνους τε πολλοὺς χρεμαμένους μελιλωτίνους.

Athenaeus XV p. 678 c: *Μελιλωτίνων δὲ στεφάνων μνημονεύει Ἄλεξις ἐν Κρατεύᾳ ἢ Φαρμακοπώλῃ οὕτως Στεφάνους κτλ.*

K Y B E P N H T H Σ

I (3, 433. 434) 114

Δύ᾽ ἐστί, Ναυσίνικε, παρασίτων γένη·
ἓν μὲν τὸ κοινὸν καὶ κεκωμῳδημένον,
οἱ μέλανες ἡμεῖς. N. θάτερον ζητῶ γένος,
σεμνοπαράσιτον ἐκ μέσου καλούμενον.
A. σατράπας παρασίτους καὶ στρατηγοὺς ἐπιφανεῖς,
ὑποκρινόμενον εὖ τοῖς βίοις, ὀφρῦς ἔχον
χιλιοταλάντους ἀνακυλίον τ᾽ οὐσίας.
νοεῖς σὺ τὸ γένος καὶ τὸ πρᾶγμα; N. καὶ μάλα.
A. τούτων δ᾽ ἑκατέρου τῶν γενῶν ὁ μὲν τύπος
τῆς ἐργασίας εἷς ἐστι, κολακείας ἀγών.
ὥσπερ ἐπὶ τῶν βίων δέ, τοὺς μὲν ἡ τύχη
ἡμῶν μεγάλοις προσένειμε τοὺς δ᾽ ἐλάττοσιν,
εἶθ᾽ οἱ μὲν εὐποροῦμεν οἱ δ᾽ ἀλύομεν.
ἆρά γε διδάσκω, Ναυσίνικ᾽, οὐκ ἀστόχως;
N. ἀλλ᾽ ἄν σ᾽ ἐπαινῶ μᾶλλον, αἰτήσεις μέ τι.

Athenaeus VI p. 237 b: *παρασίτων δ᾽ εἶναί φησι γένη δύο Ἄλεξις ἐν Κυβερνήτῃ διὰ τούτων Δύ᾽ ἐστί κτλ.* Vs. 4 et 5 in libris inverso ordine leguntur; transposuit Dobraeus, qui vs. 5 pro *παρασίτους* coniicit *μεγίστους* vel *ζαπλούτους*. Vs. 6 *ἔχον* Grotius, *ἔχοντα* codd. Vs. 7 *ἀνακυλιοντουσίας* ante Porsonum. Vs. 8 *σὺ* addidit Reisig. Coniect. p. 179. Porsonus *τό τε γένος*. Vs. 9 *δ᾽* add. VL. om. BP. Vs. 12 *μεγάλοις* VL *μεγάλαις* ABP. Vs. 15 libri *μ᾽ ἔτι*. Correxit Dutheil.

II (3, 435) 115

Εἰσέβαινον ἰσχάδες,
τὸ παράσημον τῶν Ἀθηνῶν, καὶ θύμου δέσμαι τινές.

Athenaeus XIV p. 652 c de ficubus atticis agens: *Ἄλεξις δ᾽ ἐν Κυβερνήτῃ φησίν Εἰσέβαινον κτλ.* Priora verba usque ad

Ἀθηνῶν, pro quo *Ἀττικῶν* habet, apposuit etiam Eustathius ad Iliad. p. 955 8. Postrema *θύμου δέσμαι τινές* idem affert p. 1411 35.

K Y B E Y T A I

116 (3, 435)

Ἠριστηκότων
σχεδόν τι δ' ἡμῶν ἐξ ἀκροκωλίου τινός.

Athenaeus III p. 96 a de *ἀκροκωλίῳ* agens: *Ἄλεξις Κυβευταῖς Ἠριστηκότων κτλ.* Fortasse *σχεδόν τι, Δήμων, ἐξ.*

K Y K N O Σ

117 (3, 435)

Φαιδρὸς δὲ κρατὴρ θηρίκλειος ἐν μέσῳ
ἕστηκε, λευκοῦ νέκταρος παλαιγενοῦς
πλήρης, ἀφρίζων· ὃν λαβὼν ἐγὼ κενόν
τρίψας, ποιήσας λαμπρόν, ἀσφαλῆ βάσιν
στήσας, συνάψας καρπίμοις κισσοῦ κλάδοις
ἔστεψα.

Athenaeus XI p. 472 a: *καλεῖται δέ τις καὶ θηρίκλειος κρατὴρ οὗ μνημονεύει Ἄλεξις ἐν Κύκνῳ Φαιδρὸς κτλ.* Vs. 4 *ποήσας* A.

K Y P R I O Σ

118 I (3, 436)

Ἔπειτα πῶς ἦλθες; B. μόλις
ὀπτωμένους κατέλαβον. A. ἑξόλοι'. ἀτάρ
πόσους φέρεις; B. ἑκκαίδεκ'. A. οἷσε δεῦρό μοι.
λευκοὺς μὲν ὀκτώ, τῶν δὲ φαιῶν τοὺς ἴσους.

Athenaeus III p. 114 d: *τοὺς δὲ δυπαροὺς ἄρτους φαιοὺς ὠνόμασεν Ἄλεξις ἐν Κυπρίῳ οὕτως Ἔπειτα κτλ.* Vs. 1 *ἦλθες* PL *ἦλθε* B *ἦλθεν* V. Ib. post *μόλις* VL addunt *γ'*. Vs. 3 libri *οἴσω* (A *οἴσο*) *δεῦρο* sine *μοι*. Correxit Dobraeus, qui vs. 4 scribebat *λευκῶν*.

119. 120 II III (3, 436)

Τὸν δ' αὐτόπυρον ἄρτον ἀρτίως φαγών.

Athenaeus III p. 110 e: *αὐτοπύρου δ' ἄρτου μνημονεύει Ἄλεξις ἐν Κυπρίῳ Τὸν δ' αὐτόπυρον κτλ.* Antiatticista p. 89 6. *Διπλάσαι: τὸ διπλασιάσαι. Ἄλεξις Κύπριδι.* Lege *Κυπρίῳ*.

Λ Α Μ Π Α Σ

(3, 436) 121

Καταφαγεῖν
αὐτὸς τοσοῦτ' ἀργύριον. οὐδ' εἰ γάλα λαγοῦ
εἶχον μὰ τὴν γῆν καὶ ταῶς, κατήσθιον.

Athenaeus XIV p. 654 f de pavonibus agens: *Ἄλεξις δ' ἐν Λαμπάδι Καταφαγεῖν κτλ.* Vs. 2 *εἰ* AB *ἦν* PVL. Tum libri *εἶχον λαγοῦ.* Transposuit Schweighaeuserus, qui praeterea *λαγὼ* scripsit. Dobraeus corruptum locum ita corrigebat: *καταφαγεῖν αὐτὸς τοσοῦτον ἀργύριον οὐκ εἶχον ἄν, | οὐδ' ἂν εἰ λαγὼς μὰ τὴν γῆν καὶ ταῶς κατήσθιον.*

Λ Ε Β Η Σ

I (3, 437) 122

Καὶ τί δεῖ
λέγειν ἔθ' ἡμᾶς τοὺς τὰ σῦχ' ἑκάστοτε
ἐν τοῖς συρίχοις πωλοῦντας; οἳ κάτωθε μέν
τὰ σκληρὰ καὶ μοχθηρὰ τῶν σύκων ἀεί
τιθέασιν, ἐπιπολῆς δὲ πέπονα καὶ καλά.
εἶθ' ὁ μὲν ἔδωκεν ὡς τοιαῦτ' ὠνούμενος
τιμήν, ὁ δ' ἐγκάψας τὸ κέρμ' εἰς τὴν γνάθον
ἐρίν' ἀπέδοτο σῦκα πωλεῖν ὀμνύων.

Athenaeus III p. 76 d de *ἐρινῷ* disserens: *καὶ Ἄλεξις ἐν Λέβητι Καὶ τί δεῖ κτλ.* Vs. 3 Dindorfius *ὑρίχοις.* Ib. BP *κάτωθεν.* Vs. 4 *καὶ τὰ μοχθηρὰ* ABP. Vs. 7 pro *γνάθον* B *πήθον.*

II (3, 437) 123

Καὶ μὴ προφάσεις ἐνταῦθά μοι, μηδ' "οὐκ ἔχω."
Β. ἀλλὰ λέγ' ὅτου δεῖ. λήψομαι γὰρ πάντ' ἐγώ.
Α. ὀρθῶς. τὸ πρῶτον μὲν λάβ' ἐλθὼν σήσαμα.
Β. ἀλλ' ἔστιν ἔνδον. Α. ἀσταφίδα κεκομμένην,
μάραθρον, ἄνηθον, νᾶπυ, καυλόν, σίλφιον,
κορίαννον αὖον, ῥοῦν, κύμινον, κάππαριν,
ὀρίγανον, γήτειον, ἄνισον, θύμον,
σφάκον, σίραιον, σέσελι, πήγανον, πράσον.

Athenaeus IV p. 170 a: *ἡδυσμάτων δὲ κατάλογον Ἄλεξις ἐποιήσατο ἐν Λέβητι οὕτως Καὶ μὴ κτλ.* Vs. 1 *καί*, quod codd. omittunt, additum ex VL. Alii *μηδέ.* Possis etiam *μὴ μή.* Vs. 2 *ἀλλὰ λέγ' ὅτου δεῖ* Dobraeus. *ἀλλὰ λέγοντα οὐ δεῖ* A *ἀλλὰ λέγοντα οὐδ' εἰ* P *ἀλλὰ λέγοντα οὐδ' εἰ* B *ἀλλ' ἄγε λέγ' οὗ δεῖ* Casaubonus et Dindorfius. Vs. 3—8 attulit

Pollux VI 66. Vs. 5 *μάραθρον* B *μάραθρα* Pollux. *μάραθον* PVL. *νᾶπυ* pro *νάπυ* Dindorfius. Vs. 7 pro *ἄνισον*, quod recepi ex Polluce, Athenaeus habet *σκόροδον*, unde Dobraeus *ὀρίγανον σκορόδια γήτειον θύμιον*, rectius haud dubie Dindorfio, qui tentabat *ὀρίγανον γήτιον* (ita Pollux) *ἅλας σκόροδον θύμιον*. Nam *γήτιον* pro *γήτειον* vix recte dicitur. Ceterum pro *ἄνισον* forsan praestat *ἄννισον*. Vs. 8 "*σίραιον* ABCPV *σισίραιον* L *τότ' αὖ σίραιον* Pollux. *σέσελι* ABCP *σέσελλι* VL *πέπερι* Pollux, qui propter hoc ipsum *πέπερι* Alexidis versus attulit." Dindorfius.

124. 125 III IV (3, 438. 439)

Οὐ γέγονε κρείττων νομοθέτης τοῦ πλουσίου
Ἀριστονίκου. τίθησι γὰρ νυνὶ νόμον,
τῶν ἰχθυοπωλῶν ὅστις ἂν πωλῶν τινί
ἰχθὺν ὑποτιμήσας ἀποδῶτ' ἐλάττονος
ἧς εἶπε τιμῆς, εἰς τὸ δεσμωτήριον
εὐθὺς ἀπάγεσθαι τοῦτον, ἵνα δεδοικότες
τῆς ἀξίας ἀγαπῶσιν, ἢ τῆς ἑσπέρας
σαπροὺς ἅπαντας ἀποφέρωσιν οἴκαδε.
κἀνταῦθα καὶ γραῦς καὶ γέρων καὶ παιδίον
πεμφθεὶς ἅπαντες ἀγοράσουσι κατὰ τρόπον . . .
Οὐ γέγονε μετὰ Σόλωνα κρείττων οὐδὲ εἷς
Ἀριστονίκου νομοθέτης· τά τ' ἄλλα γάρ
νενομοθέτηκε πολλὰ καὶ παντοῖα δή,
νυνί τε καινὸν εἰσφέρει νόμον τινά
χρυσοῦν, τὸ μὴ πωλεῖν καθημένους ἔτι
τοὺς ἰχθυοπώλας, διὰ τέλους δ' ἑστηκότας·
εἶτ' εἰς νέωτά φησι γράψειν κρεμαμένους·
καὶ θᾶττον ἀποπέμψουσι τοὺς ὠνουμένους,
ἀπὸ μηχανῆς πωλοῦντες ὥσπερ οἱ θεοί.

Athenaeus VI p. 226 a de piscariorum artibus agens: *κἂν τῷ Λέβητι δέ φησιν ὁ αὐτὸς ποιητής Οὐ γέγονε — κατὰ τρόπον. καὶ προελθὼν δέ φησιν Οὐ γέγονε κτλ.* Priora antiquitus in hunc fere modum scripta fuisse suspicor: *Οὐδὲ εἷς | Ἀριστονίκου γέγονε κρείττων νομοθέτης | τοῦ πλουσίου· τίθησι γὰρ νυνὶ νόμον* — Nisi forte post *Ἀριστονίκου* aliqua exciderunt, quae Dindorfii est sententia. Vs. 3 *τινὶ* Porsonus. Libri *τόν*. VL *γε τόν*. Vs. 4 Coraes *ἐπιτιμήσας*. Vs. 8 *ἅπαντας* pro *ἅπαντες* Grotius. Vs. 10 *πεμφθεὶς* codices. V *πεμφείς*. Basil. L *πεμφεῖς*. Ibidem C *ἀγοράσωσι*. Vs. 13 *δὴ* Grotius

pro δέ. Vs. 14 νυνὶ δὲ B. Vs. 15 libri ἔτι καθημένους. Transposuit Iacobsius. Vs. 18 ἀποπέμψουσι C ἀποπέμπουσι PVL.

V (3, 439. 440) 126

Ἥψέ μοι δοκεῖ
πνικτόν τι ὄψον δελφάκειον. B. ἡδύ γε.
A. ἔπειτα προσκέκαυκε. B. μηδὲν φροντίσῃς.
ἰάσιμον γὰρ τὸ πάθος ἐστί. A. τῷ τρόπῳ;
B. ὄξος λαβὼν ἦν εἰς λεκάνην τίν' ἐγχέας
ψυχρόν, ξυνίης; εἶτα θερμὴν τὴν χύτραν
εἰς τοὔξος ἐνθῇς· διάπυρος γὰρ οὖσ' ἔτι
ἕλξει δι' αὐτῆς νοτίδα, καὶ ζυμουμένη
ὥσπερ κίσηρις λήψεται διεξόδους
σομφάς, δι' ὧν τὴν ὑγρασίαν ἐκδέξεται·
τὰ κρεάδι' ἔσται τ' οὐκ ἀπεξηραμμένα,
ἔγχυλα δ' ἀτρεμεῖ καὶ δροσώδη τὴν σχέσιν.
A. Ἄπολλον, ὡς ἰατρικῶς. ὦ Γλαυκία,
ταυτὶ ποιήσω. B. καὶ παρατίθει γ' αὐτά, παῖ,
ὅταν παρατιθῇς, μανθάνεις; ἐψυγμένα.
ἀτμὸς γὰρ οὕτως οὐχὶ προσπηδήσεται
ταῖς ῥισίν, ἀλλ' ἄνω μάλ' εἶσι καταφυγών.
A. πολλῷ γ' ἀμείνων, ὡς ἔοικας, ἦσθ' ἄρα
λογογράφος ἢ μάγειρος. ἃ λέγεις οὐ λέγεις,
τέχνην δ' ὀνειδίζεις.

Athenaeus IX p. 383 c: ἐγὼ δὲ ἕνα τῶν ἀρχαίων μαγείρων τεθαύμακα πείρᾳ τῆς τέχνης ἧς εἰσηγήσατο ἀπολαύσας. παράγει δ' αὐτὸν Ἄλεξις ἐν Λέβητι λέγοντα τάδε Ἥψέ μοι δοκεῖ κτλ. Coquum, quem in hac fabula induxit Alexis, non servum fuisse, sed ingenuum, Athenaei scimus testimonio XIV p. 661 d. Vs. 1 fortasse ἦψ', ἐμοὶ δοκεῖν. Vs. 2 libri τιν' ὄψον. Coraes τί γ' ὄψον. Ibid. δελφάκειον pro δελφάκιον Dindorfius. Vs. 5 ην A ἦν B ὖν PVL. Ib. Dobraeus ἐγχέῃς, quo fortasse non opus est. Vs. 6 ξυνιεὶς ante Dindorfium. Vs. 7 libri ἐνθείς, quod in ἔνθες mutarunt. Coniunctivum reposuit etiam Dobraeus. Vs. 8 ζυμουμένη AP ζωμουμένη B ζυμουμένην VL. Vs. 11 libri κρέα δ' ἔσται. Correxit Casaubonus. τ' post ἔσται accessit ex B. ἀπεξηραμμένα B ἀπεξηραμένα PVL. Vs. 12 ἀτρεμεῖ A ἀτρέμει B ἀτρέμα PVL. Vs. 15 παρατιθῇς pro παρατίθης Schweighaeuserus. ἐψυγμένα PVL ἐψυσμένα B. Vs. 16 ἀτμὸς pro ἀτμὶς Schweighaeuserus. Vs. 17 vulgo ἀνωμαλίσι (AP ἀνω-

μαλίσει) καταφαγών. Correxit Scaliger. Vs. 18 πολλῷ γ' pro πολλῶν τ' Casaubonus.

ΛΕΥΚΑΔΙΑ Η ΔΡΑΠΕΤΑΙ

127 I (3, 442)

Χορδαρίου τόμος ἦκεν καὶ περικομμάτιον.

Athenaeus III p. 95 a: Ἄλεξις δ' ἐν Λευκαδίᾳ ἢ Δραπέταις Χορδαρίου τόμος κτλ. Libri περικομματίων, quod correxi. Numeros simillimos habes apud Antiphan. fr. 172.

128 II (3, 442)

Οἴνου γεραιοῖς χείλεσιν μέγα σκύφος.

Athenaeus XI p. 498 c: Ἴων — τῷ σκύφει ἰδίως ἀπὸ τοῦ σκύφος σχηματίσας οὐδετέρως ἔφη. ὁμοίως καὶ — Ἄλεξις ἐν Λευκαδίᾳ Οἴνου κτλ.

129 III (3, 442)

Φέρε τὴν σιβύνην καὶ πλατύλογχα.

Pollux X 144: Ἄλεξις δ' ἐν Λευκαδίᾳ Φέρε τὴν σιβύνην καὶ πλατύλογχα. Toupius πλατύλογχ' ἀκόντια.

ΛΕΥΚΗ

130 (3, 442. 443)

Ἐπίστασαι τὸν σαῦρον ὡς δεῖ σκευάσαι;
Β. ἀλλ' ἂν διδάσκῃς. Α. ἐξελὼν τὰ βραγχία,
πλύνας, περικόψας τὰς ἀκάνθας τὰς κύκλῳ,
παράσχισον χρηστῶς, διαπτύξας θ' ὅλον
τῷ σιλφίῳ μάστιξον εὖ τε καὶ καλῶς,
τυρῷ τε σάξον ἅλσί τ' ἠδ' ὀριγάνῳ.

Athenaeus VII p. 322 d: Σαῦρος: τούτου μνημονεύει Ἄλεξις ἐν Λευκῇ. μάγειρος δ' ἐστὶν ὁ λέγων Ἐπίστασαι κτλ. Vs. 1 alii σαυρόν. Vs. 5 ante Dindorfium εὖ γε. Vs. 6 ἠδὲ suspectum; possis εἶτ' ὀριγάνῳ. Sed aliud latere videtur.

ΛΗΜΝΙΑ

131 (3, 443)

Καὶ μὴν παρῆν ἀνθράκιον ἡμῖν ἐν μέσῳ
σείσων τε κνάμων μεστός.

Pollux X 100: καί που καὶ ἀνθράκιον, Ἀλέξιδος εἰπόντος ἐν Λημνίᾳ Καὶ μὴν κτλ. Grammat. Bekkeri p. 404 9. Ἀνθράκιον: βραχὺ τριποδίσκιον παραλεξείδιον. Lege παρ' Ἀλέξιδι. Cfr. Suidas s. v. Ἀνθράκιον et Τρίπος.

Λ Ι Ν Ο Σ

I (3, 443. 444) 132

ΛΙΝ. Βιβλίον
ἐντεῦθεν ὅ τι βούλει προσελθὼν γὰρ λαβέ,
ἔπειτ' ἀναγνώσει, πάνυ γε διασκοπῶν
ἀπὸ τῶν ἐπιγραμμάτων ἀτρέμα τε καὶ σχολῇ.
Ὀρφεύς ἔνεστιν, Ἡσίοδος, τραγῳδία,
Χοιρίλος, Ὅμηρος, ἔστ' Ἐπίχαρμος, γράμματα
παντοδαπά. δηλώσεις γὰρ οὕτω τὴν φύσιν,
ἐπὶ τί μάλισθ' ὥρμηκε. ΗΡ. τουτὶ λαμβάνω.
ΛΙΝ. δεῖξον τί ἐστι πρῶτον. ΗΡ. ὀψαρτυσία,
ὡς φησι τοὐπίγραμμα. ΛΙΝ. φιλόσοφός τις εἶ
εὔδηλον, ὃς παρεὶς τοσαῦτα γράμματα
Σίμου τέχνην ἔλαβες. ΗΡ. ὁ Σῖμος δ' ἐστὶ τίς;
ΛΙΝ. μάλ' εὐφυὴς ἄνθρωπος. ἐπὶ τραγῳδίαν
ὥρμηκε νῦν, καὶ τῶν μὲν ὑποκριτῶν πολύ
κράτιστός ἐστιν ὀψοποιός, ὡς δοκεῖ
τοῖς χρωμένοις, τῶν δ' ὀψοποιῶν ὑποκριτής.
ΗΡ. βούλιμός ἐσθ' ἄνθρωπος, ὅ τι βούλει λέγε.
πεινῶ γάρ, εὖ τοῖτ' ἴσθι.

Athenaeus IV p. 164 b: Ἄλεξις ἐν τῷ ἐπιγραφομένῳ *Λίνῳ* — ὑποτίθεται — τὸν Ἡρακλέα παρὰ τῷ Λίνῳ παιδευόμενον, καὶ κελευσθέντα ἀπὸ βιβλίων πολλῶν παρακειμένων λαβόντα ἐντυχεῖν. ἐκεῖνος δ' ὀψαρτυτικὸν λαβὼν βιβλίον ἐν χεροῖν περισπουδάστως ἐκράτει. λέγει δ' οὕτως ὁ Λίνος Βιβλίον κτλ. Vs. 2 Iacobsius παῖ λαβέ, Erfurdtus παράλαβε. Vs. 6 Ὅμηρος Ἐπίχαρμος συγγράμματα libri. Correxit Hermannus. Vs. 8 scripsi ὥρμηκε, libri ὥρμησε. Vs. 17 ἐσθ' ἄνθρωπος Iacobsius. Vulgo ἐστ' ἄνθρωπος.

II (3, 445) 133

Athenaeus VII p. 289 f: μνημονεύει δὲ τοῦ Μενεκράτους καὶ Ἄλεξις ἐν *Μίνῳ*, ubi *Λίνῳ* legendum esse suspicatus sum Scen. quaest. III 35. De alio fragmento ad hanc fabulam haud improbabili coniectura referendo vide Inc. fab. fragm. LXII.

Λ Ο Κ Ρ Ο Ι

I (3, 445) 134

Αἱ δὲ παῖδες παρέχεον
ἡ μὲν τὸ θερμόν, ἡ δ' ἑτέρα τὸ μετάκερας.

Athenaeus III p. 123 e: τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι με-

τάκερας καλοῦσιν, ὡς Σώφιλος ἐν Ἀνδροκλεῖ. Ἄλεξις δ' ἐν Λοκροῖς Αἱ δὲ παῖδες κτλ. Vs. 2 alterum *τὸ* addidit Bentleius.

135 II (3, 446)

Antiatticista p. 109 19. *Ναυκληρεῖν: ἀντὶ τοῦ οἰκίας δεσπόζειν. Ἄλεξις Λοκροῖς.* Eadem omisso fabulae titulo Photius p. 287 20.

ΛΥΚΙΣΚΟΣ

136. 137 I II (3, 446)

Athenaeus XIII p. 595 d: *μνημονεύει δ' αὐτῆς (Πυθιονίκης) καὶ Ἄλεξις ἐν Λυκίσκῳ.* Antiatticista p. 98 2. *Ζωδάριον: Ἄλεξις Λυκίσκῳ.*

ΜΑΝΔΡΑΓΟΡΙΖΟΜΕΝΗ

138 I (3, 446. 447)

Εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτόν
ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
ἐρῶμεν ἀλλοτρίων, παροιῶμεν συγγενεῖς·
ἔχοντες οὐδὲν εὐποροῦμεν τοῖς πέλας·
ἐράνους φέροντες οὐ φέρομεν ἀλλ' ἢ κακῶς,
τακτῆς τροφῆς δὲ τῆς καθ' ἡμέραν πάλιν
γλιχόμεθα μὲν τὴν μᾶζαν ἵνα λευκὴ παρῇ,
ζωμιὸν δὲ ταύτῃ μέλανα μηχανώμεθα,
τὸ καλὸν δὲ χρῶμα δευσοποιῷ χρώζομεν.
καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν,
τὸ δ' ὄψον ἂν μὴ θερμὸν ᾖ διασύρομεν.
καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπυτίζομεν,
ἐπὶ ταῖς ἀβυρτάκαισι δ' ἐκβακχεύομεν.
οὐκοῦν τὸ πολλοῖς τῶν σοφῶν εἰρημένον,
τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ' ἀεί,
ἐπὰν γένηται δ' ὡς τάχιστ' ἔχειν τέλος.

Athenaeus III p. 123 f: *ὅτι δὲ καὶ χιόνας ἔπινον ἐν Μανδραγοριζομένῃ ἔφη Ἄλεξις Εἶτ' οὐ περίεργον κτλ.* Vs. 6 scripsi *τακτῆς*, vulgo *ἀκτῆς*, A *τἀκ τῆς*. Vs. 7 *μὲν* ante *τὴν* ego addidi, alii post *τήν*.

139 II (3, 448)

Ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπῃ "τρύβλιον τούτῳ δότε
πτισάνης ἔωθεν", καταφρονοῦμεν εὐθέως·
ἂν δὲ "πτισάναν καὶ τρύβλιον", θαυμάζομεν.

καὶ πάλιν ἐὰν μὲν "τευτλίον", παρείδομεν·
ἐὰν δὲ "σεῦτλον", ἀσμένως ἠκούσαμεν·
ὡς οὐ τὸ σεῦτλον ταὐτὸν ὂν τῷ τευτλίῳ.

Athenaeus XIV p. 621 d: *ἐμιμεῖτό τις* (Lacedaemoniorum *δικηλιστὰς* dicit) *ἐν εὐτελεῖ τῇ λέξει κλέπτοντά τινα ὀπώραν ἢ ξενικὸν ἰατρὸν τοιαυτὶ λέγοντα, ὡς Ἄλεξις ἐν Μανδραγοριζομένῃ διὰ τούτων παρίστησιν Ἐὰν ἐπιχώριος κτλ.* Partem loci apposuit etiam Eustathius p. 884 24. Vs. 4 ante Dindorfium *ἐάν*. Ibid. Eustath. *πτισσάνας*. Cfr. Lobeck. ad Aiac. p. 136. Vs. 5 libri *σευτλίον*. Eustathius p. 813 42 ex antiquis grammaticis: (*Ἀττικοὶ*) *τὴν κοινῶς σύρβην τύρβην λέγουσι, καὶ τὸ σεῦτλον τεῦτλον*. Itaque *τευτλίον* scripsi, quae recepta apud Atticos forma fuit. Vs. 6 libri *τευτλίον*, quod correxi. Pro *ἀσμένως* ex B enotatum est *ἡδέως*.

III (3, 449) 140

Εἴ τινας μᾶλλον φιλῶ
ξένους ἑτέρους ὑμῶν, γενοίμην ἔγχελυς,
ἵνα Καλλιμέδων ὁ Κάραβος πρίαιτό με.

Athenaeus VIII p. 340 c de Callimedonte Alexidis *χρήσεις* afferens: *ἐν δὲ Μανδραγοριζομένῃ Εἴ τινας κτλ.*

IV (3, 449) 141

Ἥξω φέρουσα συμβολὰς τοίνυν ἅμα.
Β. πῶς συμβολάς; Α. τὰς ταινίας οἱ Χαλκιδεῖς
καὶ τοὺς ἀλαβάστους συμβολὰς καλοῦσι, γραῦ.

Athenaeus VIII p. 365 d: *τίνες δ' εἰσὶν αἱ συμβολαὶ αὐτὸς Ἄλεξις ἐν Μανδραγοριζομένῃ σημαίνει διὰ τούτων Ἥξω φέρουσα κτλ.*

V (3, 449) 142

Κακῶς ἔχεις, ὦ Στρούθι', ἀχαρὴς νὴ Δία
πεφιλιππίδωσαι. Β. μὴ σὺ καινῶς μοι λάλει.
ὅσον οὐ τέθνηκα. Α. τοῦ ταλαιπώρου πάθους.

Athenaeus XII p. 552 e de Philippidae macilentia agens: *ὅτι δὲ καὶ πεφιλιππιδῶσθαι ἔλεγον τὸ λελεπτύνθαι Ἄλεξις ἐν Μανδραγοριζομένῃ φησί Κακῶς ἔχεις κτλ.* Vs. 1 libri *κακῶς ἔχει* (Casaubonus *ἔχεις*) *στρουθὶς ἀχαρὴς νὴ Δί' εἶ*, quod correxi, sublata post *εἶ* interpunctione. Vs. 2 libri *πεφιλιππῶσθαι*. Idem in suo Athenaei exemplari legerant Aelianus V. H. X 6. Photius et Suidas in *Φιλιππίδης*, Eustathius p. 1646 17. Cor-

rexit primus omnium Stephanus. *ὅσον οὐ* Toupius, *οσο μιου* A *ὅσωμιου* PVL *τέθνηκα* pro *τέθνηκε* Toupius.

M A N T E I Σ

143 (3, 450)

Ὦ δυστυχεῖς ἡμεῖς μὲν οἱ πεπρακότες
τὴν τοῦ βίου παρρησίαν καὶ τὴν τρυφὴν
γυναιξὶ δοῦλοι ζῶμεν ἀντ' ἐλευθέρων.
ἔπειτ' ἔχειν προῖκ' οὐχὶ τιμὴν πάσχομεν;
πικράν γε καὶ μεστὴν γυναικείας χολῆς.
ἡ τῶν γὰρ ἀνδρῶν ἐστι πρὸς ἐκείνην μέλι·
οἱ μέν γε συγγνώμην ἔχουσ' ἀδικούμενοι,
αὗται δ' ἀδικοῦσαι καὶ προσεγκαλοῦσ' ἔτι·
ὧν οὐκ ἐχρῆν ἄρχουσιν, ὧν δ' ἄρχειν ἐχρῆν
ἀμελοῦσιν, ἐπιορκοῦσιν, οὐδὲ ἓν κακόν
ἔχουσι καὶ κάμνειν λέγουσ' ἑκάστοτε.

Athenaeus XIII p. 558 e: *ὁ Λεωνίδης ψέγων τὸ τῆς γαμετῆς ὄνομα τὰ ἐκ τῶν Μάντεων Ἀλέξιδος προηνέγκατο ταυτὶ τῶν ἐπῶν Ὦ δυστυχεῖς κτλ.* Vs. 1 *μὲν οἱ* (*οἱ*) addidit Grotius. Vs. 4 *φάσκομεν* pro *πάσχομεν* Nic. Sturio, quod verum videtur; pro *τιμὴν* forsan praestat *ποινήν*. Vs. 6 ante Dindorfium *κεί-νην*. Vs. 7 *γε* om. BP. Vs. 11 libri *λέγουσιν*. Illud Dindorfius.

M E R O P I Σ

144 (3, 451)

Εἰς καιρὸν ἥκεις, ὡς ἔγωγ' ἀπορουμένη
ἄνω κάτω τε περιπατοῦσ' ὥσπερ Πλάτων
σοφὸν οὐδὲν εὕρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη.

Diogenes Laert. III 26: *τοιοῦτος δ' ὢν* (*Πλάτων*) *ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν — Ἄλεξις Μεροπίδι Εἰς καιρὸν ἥκεις κτλ.* Cfr. Hesychius Miles. p. 48.

M I Λ Ω N

145 (3, 451)

Ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν
τῆς νυκτὸς ἦν τις κηδεμὼν τῶν δακτύλων.

Athenaeus XV p. 700 a: *Ἄλεξις Μίδωνι Ὁ πρῶτος κτλ.* Omisso fabulae titulo habet Eustathius ad Odyss. p. 1571 10.

Μ Ι Λ Η Σ Ι Α

I (3, 451. 452) 146

Οὐκ ἴστε ταῖς πλείσταισι τῶν τεχνῶν ὅτι
οὐκ ἀρχιτέκτων κύριος τῆς ἡδονῆς
μόνος καθέστηκ', ἀλλὰ καὶ τῶν χρωμένων
συμβάλλεταί τις, ἂν καλῶς χρῶνται, μερίς;
B. ποῖόν τι; δεῖ γὰρ κἀμὲ τὸν ξένον μαθεῖν.
A. τὸν ὀψοποιὸν σκευάσαι χρηστῶς μόνον
δεῖ τοὔψον, ἄλλο δ' οὐδέν. ἂν μὲν οὖν τύχῃ
ὁ ταῦτα μέλλων ἐσθίειν τε καὶ κρινεῖν
εἰς καιρὸν ἐλθών, ὠφέλησε τὴν τέχνην·
ἂν δ' ὑστερίζῃ τῆς τεταγμένης ἀκμῆς,
ὥστ' ἢ προοπτήσαντα χλιαίνειν πάλιν,
ἢ μὴ προοπτήσαντα συντελεῖν ταχύ,
ἀπεστέρησε τῆς τέχνης τὴν ἡδονήν.
εἰς τοὺς σοφιστὰς τὸν μάγειρον ἐγγράφω.
ἑστήκαθ' ὑμεῖς, κάεται δέ μοι τὸ πῦρ,
ἤδη πυκνοὶ δ' ἅττουσιν Ἡφαίστου κύνες
κούφως πρὸς αἴθραν, οἷς τὸ γίνεσθαι θ' ἅμα
καὶ τὴν τελευτὴν τοῦ βίου συνῆψέ τις
μόνοις ἀνάγκης θεσμὸς οὐχ ὁρώμενος.

Athenaeus IX p. 379 a: *καὶ ὁ παρὰ τῷ Ἀλέξιδι δὲ ἐν Μιλησίοις* (sic) *μάγειρος οὐ μακρὰν τούτου ἐστὶ λέγων τοιάδε Οὐκ ἴστε κτλ.* Vs. 5 *ποῖον* pro *οἷον* Porsonus. Vs. 7 libri *τοῦτον* pro *τοὔψον*. Correxit Piersonus ad Moer. p. 274. Vs. 8 ante Dindorfium *κρίνειν*. Vs. 16 cfr. Eustathius ad Hom. p. 1151 40: *ὁ κωμικὸς Ἄλεξις τοὺς ἐκ πυρὸς σπινθῆρας κύνας Ἡφαίστου ἔφη ἐν τῷ· καίεταί μοι τὸ πῦρ ἤδη, τουτέστιν ἐξάπτεται, πυκνοὶ δ' ἅττουσιν Ἡφαίστου κύνες.* Similiter Eubulus Orth. I 7: *ῥιπὶς δ' ἐγείρει φύλακας Ἡφαίστου κύνας.* Cfr. Hesychius *Κύων*: *ὁ ἐλαυνομένου τοῦ σιδήρου τοῦ ἀργοῦ ἐξαλλόμενος σπινθήρ.* Vs. 17 *πρὸς αἴθραν* ut apud Antiphanem Aphrod. I 14: *κασιόπνουν αὔραν δι' αἴθρας.* Ib. *οἷς τὸ* pro *οἷσθ' οἳ* Petavius.

II (3, 453) 147

Εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις
ὑπηρετήσω, ποῦ φανήσομαι φρονῶν;

Stobaeus Floril. CXII 6 cum lemmate *Ἀλέξιδος Μιλησίων*. Vs. 2 pro *ποῦ* vulgo *οὐ*. Cod. A et Trinc. *εἶτ' οὐ*. B *γ' οὐ*. Correxit Porsonus.

148 III (3, 453)

Athenaeus VI p. 240 c: *Παράσιτοι δ' ἐπ' ὀνόματος ἐγένοντο Τιθύμαλλος μέν, οὗ μνημονεύει Ἄλεξις ἐν Μιλησίᾳ.*

M I Λ K Ω N

149 (3, 453)

Κἂν μὴ παραθῶσι θερμά, τἀγαθὸν Πλάτων
ἁπανταχοῦ φησ' ἀγαθὸν εἶναι, μανθάνεις;
τὸ δ' ἡδὺ πάντως ἡδύ, κἀκεῖ κἀνθάδε.

Athenaeus VIII p. 354 d: *οὐδεὶς γὰρ ἂν φάγοι ψυχρῶν· ὁ Κύνουλκος ἔφη, κατὰ τὸν Ἀλέξιδος τοῦ κωμῳδιοποιοῦ Μίλκωνα, ἐγώ, φησίν, κἂν μὴ παραθῶσι κτλ.* Vs. 1 *κἂν* Schweighaeuserus. Dindorfius *ἄν*. Vulgo *ἐάν*. Ibid. forsan *παραθῶ σοι*. Tum libri *Πλάτωνα πανταχοῦ φῄς*. Correxit Grotius. Vs. 3 *τό θ' ἡδὺ* B. Ibid. *κἀκεῖ* additum ex AB.

MNHΣTHPEΣ

Vide supra in *Ἑλένης μνηστῆρες*.

OΔYΣΣEYΣ AΠONIΠTOMENOΣ

150 (3, 454)

Antiatticista p. 98 17. *Ἤδιον*: *Ἄλεξις Ὀδυσσεῖ ἀπονιπτομένῳ.*

OΔYΣΣEYΣ YΦAINΩN

151 I (3, 454)

Φιλεῖ γὰρ ἡ μακρὰ συνουσία
καὶ τὰ συμπόσια τὰ πολλὰ καὶ καθ' ἡμέραν ποιεῖν
σκῶψιν. ἡ σκῶψις δὲ λυπεῖ πλεῖον ἢ τέρπει πολύ·
τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίνετ'· ἂν δ' εἴπῃς ἅπαξ,
εὐθὺς ἀντήκουσας· ἤδη λοιδορεῖσθαι λείπεται.
εἶτα τύπτεσθαι δέδεικται καὶ παροινεῖν· ταῦτα γάρ
κατὰ φύσιν πέφυκεν οὕτως. καὶ τί μάντεως ἔδει;

Athenaeus X p. 421 a: *οὐδὲ ὕβρεις καὶ προπηλακισμοὺς* (sc. *ποιεῖ εὐτελὲς δεῖπνον*), *ὡς Ἄλεξις ἐν Ὀδυσσεῖ ὑφαίνοντι μαρτυρεῖ διὰ τούτων· Φιλεῖ γὰρ κτλ.* Partem loci repetiit Eustathius ad Iliad. p. 1312 38. Cfr. Epicharmus Athenaei II p. 36 c. Vs. 3 *πλεῖον* pro *πλέον* Schweighaeuserus. Vs. 4 *ἂν* pro *ἂν* Valckenarius ad Phoen. 1651.

II (3, 455) 152

Καὶ τοὺς ἁλιέας εἰς τὸ βάραθρον ἐμβαλῶ.
ἀπελευθέρων ὀψάρια θηρεύονσί μοι,
τριχίδια καὶ σηπίδια καὶ φρυκτούς τινας.
Β. οὗτος πρότερον κεφάλαιον εἰ θύννου λάβοι,
ἐνόμιζεν ἐγχέλεια καὶ θύννους ἔχειν.

Athenaeus VII p. 302 f: *Ἄλεξις δὲ ἐν Ὀδυσσεῖ ὑφαίνοντι καὶ τὴν κεφαλὴν τοῦ θύννου ἐπαινῶν φησι Καὶ τοὺς ἁλιέας κτλ.* Vs. 4 libri *κεφαλήν*, quod correxi. Ib. *θύννου λάβοι* Casaubonus, *λάβοι θύννου* libri. Cfr. Exercitt. phil. in Athen. Spec. I p. 15. Vs. 5 *ἐνόμιζεν* ABC et epit. Hoesch. *ἐνόμιζον* PVL. *ἐγχέλεια* PVL *ἐγχέλια* ABC.

III (3, 455) 153

Athenaeus VI p. 240 c: *παράσιτοι δ' ἐπ' ὀνόματος ἐγένοντο μὲν Τιθύμαλλος, οὗ μνημονεύει Ἄλεξις ἐν Μιλησίᾳ καὶ ἐν Ὀδυσσεῖ ὑφαίνοντι.*

ΟΛΥΜΠΙΟΔΩΡΟΣ

(3, 455) 154

Σῶμα μὲν ἐμοῦ τὸ θνητὸν αὖον ἐγένετο,
τὸ δ' ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα.
Β. ταῦτ' οὐ σχολὴ Πλάτωνος;

Diogenes Laert. III 28: *τοιοῦτος δ' ὢν* (Plato) *ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. — Ἄλεξις Ὀλυμπιοδώρῳ Σῶμα μὲν κτλ.*

ΟΛΥΝΘΙΑ

I (3, 456) 155

Ἔστιν ἀνήρ μοι πτωχός, κἀγώ
γραῦς, καὶ θυγάτηρ, καὶ παῖς υἱός,
χἠδ' ἡ χρηστή, πέντ' οἱ πάντες.
τούτων οἱ τρεῖς δειπνοῦμεν,
δύο δ' αὐτοῖς συγκοινωνοῦμεν
μάζης μικρᾶς. φθόγγους δ' ἀλύρους
θρηνοῦμεν, ἐπὰν μηδὲν ἔχωμεν,
χρῶμα δ' ἀσίτων ἡμῶν ὄντων
γίνεται ὠχρόν. τὰ μέρη δ' ἡμῶν
χἡ σύνταξις τοῦ βίου ἐστίν
*κύαμος, θέρμος, λάχανον, * *
γογγυλίς, ὄχρος, λάθυρος, φηγός,

βολβός, τέττιξ, ἐρέβινθος, ἀχράς,
τό τε θειοφανὲς μητρῷον ἐμοί
μελέδημ' ἰσχάς,
Φρυγίας εὑρήματα συκῆς.

Athenaeus II p. 54 f de *ἐρεβίνθοις* agens: *Ἄλεξις Ἔστιν ἀνήρ μοι κτλ.* Idem III p. 75 a: *Ἄλεξις δ' ἐν Ὀλυνθίῳ* (sic) *Φρυγίων σύκων μνημονεύων φησί Τό τε θειοφανὲς — συκῆς,* qui sunt fragmenti huius versus ultimi. Vs. 3 *χἤδ'* Schweighaeuserus, libri *καὶ ἤδ'*. Vs. 4 *δειπνοῦσιν* Grotius, quo adscito Schweighaeuserus scripsit *τρεῖς μὲν δειπνοῦσιν*. Fortasse sufficit *τρεῖς μὲν δειπνοῦμεν*. Vs. 6 *μικρᾶς* BCD et MSS Casauboni. *μιᾶς* VL. Vs. 11 lacunam indicavit Dindorfius, Elmsleio *λάχανον* delente, pro quo forsan *λάπαθον* scribendum. Vs. 12 et 13 *ὤχρος — ἀχράς* affert Eustathius ad Iliad. p. 948 41. Idem vs. 14 sqq. ad Od. p. 1572 63. Pro *θειοπαγές*, ut vulgo h. l. legitur, B et MSS Casauboniani praebuerunt *θειοφανές*, atque ita etiam cod. B libro III, ubi vulgo *θειοφαγές*. Vs. 16 *εὕρημα* ante Schweighaeuserum et Porsonum.

156 II (3, 457)

Ὁ δὲ σὸς πένης ἔστ', ὦ γλυκεῖα· τοῦτο δέ
δέδοιχ' ὁ θάνατος τὸ γένος, ὥς φασιν, μόνον.
ὁ γοῦν Τιθύμαλλος ἀθάνατος περιέρχεται.

Athenaeus VI p. 240 c: *οὗ* (Tithymalli parasiti) *μνημονεύει Ἄλεξις ἐν Μιλησίᾳ — ἐν δὲ Ὀλυνθίοις φησίν Ὁ δὲ σὸς πένης κτλ.*

157 III (3, 458)

Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασιν δ' αὐτοῖσι πιστεύειν ἀεί.

Stobaeus Floril. XXVII 9 cum lemmate *Ἀλέξιδος Ὀλυνθίων*. Versu primo A *ἐν* superscripto *οὐ*.

158 IV (3, 458)

Εὐημερία δέσποινα καὶ Μοῦσαι φίλαι.

Photius p. 30 16. *Εὐημερία*: *ὡς ἐν τῇ συνηθείᾳ. Ἄλεξις Ὀλυνθίᾳ Εὐημερία κτλ.* Eadem leguntur apud Suidam v. *εὐημερία*.

O M O I A

159 (3, 458)

Οὐδὲ φιλόδειπνός εἰμι μὰ τὸν Ἀσκληπιόν,
τραγήμασιν χαίρω δὲ μᾶλλον. B. εὖ πάνυ.

Α. τραγήματ᾽ αἰσθάνομαι γὰρ ὅτι νομίζεται
τοῖς νυμφίοις μετιοῦσι τὴν νύμφην λέγεις
παρέχειν, ἄμητας καὶ λαγῷα καὶ κίχλας.
τούτοισι χαίρω, τοῖς δὲ κεκαρυκευμένοις
ὄψοισι καὶ ζωμοῖσιν ἥδωμ᾽ ὦ θεοί;

Athenaeus XIV p. 642 d de secundis mensis agens: *Ἄλεξις . . . . Ὁμοίᾳ (τὸ δ᾽ αὐτὸ δρᾶμα καὶ ὡς Ἀντιδότου φέρεται) Οὐδὲ φιλόδειπνος κτλ.* Vs. 2 libri *δὲ χαίρω*. Transposuit Erfurdtus. Vs. 4 Bothius *τῶν νυμφῶν (τῆς νύμφης) λέχος*. Vs. 7 *ἥδομ᾽ ὦ θεοί* vulgo. Correxit H. Iacobi.

Ο Π Ω Ρ Α

(3, 459) 160

Οἶνον πολύν
οὐ κεκραμένον σὺ πίνεις μεστὸς ὢν κοὐκ ἐξεμεῖς;

Athenaeus X p. 443 e: *καλῶς πρὸς τοὺς οὕτω λάπτοντας τὸν οἶνον ὁ αὐτὸς Ἄλεξις ἐν Ὀπώρᾳ — φησίν Οἶνον πολὺν κτλ.* Post *κεκραμένον* addidi *σύ*.

Ο Ρ Ε Σ Τ Η Σ

(3, 459) 161

Athenaeus VI p. 247 c de parasiti in comicorum fabulis agens partibus: *καὶ Ἄλεξις ἐν Ὀρέστῃ, Νικόστρατός τ᾽ ἐν Πλούτῳ, Μένανδρός τ᾽ ἐν Μέθῃ καὶ Νομοθέτῃ.* Ad Alexidis Oresten fortasse referenda sunt haec Aristotelis A. P. 13, 13 *ἐκεῖ γὰρ (ἐν τῇ κωμῳδίᾳ) ἂν οἱ ἔχθιστοι ὦσιν ἐν τῷ μύθῳ, οἷον Ὀρέστης καὶ Αἴγισθος, φίλοι γενόμενοι ἐπὶ τελευτῆς ἐξέρχονται καὶ ἀποθνήσκει οὐδεὶς ὑπ᾽ οὐδενός.*

Ο Ρ Χ Η Σ Τ Ρ Ι Σ

(3, 459. 460) 162

Γυναιξὶ δ᾽ ἀρκεῖ πάντ᾽, ἐὰν οἶνος παρῇ
πίνειν διαρκής. Β. *ἀλλὰ μήν, νὴ τὼ θεώ,*
ἔσται γ᾽ ὅσον ἂν βουλώμεθ᾽, ἔσται καὶ μάλα
ἡδύς γ᾽, ὀδόντας οὐκ ἔχων, ἤδη σαπρός,
λέγων, γέρων γε δαιμονίως. Α. *ἀσπάζομαι*
γραῦν σφίγγα.

Athenaeus X p. 441 c: *Ἄλεξις δ᾽ Ὀρχηστρίδι Γυναιξὶ δ᾽ ἀρκεῖ πάντ᾽ — ἀσπάζομαι γραῦν σφίγγα. πρὸς ἐμὲ ὡς αἰνίγματα λέγει καὶ τὰ λοιπά.* Vs. 3 *ὅσον* CVL *ὃς* A *ὡς* BP. Vs. 4 *ἡδὺς* libri omnes, etiam C. At Eustathius *πολὺς*

ad Od. p. 1449 7: *οἷον γέρων Θάσιος οἶνος, ὅπερ ἡδύτερον ὁ κωμικὸς Ἄλεξις φράζων φησίν Οἶνος καὶ μάλα πολύς γε, ὀδόντας οὐκ ἔχων, ἤδη σαπρός, γέρων δαιμονίως.* Hinc Piersonus scribebat *πολιός*. Vs. 5 *λέγων* ab Eustathio omissum in *γελῶν* mutavit Bergkius, lene vinum intellegens. Vereor ne aliud quid lateat. Fortasse *γέρων γέρων γε δαιμονίως* scribendum. Quae post *γραῦν σφίγγα* inferuntur verba *πρὸς ἐμέ κτλ.* ea neque Alexidis neque Athenaei esse vidit Dindorfius.

ΠΑΛΛΑΚΗ

163 (3, 460)

Οὐκ ἔχω γὰρ ἄλλ' ὅ τι
εἴπω τοναίας τηλικαύτης ἄξιον.

Photius p. 594 22. *Τοναίαν: Ἄλεξις Παλλακῇ Οὐκ ἔχω — ἄξιον. ἡ γὰρ ἐπὶ πολὺ τῆς φωνῆς ἀπότασις καλεῖται τοναία.* Hinc corrige Etymol. M. p. 761 55.

ΠΑΜΦΙΛΗ

164 I (3, 461)

Ἐρῶντι δέ, Κτήσων, τί μᾶλλον συμφέρει
ὧν νῦν φέρων πάρειμι; κήρυκας, κτένας,
βολβούς, μέγαν τε πουλύπουν ἰχθῦς θ' ἁδρούς.

Athenaeus IX p. 356 e: *ἐμφανίζει δὲ καὶ Ἄλεξις ἐν Παμφίλῃ τοῦ πουλύποδος τὸ χρήσιμον λέγων ὧδε Ἐρῶντι κτλ.* Vs. 1 vulgo *ἐρῶν τί δ' ἐκτήσω*. Correxit Schweighaeuserus adiutus scriptura cod. A, in quo est *δὲ κτήσων*.

165 II (3, 461)

Παρέθηκε τὴν τράπεζαν, εἶτα παραφέρων
ἀγαθῶν ἁμάξας.

Athenaeus IX p. 380 e de verbo *παραφέρειν* disserens: *Ἄλεξις Παμφίλῃ Παρέθηκε κτλ.* Vs. 2 *ἁμάξας* L *ἀμάξας* PV.

ΠΑΓΚΡΑΤΙΑΣΤΗΣ

166 (3, 461)

Πρῶτον μὲν ἦν σοι Καλλιμέδων ὁ Κάραβος,
ἔπειτα Κόρυδος, Κωβίων, Κυρηβίων,
ὁ Σκόμβρος, ἡ Σεμίδαλις. Β. Ἡράκλεις φίλε,
ἀγοράσματ' οὐ συμπόσιον εἴρηκας, γύναι.

Athenaeus VI p. 242 d: *ἐν δὲ τῷ Παγκρατιαστῇ Ἄλεξις τρεχεδείπνους καταλέγων φησί Πρῶτον μὲν ἦν κτλ.* Vs. 2

pro *Κωβίων* ex B enotatum *Κυβίων*, ex C *Κωβιός*, quod fortasse verum est. Cfr. Alexis Isost. II 3, ubi coniunguntur *Ὄψων, Κάραβος, καὶ Κωβιός, Σεμίδαλις.* Ibid. *Κυρηβίων* AC *κηρυβίων* PVL. Vs. 3 *θ' ὁ σκόμβρος* C. Tum idem *ἢ* pro *ἡ*. Alia fragmenta ad hanc fabulam fortasse revocanda vide in incertis II III.

ΠΑΝΝΥΧΙΣ Η ΕΡΙΘΟΙ

I (3, 462) 167

Ἔτι δέ σοι παρὰ τοῦτο κάνδαυλόν τινα
παραθήσομεν. Β. κάνδαυλον; οὐκ ἐδήδοκα
[κάνδαυλον] οὐδ' ἀκήκο' οὐδεπώποτε.
Α. θαυμαστὸν ἐμὸν εὕρημα. πάνυ πολὺν δ' ἐγώ
ἐὰν παραθῶ σοι, προσκατέδει τοὺς δακτύλους
σαυτῷ γε χαίρων. ἕρια μὲν ποιήσομεν . . .
Β. ἄνθρωπε ποίει λευκὰ καὶ βλέπ' εἰς . .
Α. ἐπὰν ἀπὸ τῶν κοινῶν ταρίχους ἰχθύων,
κρεῶν βατανίων εὐθέως . . . .
δίπυρον παραθήσεις, ᾧὸν ἐπιτετμημένον,
πυόν, μέλιτος ὀξύβαφον, ἀπὸ ταγηνίω,
τυροῦ τροφάλια χλωρὰ Κυθνίου παρατεμών,
βοτρύδιόν τι, χόριον, ἐν ποτηρίῳ
γλυκύν· τὸ τοιοῦτον γὰρ ἀεί πως μέρος
ἐπιπαίζεται, κεφαλὴ δὲ δείπνου γίνεται.
Β. ἄνθρωπ' ἐπίπαιζε· μόνον ἀπαλλάγηθί μου·
[τοὺς σοὺς δὲ] κανδαύλους λέγων καὶ χόρια καί
βατάνια πᾶσαν [ἀφανιεῖς] τὴν ἡδονήν.

Athenaeus XII p. 516 e: *μνημονεύει αὐτοῦ (τοῦ κανδαύλου) Ἄλεξις ἐν Παννυχίδι ἢ Ἐρίθοις· μάγειρος δ' ἐστὶν ὁ προσδιαλεγόμενος· Ἔτι δέ σοι κτλ.* Vs. 1 *ἔτι* VL *ὅτι* ABP. Corrigunt *προσέτι*. Vs. 3 addidi *κάνδαυλον* et *οὐδεπώποτε* scripsi pro librorum *οὐδέποτε*. Vs. 5 Eustathius p. 1144 19 *ἐὰν παραθῶσι*. Ib. *προσκατέδει* Dindorfius. ABPC *προσκατεδεῖ*. VL *προσκατέδῃ*. Eustathius *προσκατεδῇ*. Vs. 6 Dobraeus *αὐτῷ γε χαίρων*. Vs. 7 ante Dindorfium *βλέπεις*. Illud etiam Dobraeus, qui supplet *βλέπ' εἰς τὸ πῦρ*. Malim *ὃ δεῖ*. Vs. 8 Dobraeus *τάριχος* et vs. 9 *βατάνιον*. Vs. 11 *ἀπὸ ταγηνιω* A *ἀποταγηνίω* B *ἀποταγήνω* P *ἀπὸ τηγάνου* VL *ἀποταγηνιῶ* Dindorfius, ut ego olim Curis cr. 50. Dobraeus *ἐπὶ ταγηνιῶν* a nominativo *ταγηνίας*. Vs. 13 *χόριον* pro *χορεῖον* Schweighaeuserus. Vs. 16 ante *ἀπαλλάγηθι* BPV addunt *ἀλλ'*, omittit L. Vs. 17

χόρια AB *χορεῖα* PVL. Lacunas vs. 17 et 18 supplevi ex probabili coniectura Dobraci.

168 II (3, 464)

Θερμοτέροις χαίρεις ἀεί
τοῖς ὀψαρίοις, ἢ τὸ μέσον ἢ κατωτέρω;
B. κατωτέρω. A. τί λέγεις σύ; ποδαπὸς οὗτοσί
ἄνθρωπος; οὐκ ἐπίστασαι ζῆν. ψυχρά σοι
ἅπαντα παραθῶ; B. μηδαμῶς. A. ζέοντα δέ;
B. Ἄπολλον. A. οὐκοῦν τὸ μέσον ἔστω δηλαδή.
τοῦθ' ἕτερος οὐδεὶς τῶν ὁμοτέχνων μου ποιεῖ.
B. οὐκ οἶομ', οὐδ' ἄλλ' οὐδὲν ὧν σὺ νῦν ποιεῖς.
A. ἐγὼ δ' ἐρῶ· τοῖσιν γὰρ ἑστιωμένοις
τὸν καιρὸν ἀποδίδωμι τῆς συγκράσεως.
σὺ πρὸς θεῶν ἔθυσας τὸν ἔριφον;
B. μὴ κόπτε μ', ἀλλὰ τὰ κρέα. παῖδες, παράγετε.
A. ὀπτάνιον ἔστιν; B. ἔστι. A. καὶ κάπνην ἔχει;
B. δηλονότι. A. μή μοι δῆλον. B. ἀλλ' ἔχει κάπνην.
A. ἔχει κακόν, εἰ τύφουσαν. B. ἀπολεῖ μ' οὗτοσί.

Athenaeus IX p. 386 a: *καὶ γὰρ Ἄλεξις ἐν Παννυχίδι περιθεὶς μαγείρῳ τὸν λόγον φησί Θερμοτέροις χαίρεις κτλ.* Vs. 1 cod. A *αἰεί*. Vs. 3 libri *τί λέγεις δέσποτα πῶς οὗτοσὶ ἄνθρωπος*. Correxit Dobraeus. Vs. 6 *δηλαδὴ* fort. domino tribuendum. Vs. 11 Schweighaeuserus *ἤδη* addit post *ἔθυσας*. Forsan *ἑτεὸν ἔριφον* pro *τὸν ἔριφον*. Vs. 13 *ὀπτανεῖον* ante Schweighaeuserum. Idem delevit quod libri ante *ὀπτανεῖον* habent *παῖδες*. Vs. 15 *ἔχει* PL *ἔχειν* V. Tum *τύφουσαν* ABD *τύφουσ'* P *τίφου σ'* VL. Ibidem *οὗτοσὶ* Schweighaeuserus pro edito olim *οὑτωσί γε*. A *οὗτοσί γε*. BP *οὑτωσί*.

169 III (3, 465)

Κύκλῳ δεήσει περιτρέχειν με καὶ βοᾶν,
ἄν του δέωμαι. δεῖπνον αἰτήσεις με σύ
ἤδη παρελθών· οὐκ ἔχων δὲ τυγχάνω
οὐκ ὄξος, οὐκ ἄνηθον, οὐκ ὀρίγανον,
οὐ θρῖον, οὐκ ἔλαιον, οὐκ ἀμυγδάλας,
οὐ σκόροδον, οὐ σίραιον, οὐχὶ γήθυον,
οὐ βολβόν, οὐ πῦρ, οὐ κύμινον, οὐχ ἅλας,
οὐκ ᾠόν, οὐ ξύλ', οὐ σκάφην, οὐ τήγανον,
οὐχ ἱμονιάν, οὐ λάκκον εἶδον, οὐ φρέαρ·
οὐ στάμνος ἐστί· διακενῆς δ' ἕστηκ' ἐγώ
ἔχων μάχαιραν, προσέτι περιεζωσμένος.

Athenaeus IV p. 170 b: *ἐν δὲ Παννυχίδι ἢ Ἐρίθοις μάγειρον τάδε ποιεῖ (Ἄλεξις) λέγοντα Κύκλῳ δεήσει κτλ.* Vs. 6 *γήθυον* scripsi, libri *γήτειον*, Dindorfius et Schweighaeuserus *γήτιον*, quae dubia forma est. Vs. 8 *ξύλ'* AC *ξύλον* reliqui. Vs. 9 *ἰμονιάν* P. Vulgo *ἰμονίαν*.

IV (3, 466) 170

Ἡμίοπτα μέν
τὰ κρεάδι' ἐστί, τὸ περίκομμι' ἀπόλλυται·
ὁ γόγγρος ἔφθός, τὰ δ' ἀκροκώλι' οὐδέπω.

Athenaeus III p. 96 a: *Ἄλεξις Κυβευταῖς — κἀν Παννυχίδι ἢ Ἐρίθοις Ἡμίοπτα κτλ.*

V (3, 466) 171

Εἶτα τετρακότυλον ἐπεσόβει κώθωνά μοι,
παλαιὸν οἴκων κτῆμα.

Athenaeus XI p. 483 c de *κώθωνι* disserens: *Ἄλεξις Ἐρίθοις Εἶτα κτλ.* Legebatur *εἶτ' ἐν* pro *εἶτα*, quod restituit Porsonus ad Euripidis Med. 48. Vs. 2 libri *πλέον οἶκον*, quod ex Euripidis loco correxit Porsonus.

VI (3, 467) 172

Ἔσει περιπατῶν σιτόκουρος.

Athenaeus VI p. 248 a: *σιτοκούρου δ' Ἄλεξις μνημονεύει ἐν Παννυχίδι ἢ Ἐρίθοις Ἔσει περιπατῶν σιτόκουρος.* Libri *ἔσῃ*.

Π Α Ρ Α Σ Ι Τ Ο Σ

I (3, 467) 173

Καλοῦσι δ' αὐτὸν πάντες οἱ νεώτεροι
παράσιτον ὑποκόρισμα· τῷ δ' οὐδὲν μέλει.
δειπνεῖ δ' ἄφωνος Τήλεφος, νεύων μόνον
πρὸς τοὺς ἐπερωτῶντάς τι, ὥστε πολλάκις
αὐτὸν ὁ κεκληκὼς τοῖς Σαμόθρᾳξιν εὔχεται
λῆξαι πνέοντα καὶ γαληνίσαι ποτέ.
χειμὼν ὁ μειρακίσκος ἐστὶ τοῖς φίλοις.

Athenaeus X p. 421 d: *ἐν δὲ τῷ Παρασίτῳ Ἄλεξις περὶ πολυφάγου τινὸς διαλεγόμενός φησι Καλοῦσι δ' αὐτὸν κτλ.* Vs. 5 libri *τὰ Σαμοθρᾴκι' εὔχεται*, quod correxi.

II (3, 468) 174

Καὶ γὰρ βούλομαι
ὕδατός σε γεῦσαι· πρᾶγμα δ' ἐστί μοι μέγα
φρέατος ἔνδον ψυχρότερον Ἀραρότος.

Athenaeus III p. 123 e: *Ἄλεξις γοῦν ἐν Παρασίτῳ φησί Καὶ γὰρ βούλομαι κτλ.*

175 III (3, 468)

Ἢ μετὰ Πλάτωνος ἀδολεσχεῖν κατὰ μόνας

Diogenes Laert. III 28: *Ἄλεξις Ὀλυμπιοδώρῳ — καὶ ἐν Παρασίτῳ Ἢ μετὰ Πλάτωνος κτλ.* Menagius *ἀδολεσχεῖς* et *καταμόνας*.

Π Ε Ζ Ο Ν Ι Κ Η

176 (3, 468)

Photius p. 245. *Μᾶλλον μᾶλλον: ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον. — Ἄλεξις Πεζονίκῃ.* Eadem Antiattic. p. 108 5 et Suidas s. v. *μᾶλλον*.

Π Ο Ι Η Τ Α Ι

177 I (3, 468)

Ὁ συκοφάντης οὐ δικαίως τοὔνομα
ἐν τοῖσι μοχθηροῖσίν ἐστι κείμενον.
ἔδει γὰρ ὅστις χρηστὸς ἦν ἡδύς τ' ἀνὴρ
τὰ σῦκα προστεθέντα δηλοῦν τὸν τρόπον.
νυνὶ δὲ πρὸς μοχθηρὸν ἡδὺ προστεθέν
ἀπορεῖν πεποίηκε διά τί τοῦθ' οὕτως ἔχει.

Athenaeus III p. 74 e: *Ἄλεξις δ' ἐν Ποιητῇ φησιν Ὁ συκοφάντης κτλ.*

178 II (3, 469)

Πάνυ τι βούλομαι
οὕτω γελᾶσθαι καὶ γελοῖ' ἀεὶ λέγειν
μετὰ τὸν Κόρυδον μάλιστ' Ἀθηναίων πολύ.

Athenaeus VI p. 241 d: *ὅτι δὲ γελοῖα ἔλεγεν ὁ Κόρυδος καὶ ἐπὶ τούτοις γελᾶσθαι ἤθελεν ὁ αὐτὸς Ἄλεξις ἐν Ποιηταῖς φησι Πάνυ τι κτλ.*

Π Ο Ι Η Τ Ρ Ι Α

179 (3, 469)

Pollux IX 153: *ἐπὶ τὸ πλῆθος, ἐπὶ τὸ πολύ, ὡς ἐπὶ τὸ πλῆθος, ὡς ἐπὶ τὰ πολλά. τοῦτο μὲν γὰρ Ἄλεξις ἐν Ποιητρίᾳ εἴρηκεν Ὡς ἐπὶ τὰ πολλὰ τοῦτο ποιῶ.*

Π Ο Λ Υ Κ Λ Ε Ι Α

180 (3, 469)

Ὁ πρῶτος εὑρὼν κομψὸς ἦν τραγήματα·
τοῦ συμποσίου γὰρ διατριβὴν ἐξεῦρέ πως,
κἀργοὺς ἔχειν μηδέποτε τὰς σιαγόνας.

Athenaeus XIV p. 642 c: *Ἄλεξις Πολυκλείᾳ· ἑταίρας δ' ὄνομα Πολύκλεια· Ὁ πρῶτος κτλ.* Attigit Eustathius ad Odyss. p. 1594 10. Vs. 2 *μηδέποτε* B *μηδεπώποτε* PVL.

Π O N H P A

I (3, 470) 181

Ὅμως λογίσασθαι πρός γ' ἐμαυτὸν βούλομαι
καθεζόμενος ἐνταῦθα τὴν ὀψωνίαν,
ὁμοῦ τε συντάξαι τί πρῶτον οἰστέον,
ἡδυντέον τε πῶς ἕκαστόν ἐστί μοι.
τάριχός ἐστι πρῶτον ὡραῖον τοδί.
διωβόλου τοῦτ' ἔστι. πλυτέον εὖ μάλα.
εἶτ' εἰς λοπάδιον ὑποπάσας ἡδύσματα
ἐνθεὶς τὸ τέμαχος, λευκὸν οἶνον ἐπιχέας,
ἐπεσκέδασα τοὔλαιον· εἶθ' ἕψων ποιῶ
μυελόν, ἀφεῖλόν τ' ἐπιγανώσας σιλφίῳ.

Athenaeus III p. 117 d: *ὁ δ' αὐτὸς ποιητὴς ἐν Πονήρᾳ περὶ σκευασίας ταρίχων μάγειρόν τινα παράγει λέγοντα τάδε Ὅμως λογίσασθαι κτλ.* Vs. 1 addidi *γέ*. Vs. 5 *πρῶτόν ἐστι* A. Tum *τοδί*. *διωβόλου* Dindorfius. AP *τὸ διοβόλου*. B *τὸ διοβολοῦ*. VL *τοδὶ ὀβολοῦ μόνου*. Vs. 7 *εἴ τις* pro *εἶτ' εἰς* AP. Ibid. B *ἡδύσματι*. Vs. 9 *ποιῶν* A *ποῶ* C *πῶ* B *ποτὲ* VL *ποτὶ* P. Vs. 10 *ἀφεῖλόν τ'* Dindorfius. Vulgo *ἀφεῖλον*. AB *ἀφεῖλοντ'*.

II (3, 471) 182

Τῆς ὀριγάνου
πρώτιστον ὑποθεὶς εἰς λοπάδα νεανικὴν
τὸ τρῖμμ' ἐπιπολῆς εὐρύθμως διειμένον
ὄξει, σιραίῳ χρωματίσας καὶ σιλφίῳ
πυκνῷ πατάξας.

Athenaeus IV p. 170 b. c: *ἐν δὲ Παννυχίδι ἢ Ἐρίθοις μάγειρον τάδε ποιεῖ λέγοντα — κἀν Πονήρᾳ Τῆς ὀριγάνου κτλ.* Vs. 2 *ὑποθεὶς* pro *ὑποτιθεὶς* Casaubonus.

III (3, 471) 183

Σηπίας τόσας
δραχμῆς μιᾶς τρίς. τῶν δὲ τὰς μὲν πλεκτάνας
καὶ τὰ πτερύγια συντεμὼν ἕφθὰς ποιῶ,
τὸ δ' ἄλλο σῶμα κατατεμὼν πολλοὺς κύβους
σμήσας τε λεπτοῖς ἅλσί, δειπνούντων ἅμα
ἐπὶ τὸ τάγηνον σίζον ἐπισείων φέρω.

Athenaeus VII p. 324 b: *περὶ δὲ ἐψήσεως σηπιδίων Ἄλεξις ἐν Πονήρᾳ παράγει μάγειρον τάδε λέγοντα Σηπίας τόσας κτλ.* Vs. 1 *σηπίας τόσας* Schweighaeuserus. *σηπίαι τοσου* ABP *σηπίαι πόσου* VL. Vs. 2 *τρὶς* ABPV *τρεῖς* L. Vs. 3 ante Dindorfium *ἐφθά.* Vs. 6 *τήγανον* VL *τάγηνον* BCP et MSS Casauboni. Ib. libri *ἐπεισιών*, quod correxi.

184 IV (3, 472)

Τριωβόλου χρεῖσχον ἀστεῖον πάνυ
ὕειον· ὀπτὸν θερμὸν εὔχυλον τέρεν
ὅταν ᾖ τι προσφέρων.

Athenaeus XIV p. 655 f: *ὀπτῶν δελφάκων δὲ μνημονεύει Ἐπικράτης — Ἄλεξις δ' ἐν Πονήρᾳ Τριωβόλου κτλ.* Vs. 1 malim *χρεῖσκιον.* V. ad Choliamb. poes. p. 105. Vs. 2 *καί*, quod ante *θερμὸν* in libris est, delevit Casaubonus. Ibidem *εὔχυλον τέρεν* Porsoni est emendatio pro *εὐχυλότερον.* L *εὐχυλώτερον.* Vs. 3 *τι* post *ᾖ* addidit Porsonus. *προσφέρων* PV *προσφέρον* L *πρόσφερ'* Porsonus.

185 V (3, 472)

Ἐναλείφεται τὰς ῥῖνας, ὑγιείας μέρος
μέγιστον, ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιῶν.

Athenaeus II p. 46 a: *οὐ κακῶς οὖν Ἄλεξίς φησιν Ἐναλείφεται κτλ.* Idem Athenaeus XV p. 687 d: *οὐκ οἶδας ὅτι αἱ ἐν τῷ ἐγκεφάλῳ ἡμῶν αἰσθήσεις ὀδμαῖς ἡδείαις παρηγοροῦνται προσέτι τε θεραπεύονται, καθὰ καὶ Ἄλεξίς φησιν ἐν Πονήρᾳ οὕτως Ὑγιείας μέρος κτλ.* Vs. 2 *ποιεῖν* libro XV.

186 VI (3, 473)

Καὶ χόνδρος ἔνδον ἐστὶ Θετταλικὸς πολύς.

Athenaeus III p. 127 c: *ἐν δὲ Πονήρᾳ πάλιν ὁ Ἄλεξις Καὶ χόνδρος κτλ.*

187 VII (3, 473)

Ἀκρολίπαροι, τὸ δ' ἄλλο σῶμ' ὑπόξυλον.

Athenaeus IX p. 385 b: *ἀκρολιπάρους δέ τινας ἀνθρώπους κέκληκεν Ἄλεξις ἐν Πονήρᾳ οὕτως Ἀκρολίπαροι κτλ.* Fortasse scribendum *ὑπόξυλοι.*

ΠΟΝΤΙΚΟΣ

188 (3, 473)

Ὑπὲρ πάτρας μὲν πᾶς τις ἀποθνήσκειν θέλει,
ὑπὲρ δὲ μήτρας Καλλιμέδων ὁ Κάραβος
ἐφθῆς ἴσως προσεῖτ' ἂν ἄλλως ἀποθανεῖν.

Athenaeus III p. 100 c: *Ἄλεξις γὰρ ἐν τῷ Ποντικῷ ἐπιγραφομένῳ δράματι Καλλιμέδοντα τὸν ῥήτορα, Κάραβον δὲ ἐπικαλούμενον, κωμῳδῶν, ἦν δ' οὗτος εἷς τῶν κατὰ Δημοσθένη τὸν ῥήτορα πολιτευομένων, φησίν Ὑπὲρ πάτρας κτλ.* Vs. 3 correxit Schweighaeuserus librorum scripturam *ἴσω* (A *ἴσως*) *πρὸς ἰταλῶν ἀποθανεῖν.*

ΠΡΟΣΚΕΔΑΝΝΥΜΕΝΟΣ

(3, 473) 189

Antiatticista p. 100 13: *Ἰσχυρίσκος ἀντὶ τοῦ ἰσχυρός. Ἄλεξις Προσκεδαννυμένῳ.* Eadem omisso fabulae titulo Photius p. 117 10. Legendum esse *ἰσχυρικὸς* dixi iam Quaest. sc. III p. 30.

ΠΡΩΤΟΧΟΡΟΣ

(3, 474) 190

Ἐπιπονώτερον
ἔργον μὰ τὸν Διόνυσον οὐκ εἴληφ' ἐγώ,
ἀφ' οὗ παρασιτῶ. μεμβράδας μοι κρεῖττον ἦν
ἔχειν μετ' Ἀττικιστὶ δυναμένου λαλεῖν.
ὀνησιφόρον ἦν τοῦτο.

Athenaeus VII p. 287 f: *Ἄλεξις δ' ἐν Χορηγίδι διὰ τοῦ μ εἴρηκεν (μεμβράδας)... ἐν δὲ Πρωτοχόρῳ Ἐπιπονώτερον κτλ.* Vs. 2 *ἔργον* addidit Porsonus. Pro *εἴληφ'* Casaubonus tentabat *εἴληχ'*. Vs. 3 libri *βεμβράδας.*

ΠΥΘΑΓΟΡΙΖΟΥΣΑ

I (3, 474) 191

Ὕδατος ἀπέφθου κύαθον· ἂν δ' ὠμὸν πίῃ,
βαρὺ καὶ κοπῶδες.

Athenaeus III p. 122 f: *προπίνω σοι, ἔφη, φιλοτησίαν — παρ' Ἀλέξιδος λαβὼν ἐκ Πυθαγοριζούσης Ὕδατος ἀπέφθου κτλ.* Vs. 1 *πίῃ* VL *πίνῃ* ABP.

II III (3, 474. 475) 192. 193

Ἡ δ' ἑστίασις ἰσχάδες καὶ στέμφυλα
καὶ τυρὸς ἔσται· ταῦτα γὰρ θύειν νόμος
τοῖς Πυθαγορείοις. Β. νὴ Δί', ἱερεῖον μὲν οὖν
ὁποῖον ἂν κάλλιστον, ὦ βέλτιστ', ἔχῃ . . .
Ἔδει θ' ὑπομεῖναι μικροσιτίαν, ῥύπον,
ῥῖγος, σιωπήν, στυγνότητ', ἀλουσίαν.

Athenaeus IV p. 161 d allatis Alexidis versibus ex Tarentinis: *καὶ ἐν Πυθαγοριζούσῃ Ἡ δ' ἑστίασις — ὦ βέλτιστ' ἔχῃ.*

καὶ μετ᾽ ὀλίγα Ἔδει θ᾽ ὑπομεῖναι κτλ. Vs. 3 *Πυθαγορείοις* P *πυθαγορίοις* AVL. Vs. 4 *ὁποῖον ἂν* Casaubonus. *ὁποῖον οὖ* AP *ὁποιονοῦν* VL. Vs. 5 *μικροσιτίαν* Porsonus. Libri *μικρὸν ἀσιτίαν*. Respicit locum Eustathius Od. p. 1560 60.

194 IV (3, 475)

Gellius Noct. Att. IV 11: ***porculis quoque minusculis et haedis tenerioribus victitasse*** (Pythagoram) ***idem Aristoxenus refert. — Ac de animalibus Alexis etiam poeta in comoedia, quae Pythagorizusa inscribitur, docet.***

Π Υ Α Α Ι Α Ι

195 (3, 475)

Νὴ τὴν Ἀθηνᾶν, ἀλλ᾽ ἐγὼ τεθαύμακα
τοὺς ἰχθυοπώλας, πῶς ποτ᾽ οὐχὶ πλούσιοι
ἅπαντές εἰσι λαμβάνοντες βασιλικούς
φόρους· μόνον οὐχὶ δεκατεύουσι γάρ
τὰς οὐσίας ἐν ταῖς πόλεσι καθήμενοι,
ὅλας δ᾽ ἀφαιροῦνται καθ᾽ ἑκάστην ἡμέραν.

Athenaeus VI p. 225 f: *ὅτι δὲ καὶ παμπόλλου πιπράσκουσιν Ἄλεξις ἐν Πυλαίαις (Πυλαίᾳ?) φησί Νὴ τὴν Ἀθηνᾶν κτλ.* Versu quarto pro *μόνον* scribendum videtur *μὰ τὸν Δί᾽*. Dobraeus tentabat: *φόρους· ἑκάστοτ᾽ οὐχὶ δεκατεύουσι γάρ.*

Π Υ Ρ Α Υ Ν Ο Σ

196. 197 I II (3, 476)

Ἐμοὶ παρασιτεῖν κρεῖττον ἦν τῷ Πηγάσῳ,
ἢ τοῖς Βορεάδαις ἢ εἴ τι θᾶττον ἔτι τρέχει,
ἢ Δημέᾳ Λάχητος Ἐτεοβουτάδῃ·
πέτεται γὰρ οὐχ οἷον βαδίζει τὰς ὁδούς . . .
Δ. Στράτιε, φιλεῖς δήπου με; ΣΤΡ. μᾶλλον τοῦ πατρός·
ὁ μὲν γὰρ οὐ τρέφει με, σὺ δὲ λαμπρῶς τρέφεις.
Δ. εὖχει τ᾽ ἀεί με ζῆν; ΣΤΡ. ἅπασι τοῖς θεοῖς·
ἂν γὰρ πάθῃς τι, πῶς ἐγὼ βιώσομαι;

Athenaeus VI p. 244 d: *Ἄλεξις δ᾽ ἐν Πυραύνῳ Στράτιον τὸν παράσιτον εἰσάγει δυσχεραίνοντα τῷ τρέφοντι καὶ λέγοντα τάδε Ἐμοὶ παρασιτεῖν — τὰς ὁδούς. καὶ μετ᾽ ὀλίγα Στράτιε φιλεῖς δήπου με κτλ.* Vs. 2 *ἢ εἴ τι* C *εἰ* om. PVL *θᾶσσον* C *ἔτι τρέχει* Schweighaeuserus. *ἔτι τούτων τρέχει* AB *τούτων ἔτι τρέχει* C *τούτων τρέχει* PVL. Vs. 7 ante Dindorfium *εὔχῃ*.

III (3, 476) 198

Πεῖραν ἐπεθύμουν θατέρου βίου λαβεῖν,
ὃν πάντες εἰώθασιν ὀνομάζειν ὑγρόν.
τρεῖς ἐν Κεραμεικῷ περιπατήσας ἡμέρας
διδασκάλους ἐξεῦρον οὗ λέγω βίου
ἴσως τριάκοντ' ἀφ' ἑνὸς ἐργαστηρίου.

Athenaeus VI p. 258 b: *οὐκ ἂν διαμάρτοι δέ τις τὸν τοῦ μειρακίου τούτου τοῦ Κυπρίου βίον ὑγρὸν ὀνομάζων, οὗ πολλοὺς καὶ διδασκάλους φησὶν εἶναι Ἀθήνησιν Ἄλεξις ἐν Πυραύνῳ λέγων οὕτως Πεῖραν ἐπεθύμουν κτλ.*

IV (3, 477) 199

Ἄνοιγ' ἄνοιγε τὴν θύραν· ἐλάνθανον
πάλαι περιπατῶν ἀνδριάς, ἀλετὼν ὄνος,
ποτάμιος ἵππος, τοῖχος, ὁ Σελεύκου τίγρις.

Athenaeus XIII p. 590 b: *ἀρσενικῶς εἴρηκε τὸν τίγριν Ἄλεξις ἐν Πυραύνῳ οὕτως Ἄνοιγ' ἄνοιγε κτλ.* **Vs. 2** *ἀνδριὰς* **Dalecamp.** *ἀνδρίας* **PVL** *ἀνδρείας* **AB. Ibid.** *ἀλετὼν* **scripsi, cf. fragm. 11.** *ἀλέτων* **AP** *ἀλήθων* **VL.**

V (3, 477) 200

Ἐγὼ δ' ἐπειδὰν ἀσχολουμένους λάβω,
ἀνέκραγον "οὐ δώσει τις ἡμῖν ματτύην;"

Athenaeus XIV p. 663 f de mattya disserens: *Ἄλεξις δ' ἐν Πυραύνῳ ἀμφιβόλως εἴρηκεν Ἐγὼ δ' ἐπειδὰν — ἡμῖν ματτύην; ὥσπερ ἂν εἰ τὸ δεῖπνον ἔλεγεν.*

ΡΟΔΙΟΣ Η ΠΟΠΠΥΖΟΥΣΑ

Vide supra in *Δορκὶς ἢ Ποππύζουσα.*

ΣΙΚΥΩΝΙΟΣ

(3, 477) 201

Οὐχὶ τῶν μετρίων, ἀλλὰ τῶν βαβαὶ βαβαί.

Antiatticista p. 84 in. *Βαβαὶ βαβαί: οὐχὶ τῶν μετρίων ἀλλὰ τῶν βαβαὶ βαβαί. Ἄλεξις Σικυωνίῳ.* **Versus videtur esse Eupolideus. Ceterum v. Exercitt. philol. in Athen. Spec. I p. 18.**

ΣΚΕΙΡΩΝ

(3, 478) 202

Ὥσπερ κυλιστὸς στέφανος αἰωρούμενος.

Athenaeus XV p. 678 e de *στεφάνοις κυλιστοῖς* **agens:** *Ἄλεξις ἐν μὲν Ἀγωνίδι ἢ Ἱππίσκῳ — ἐν δὲ Σκείρωνί φησιν Ὥσπερ κτλ.*

ΣΠΟΝΔΟΦΟΡΟΣ

203 (3, 478)

Ἀριστογείτονα
τὸν ῥήτορ' εἶδον λάρκον ἠμφιεσμένον
τῶν ἀνθρακηρῶν.

Pollux X 111: *τάχα δὲ καὶ λάρκους τούτους προσονομαστέον, καὶ λάρκια καὶ λαρκίδια, τὰ ἀγγεῖα τῶν ἀνθράκων — ἐν δὲ τῷ Ἀλέξιδος Σπονδοφόρῳ ἐστὶν εἰρημένον Ἀριστογείτονα τὸν ῥήτορ' κτλ.*

ΣΤΡΑΤΙΩΤΗΣ

204 (3, 478. 479)

Ἀπόλαβε. Β. τοῦτο δ' ἐστὶ τί; Α. ὃ παρ' ὑμῶν ἐγώ
παιδάριον ἔλαβον, ἀποφέρων ἥκω πάλιν.
Β. πῶς; οὐκ ἀρέσκει σοι τρέφειν; Α. οὐκ ἔστι γάρ
ἡμέτερον. Β. οὐδ' ἡμέτερον. Α. ἀλλ' ἐδώκατε
ὑμεῖς ἐμοὶ τοῦτ'. Β. οὐ δεδώκαμεν. Α. τί δαί;
Β. ἀπεδώκαμεν. Α. τὸ μὴ προσῆκον ἐμοὶ λαβεῖν;

Athenaeus VI p. 223 e de Demosthenis dicto ad taedium usque inculcato agens, ὃς Φιλίππου Ἀθηναίοις Ἁλόννησον διδόντος συνεβούλευε μὴ λαμβάνειν εἰ δίδωσιν ἀλλὰ μὴ ἀποδίδωσιν. — Ἄλεξις δ' ἐν Στρατιώτῃ Ἀπόλαβε κτλ. Vs. 1 ἀπόλαβε A ἀπέλαβες PVL. Vere, ut puto, Hermannus Praef. Epit. d. m. p. XVII ἀπόλαβε | τουτί. τί τοῦτο δ' ἔστιν. Reisigius Coni. p. 49: Ἀπόλαβε. Β. τί δὲ τοῦτ' ἐστίν; Α. ὃ παρ' ὑμῶν ἐγώ. Vs. 4 ὑμέτερον P. Vs. 5 an οὐκ ἐδώκαμεν? Ib. δαὶ Hermannus, libri δέ. Vs. 6 ἀπεδώκαμεν pro ἀποδεδώκαμεν Casaubonus. Tum praestat opinor προσῆκόν μοι.

ΣΥΝΑΠΟΘΝΗΣΚΟΝΤΕΣ

205 I (3, 479)

Μάθοις δ' ἂν οἷον ἀνθρώποις κακόν
ἔστιν ἡ γαστήρ, διδάσκει δ' οἷ' ἀναγκάζει θ' ὅσα.
εἴ τις ἀφέλοι τοῦτ' ἀφ' ἡμῶν τὸ μέρος ἀπὸ τοῦ σώματος,
οὔτ' ἂν ἀδικοῖτ' οὐδὲν οὐδεὶς οὔθ' ὑβρίζοιτ' ἂν ἐκών,
νῦν δὲ διὰ ταύτην ἅπαντα γίνεται τὰ δυσχερῆ.

Athenaeus X p. 422 a: *μέγα γὰρ ἀνθρώποις κακὸν ἡ γαστήρ, περὶ ἧς φησιν Ἄλεξις ἐν Συναποθνήσκουσι Μάθοις δ' ἂν κτλ.* Vs. 1 δ' Dindorfius ex B pro τ'. Ib. libri *κακὸν ἀνθρώποις*. Transposuit Grotius. Vs. 2 ante Grotium ἔσθ' ἡ. Vs. 3—5 affert Eustath. ad Od. p. 1837 20. Vs. 3 Eustath. *ἀφέλῃ*. Ibid.

τοῦτ' C et Eust. ταῦτ' PVL. Vs. 4 ante Dindorfium οὐδ' ἄν. Ibid. οὐδεὶς omittit B. Tum pro ἔχων Hermannus θέλων. Ahrens de Crasi p. 9 οὐδ' ἂν ἀδικοῖ γ' οὐδὲν οὐδεὶς οὐδ' ὑβρίζοι τἂν ἔχών. Vs. 5 Eustathius γίνονται.

II (3, 480) 206

Ἐπὶ δεῖπνον εἰς Κόρινθον ἐλθὼν Χαιρεφῶν
ἄκλητος· ἤδη γὰρ πέτεται διαπόντιος·
οὕτω τι τἀλλότρι' ἐσθίειν ἐστὶ γλυκύ.

Athenaeus IV p. 165 a: οὐκ ὀκνεῖ — καὶ ὑπερορίους ἀποδημίας ποιεῖσθαι τῆς γαστρὸς χάριν, ὡς ὁ αὐτὸς Ἄλεξις εἴρηκεν ἐν Συναποθνήσκουσιν Ἐπὶ δεῖπνον κτλ.

III (3, 480) 207

Ὅστις διαπλεῖ θάλατταν ἢ μελαγχολᾷ,
ἢ πτωχός ἐστιν, ἢ θανατᾷ· τούτων τριῶν
ἑνός τ' ἀποτυχεῖν τοὐλάχιστον οὐκ ἔνι.

Stobaeus Floril. LIX 2 cum lemmate Ἀλέξιδος ἐκ Συναποθνησκόντων. Trinc. Euripidi tribuit. Vs. 2 τούτων τῶν τριῶν A et Trinc. τῶνδε τῶν τριῶν B. Vs. 3 fort. ἑνός γ'.

ΣΥΝΤΡΕΧΟΝΤΕΣ

I (3, 480) 208

Ἔγωγε δύο λαβεῖν μαγείρους βούλομαι
οἵους ἂν σοφωτάτους δύνωμ' ἐν τῇ πόλει·
μέλλοντα δειπνίζειν γὰρ ἄνδρα Θετταλόν
οὐκ Ἀττικηρῶς οὐδ' ἀπηκριβωμένως
λιμῷ παρελθεῖν . . ἃ δεῖ καθ' ἕν
ἕκαστον αὐτοῖς παρατιθέντα μεγαλείως δέ.

Athenaeus IV p. 137 c: Ἄλεξις δ' ἐν Συντρέχουσιν ἐπισκώπτων τὰ ἀττικὰ δεῖπνά φησιν Ἔγωγε κτλ. Vs. 5 ἃ δεῖ AEP ἀλλὰ δεῖ V ἀλλὰ δὴ Basil. L. Vs. 6 μεγαλείως δὲ ABCP μεγαλίως epit. Hoesch. Non expedio.

II (3, 481) 209

Λευκὸς Ἀφροδίτης εἰμὶ γὰρ περιστερός.
ὁ δὲ Διόνυσος οἶδε τὸ μεθύσαι μόνον·
εἰ δὲ νέον ἢ παλαιόν, οὐ πεφρόντικεν.

Athenaeus IX p. 395 a: Ἀττικοὶ δὲ ἀρσενικῶς περιστερὸν καλοῦσιν. Ἄλεξις Συντρέχουσιν Λευκὸς Ἀφροδίτης κτλ. Cfr. Eustathius ad Hom. p. 1712 45. Vs. 1 articulum ὁ ante λευκὸς delevit Schweighaeuserus. Idem vs. 2 ὁ δὲ scripsit pro οἶδε.

210 III (3, 481)

Athenaeus VIII p. 340 a: *ὁμοίως* (ut in Crateua) *αὐτὸν* (Callimedontem) *σκώπτει κἀν τοῖς ἐπιγραφομένοις Συντρέχουσιν.*

Σ Υ Ν Τ Ρ Ο Φ Ο Ι

211 (3, 481)

Ὡς ἡδὺ πᾶν τὸ μέτριον. οὔθ' ὑπεργέμων
ἀπέρχομαι νῦν οὔτε κενός, ἀλλ' ἡδέως
ἔχων ἐμαυτοῦ. Μνησίθεος γάρ φησι δεῖν
φεύγειν ἁπάντων τὰς ὑπερβολὰς ἀεί.

Athenaeus X p. 419 b: *τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, ὡς Ἄλεξις ἐν Φιλούσῃ παραδίδωσιν — ἐν δὲ Συντρόφοις Ὡς ἡδὺ κτλ.*

Σ Ω Ρ Α Κ Ο Ι

212 (3, 482)

Φείδιππος ἕτερός τις ταριχηγὸς ξένος.

Athenaeus III p. 120 b: *Φειδίππου δέ, καὶ γὰρ οὗτος ταριχοπώλης, Ἄλεξις* (μνημονεύει) *ἐν Ἱππίσκῳ κἀν Σωράκοις Φείδιππος κτλ.*

Σ Υ Ρ Α Κ Ο Σ Ι Ο Σ

213 (3, 482)

Τοῖς γὰρ κακοῖς
τοὺς μὴ μαχομένους ῥᾷστα χρωμένους ὁρῶ.

Stobaeus Floril. CVIII 47 cum lemmate *Ἀλέξιδος ἐκ Συρακουσίου.*

Τ Α Ρ Α Ν Τ Ι Ν Ο Ι

214. 215 I II (3, 483)

Οἱ πυθαγορίζοντες γάρ, ὡς ἀκούομεν,
οὔτ' ὄψον ἐσθίουσιν οὔτ' ἄλλ' οὐδὲ ἕν
ἔμψυχον, οἶνόν τ' οὐχὶ πίνουσιν μόνοι.
Β. Ἐπιχαρίδης μέντοι κίνας κατεσθίει,
τῶν Πυθαγορείων εἷς. Α. ἀποκτείνας μὲν οὖν·
οὐκ ἔτι γὰρ ἔστ' ἔμψυχον . . .
Πυθαγορισμοὶ καὶ λόγοι
λεπτοὶ διεσμιλευμέναι τε φροντίδες
τρέφουσ' ἐκείνους, τὰ δὲ καθ' ἡμέραν τάδε·
ἄρτος καθαρὸς εἷς ἑκατέρῳ, ποτήριον
ὕδατος· τοσαῦτα ταῦτα. Β. δεσμωτηρίου

λέγεις δίαιταν. Α. πάντες οἵτως οἱ σοφοί
διάγουσι καὶ τοιαῦτα κακοπαθοῦσί που.
τρυφῶσιν ἕτεροι πρὸς ἑτέρους. ἆρ' οἶσθ' ὅτι
Μελανιππίδης ἑταῖρός ἐστι καὶ Φάων
καὶ Φυρόμαχος καὶ Φᾶνος, οἳ δι' ἡμέρας
δειπνοῦσι πέμπτης ἀλφίτων κοτύλην μίαν;

Athenaeus IV p. 161 b de Pythagoreorum frugalitate disserens: *Ἄλεξις δ' ἐν Ταραντίνοις Οἱ πυθαγορίζοντες — οὐκ ἔτι γάρ ἐστ' ἔμψυχον. προελθών τέ φησι Πυθαγορισμοὶ κτλ.* Ibid. *μέντοι* Iacobsius. Libri *μὲν τάς*. Vs. 5 *Πυθαγορίων* AP. Ib. *μὲν οὖν*, pro quo libri habent *γενοῦ*, restituit Casaubonus. Vs. 9 A *ταδέ*. Fortasse igitur *ταδί*. Vs. 12 *οἵτως οἱ* Villebrunius. Vulgo *οὗτοί γ' οἱ*. ABP *οὗτοι οἱ*. Vs. 14 *ἄρισθ'* ABP. Vs. 16 post *ἡμέρας* ABP addunt *μιᾶς*.

III (3, 484. 485) 216

Οὐδὲ εἷς ἂν εὐλόγως
ἡμῖν φθονήσαι νοῦν ἔχων, οἳ τῶν πέλας
οὐδὲν ἀδικοῦμεν οὐδέν'· ἆρ' οὐκ οἶσθ' ὅτι
τὸ καλούμενον ζῆν τοῦτο διατριβῆς χάριν
ὄνομ' ἐστίν, ὑποκόρισμα τῆς ἀνθρωπίνης
μοίρας; ἐγὼ γάρ, εἰ μὲν εὖ τις ἢ κακῶς
φήσει με κρίνειν οὐκ ἔχοιμ' ἄν σοι φράσαι·
ἔγνωκα δ' οὖν οὕτως ἐπισκοπούμενος,
εἶναι μανιώδη πάντα τἀνθρώπων ὅλως,
ἀποδημίας δὲ τυγχάνειν ἡμᾶς ἀεί
τοὺς ζῶντας, ὥσπερ εἰς πανήγυρίν τινα
ἀφειμένους ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους
εἰς τὴν διατριβὴν εἰς τὸ φῶς τε τοῦθ' ὃ δή
ὁρῶμεν. ὃς δ' ἂν πλεῖστα γελάσῃ καὶ πίῃ
καὶ τῆς Ἀφροδίτης ἀντιλάβηται τὸν χρόνον
τοῦτον ὃν ἀφεῖται, καὶ τύχῃ γ' ἐράνου τινός,
πανηγυρίσας ἥδιστ' ἀπῆλθεν οἴκαδε.

Athenaeus XI p. 463 c: *διόπερ συνιοῦσι καὶ ἡμῖν ἐπὶ τὰς Διονυσιακὰς λαλιὰς οὐδεὶς ἂν εὐλόγως φθονήσαι νοῦν ἔχων, κατὰ τοὺς Ἀλέξιδος Ταραντίνους, οἳ τῶν πέλας οὐδὲν ἀδικοῦμεν οὐδένα. ἆρ' οἶσθ' ὅτι κτλ.* Priora constitui ad mentem Dobraei. Vs. 7 libri *φήσειε*. Correxit Dobraeus. Tum Dindorfius *ἄν σοι φράσαι*. Abest *σοι* ab ABCP *ἄν τι φράσαι* V *ἀντιφράσαι* L. Vs. 8 scribendum esse *ἔγνωκα δ' οὖν*

iam olim monui. Nunc idem Dobraeus. Libri *ἔγνωκα γοῦν*. Vs. 9 *τἀνθρώπεια* C. Vs. 12 *ἀφειμένους* ABC *ἀφιγμένους* PVL. Vs. 16 *τύχῃ γ᾽ ἐράνου* VL *τύχῃ τ᾽ ἐράνου* ACP. Dindorfius *τύχῃ ᾽ράνου*. Possis etiam *κἂν τύχῃ γ᾽ ἐράνου*.

217 IV (3, 485. 486)

Τοῦτο γὰρ νῦν ἐστί σοι
ἐν ταῖς Ἀθήναις ταῖς καλαῖς ἐπιχώριον·
ἅπαντες ὀρχοῦντ᾽ εὐθὺς ἂν οἴνου μόνον
ὀσμὴν ἴδωσιν. Β. συμφορὰν λέγεις ἄκραν.
Α. φαίης ἂν εἰς συμπόσιον εἰσελθὼν ἄφνω.
καὶ τοῖς μὲν ἀγενείοις ἴσως ἔπεστί τις
χάρις· ἀλλ᾽ ἐπὰν δὴ τὸν γόητα Θεόδοτον,
ἢ τὸν παραμασύντην ἴδω τὸν ἀνόσιον
βαυκιζόμενον τὰ λευκά τ᾽ ἀναβάλλονθ᾽ ἅμα,
ἥδιστ᾽ ἂν ἀναπήξαιμ᾽ ἐπὶ τοῦ ξύλου λαβών.

Athenaeus IV p. 134 a: *Ἄλεξις δ᾽ ἐν Ταραντίνοις ἐν τοῖς συμποσίοις φησὶ τοὺς Ἀττικοὺς καὶ ὀρχεῖσθαι ὑποπιόντας Τοῦτο γὰρ κτλ.* Vs. 1 B inverso ordine *ἐστί σοι νῦν*. Vs. 3 *εὐθέως* AB *εὐθὺς* CL et epit. Hoesch. Vs. 4 C *ἴσχωσιν* pro *ἴδωσιν*. Ib. *ἄκραν* Dobraeus. Libri *ἄρ᾽ ἄν*. Iacobsius *ἀρὰν φαίης ἄν*. Vs. 5 *ἐλθὼν* B. Vs. 6 post *τις* ABP addunt *σοι*. Vs. 8 *ἴδω* CL *ἰδὼν* ABPV. Vs. 9 *βαυκιζόμενον* pro *καυκιζόμενον* Casaubonus. Vs. 10 libri *ἥδιστον ἀναπήξαιμ᾽ ἂν αὐτὸν ἐπὶ τοῦ ξύλου λαβών*. Neque aliter Eustathius p. 892 47, nisi quod *ἥδιστον* omittit et *αὐτὸ* habet pro *αὐτόν*. Correxit Dobraeus.

218 V (3, 486)

Νάννιον δὲ μαίνεται
ἐπὶ τῷ Διονύσῳ.

Athenaeus XIII p. 587 b: *μνημονεύει τῆς Νανnίου καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως, Νάννιον δὲ μαίνεται ἐπὶ τῷ Διονύσῳ, κωμῳδῶν αὐτὴν ὡς μέθυσον.*

219. 220 VI VII (3, 487)

Pollux X 21: *ὁ δὲ οἰκοδεσπότης ἐστὶ καὶ Ἀλέξιδος ἐν Ταραντίνοις*. Cfr. Phrynichus Epit. p. 373 et Thomas Mag. p. 259 3. Antiatticista p. 100. *Κάθου: Ἄλεξις Ταραντίνοις.*

T I T Θ H

221 I (3, 487)

Ἰδοὺ πάρεστιν οἶνος. οὐκοῦν ἐγχέω,
Κρίτων, πολύν; Β. βέλτιον ἕνα καὶ τέτταρας.

Α. ὑδαρῆ λέγεις· ὅμως δὲ ταύτην ἐκπιών
. . λέγε τι καὶ διατριβήν γε τῷ πότῳ
ποιῶμεν.

Athenaeus X p. 426 c: *Ἄλεξις δ' ἐν Τιτθῇ ἔτι σωφρονικώτερον κιρνάναι παραινεῖται Ἰδοὺ πάρεστιν οἶνος κτλ.* Vs. 1 post *ἰδοὺ* ABP inserunt *γάρ*, om. VL. Vs. 2 libri *Κρίτωνα πολὺ βέλτιον.* Correxit Dobraeus. Vs. 3 *ὑδαρῆν* ABP *ὑδαρὸν* VL *ὑδαρῆ* et *ὑδαρὴν* C et Eustath. ad Od. p. 1624 48. Vs. 4 ante *λέγε τι* Porsonus supplevit *κομψόν*, Dobr. *πιθανόν.*

II (3, 487) 222

Ὁ Κόρυδος οὗτος, ὁ τὰ γελοῖ' εἰθισμένος
λέγειν, Βλεπαῖος βούλετ' εἶναι. Β. νοῦν γ' ἔχων·
πλουτεῖ γὰρ ὁ Βλεπαῖος.

Athenaeus VI p. 241 c de Corydo parasito comicorum *χρήσεις* afferens: *Ἄλεξις — ἐν — Τιτθῇ Ὁ Κόρυδος οὗτος κτλ.* Vs. 2 *βούλετ' εἶναι* pro *εἶναι βούλεται* Schweighaeuserus.

III (3, 488) 223

Ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

Stobaeus Floril. CXVI 19 cum lemmate *Ἀλέξιδος Τιτθῆς*, ut pro *Τιθῆς* scripsit Gaisfordus.

IV (3, 488) 224

Antiatticista p. 85 14. *Βαυβαλίσαι: ἀντὶ τοῦ βαυκαλίσαι: Ἄλεξις Τιτθαῖς.*

ΤΟΚΙΣΤΗΣ Η ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

I (3, 488) 225

Μὴ παντελῶς αὐτῷ δίδου
ὑδαρῆ. κατανοεῖς; ἴσον ἴσῳ μικροῦ. καλῶς.
Β. ἡδύ γε τὸ πῶμα. ποδαπὸς ὁ Βρόμιος, Τρύφη;
ΤΡ. Θάσιος. Β. ὅμοιον. καὶ δίκαιον τοὺς ξένους
πίνειν ξενικόν, τοὺς δ' ἐγγενεῖς ἐπιχώριον.

Athenaeus X p. 431 a: *Ἄλεξις Τοκιστῇ ἢ Καταψευδομένῳ Μὴ παντελῶς κτλ.* Vs. 2 *ὑδαρῆ* Bas. L *ὑδαρῆν* V *ὑδαρην* A *ὑδαρὴν* BP. Vs. 3 libri *ποταπός.* P *ποταμός.* Dindorfius *ποδαπός.* *Τρύφη* pro *τρυφῇ* correxi iam olim ad Menandr. p. 154. Vs. 4 vulgo coniunctim *ὅμοιον καὶ δίκαιον* etc. Recte distinxit Dobraeus.

II (3, 489) 226

Εὐδαίμων ἐγώ, μὰ τὸν Δία
τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, οὐχ ὅτι

ἐν τοῖς γάμοισιν, ἄνδρες, εὐωχήσομαι,
ἀλλ' ὅτι διαρραγήσομ', ἂν θεὸς θέλῃ.
τούτου δέ μοι γένοιτο τοῦ θανάτου τυχεῖν.

Athenaeus VI p. 258 e: *Ἄλεξις δ' ἐν Καταψευδομένῳ λέγοντά τινα κόλακα τοιαῦτα παρεισάγων φησίν Εὐδαίμων ἐγώ κτλ.*

227 III (3, 489)

Ἀλλ' ἔγχεον
αὐτῷ Διός γε τήνδε σωτῆρος, θεῶν
θνητοῖς ἁπάντων χρησιμωτάτου πολύ.
Β. ὁ Ζεὺς ὁ σωτήρ, ἂν ἐγὼ διαρραγῶ,
οὐδέν μ' ὀνήσει. Α. πῖθι θαρρῶν.

Athenaeus XV p. 692 f de *πώματι Διὸς σωτῆρος* dicens: *Ἄλεξις δ' ἐν Τοκιστῇ ἢ Καταψευδομένῳ Ἀλλ' ἔγχεον κτλ.* Vs. 3 libri *χρησιμώτατον*, quod correxi. Vs. 5 vulgo *οὐδὲν μόνης εἰ.* Correxit Piersonus. Ib. *πῖθι* pro *πείθει* Canterus.

228 IV (3, 489)

Πάντως ἀναρίστητος οὐ δυνήσομαι
διαχαρτερῆσαι τηλικαύτην ἡμέραν.

Suidas vol. I p. 179. *Ἀνάριστος: μᾶλλον δὲ ἀναρίστητος. Ἀριστοφάνης Πολυΐδῳ Διὰ τῆς ἀγορᾶς τρέχων, ἀναρίστητος ὤν* (fr. 444). *Ἄλεξις Καταψευδομένῳ Πάντως κτλ.*

T P A Y M A T I A Σ

229 I (3, 490)

Τὸν γὰρ ὕστατον
τρέχων δίαυλον τοῦ βίου ζῆν βούλομαι.

Stobaeus Floril. CXIX 15 cum lemmate *Ἀλέξιδος ἐκ Τραυματίου.*

230 II (3, 490)

Τίς οὐχὶ φήσει τοὺς ἐρῶντας ζῆν μόνους;
εἰ δεῖ γε πρῶτον μὲν στρατευτικωτάτους
εἶναι, πονεῖν τε δυναμένους τοῖς σώμασιν
μάλιστα, προσεδρεύειν τ' ἀρίστους τῷ πόθῳ,
ποιητικούς, ἰταμούς, προθύμους, εὐπόρους
ἐν τοῖς ἀπόροις, βλέποντας ἀθλιωτάτους.

Athenaeus XIII p. 562 f: *ὁ δ' αὐτὸς οὗτος ποιητὴς καὶ περὶ τῶν ἐρώντων ἐν τῷ ἐπιγραφομένῳ Τραυματίᾳ φησὶν οὕτως Τίς οὐχὶ φήσει κτλ.* Alexidi hos versus vindicare conatus

sum Hist. crit. p. 519. Vs. 2 *οὓς δεῖ τὸ πρῶτον* L *ἔδει πρῶτον* PV *ἔδει γε πρῶτον* AB. Scripsi iam olim *εἰ δεῖ* pro *ἔδει*. Atque ita nunc etiam Dobraeus. Ibid. B *στρατικωτάτους*. Vs. 5 forsan *νοητικούς*. Vs. 6 Hermannus et Emperius *βλέποντας ἐν ἀλαωτάτοις*.

T P O Φ Ω N I O Σ

I (3, 490. 491) 231

Νῦν δ' ἵνα μὴ παντελῶς Βοιώτιοι
φαίνησθ' εἶναι τοῖς διασύρειν ὑμᾶς εἰθισμένοις,
ὡς ἀχίνητοι νῦν εἶναι βοᾶν καὶ πονεῖν μόνον
καὶ δειπνεῖν ἐπιστάμενοι διὰ τέλους τὴν νύχθ' ὅλην,
γυμνοῦθ' αὑτοὺς θᾶττον ἅπαντες.

Athenaeus X p. 417 e de Boeotiorum voracitate poetarum testimonia afferens: *Ἄλεξις Τροφωνίῳ Νῦν δ' ἵνα μὴ κτλ.* Vs. 3 Porsonus *ὡς ἀχίνητοι 'στὲ βοᾶν νυνὶ καὶ πονεῖν*. Magis placeret si scriptum esset *ὡς ἀνίκητοί τε βοᾶν ἐστε καὶ πονεῖν μόνον*. Vs. 4 *διὰ τέλους* B. Vulgo *διὰ τέλος*. Vs. 5 *γυμνοῦθ'* A *γυμνοῦσθ'* PVL.

II (3, 492) 232

Εἶθ' ὁ Μοσχίων
ὁ παραμασήτης ἐν βροτοῖς αὐδώμενος.

Athenaeus VI p. 242 c: *Μοσχίωνος δέ τινος παρασίτου μνημονεύων Ἄλεξις ἐν Τροφωνίῳ παραμασήτην αὐτὸν ἐν τούτοις καλεῖ Εἶθ' ὁ Μοσχίων κτλ.*

III (3, 492) 233

Antiatticista p. 110 15 (cf. Photius p. 364 8). *Ὀφθαλμὸν ἐπιβάλλειν: τὸ περιέργως θεᾶσθαι· Ἄλεξις Τροφωνίῳ.* Eadem Suidas.

T Y N Δ A P E Ω Σ

(3, 492) 234

Ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς·
κἀκεῖ γὰρ ἄν τις ἐπὶ τὸ δεῖπνον ἕνα καλῇ,
πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι, καὶ δέκα
ἅρματα συνωρίδες τε πεντεκαίδεκα.
τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν,
ὥστ' ἦν κράτιστον μηδὲ καλέσαι μηδένα.

Athenaeus XII p. 510 a: *ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς, κατὰ τὸν Ἀλέξιδος Τυνδάρεων, ἑταῖρε Τιμόκρατες. Κἀκεῖ γὰρ κτλ.* Priora *ἄνθρωπος — δοκεῖς* non Athenaei

verba esse, ut existimarunt interpretes, sed cum reliquis versibus coniungenda, monui Curis crit. p. 33 allato Eustathio ad Hom. p. 1148 32: *Ἄλεξις ἐν τῷ ἄνθρωπος εἶναί μοι δοκεῖς Κυρηναῖος κτλ.* Hinc petiit schol. Luciani vol. IV p. 253 ed. Iac.

Υ Π Ν Ο Σ

235 I (3, 493)

Οὐ θνητὸς οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινά
σύγκρασιν, ὥστε μήτ' ἐν ἀνθρώπου μέρει
μήτ' ἐν θεοῦ ζῆν, ἀλλὰ φύεσθαί τ' ἀεί
καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν,
ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν.
Β. ἀεὶ σὺ χαίρεις ὦ γύναι μ' αἰνίγμασιν.
Α. καὶ μὴν ἁπλᾶ γε καὶ σαφῆ λέγω μαθεῖν.
Β. τίς οὖν τοσαύτην παῖς ἔχων ἔσται φύσιν;
Α. ὕπνος, βροτείων, ὦ κόρη, παυστὴρ πόνων.

Athenaeus X p. 449 d: *καὶ Ἄλεξις δ' ἐν Ὕπνῳ τοιούτους γρίφους προβάλλει Οὐ θνητὸς κτλ.* Vs. 3 *θεοῖς* C et Eustathius ad Iliad. p. 1336 15. Vs. 6 *ἀεὶ* BC et Eustathius, *αἰεὶ* A. Qui omnes eam voculam cum praecedente *ὤν* coniungunt. Pro *ἀεὶ* sive *αἰεὶ* VL habent *παίζειν*, ex interpolatione Musuri. P neque *ἀεὶ* nec *παίζειν* habere annotavit Dindorfius. Locus fortasse ita restituendus, *ἀεὶ σὺ παίζεις ὦ γύναι μ' αἰνίγμασιν.* Valckenarius *παίζουσα χαίρεις ὦ γύναι μ' αἰνίγμασιν.*

236 II (3, 494)

Οὐδ' ἐν Τριβαλλοῖς ταῦτά γ' ἐστὶν ἔννομα,
οὗ φασι τὸν θύοντα τοῖς κεκλημένοις
δείξαντ' ἰδεῖν τὸ δεῖπνον, εἰς τὴν αὔριον
πωλεῖν ἀδείπνοις ἅπερ ἔθηκ' αὐτοῖς ἰδεῖν.

Athenaeus XV p. 671 d: *ἐπὶ τούτοις ὁ Οὐλπιανὸς δυσχεράνας ἀνεβόησε τὰ ἐξ Ὕπνου* (ita Schweighaeuserus pro Ὑπονοίας) *Ἀλέξιδος Οὐδ' ἐν Τριβαλλοῖς — αὐτοῖς ἰδεῖν. Τὰ αὐτὰ ἰαμβεῖα φέρεται καὶ παρ' Ἀντιφάνει ἐν Ὕπνῳ.* Vs. 4 malim *ἃ παρέθηκ' αὐτοῖς.*

237 III (3, 494)

Διὰ ταῦθ' ὁ πόρνος οὗτος οὐδὲ τῶν πράσων
ἕκάστοτ' ἐπιδειπνεῖ μεθ' ἡμῶν· τοῦτο δ' ἦν
ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φιλῶν.

Athenaeus XIII p. 572 c: *ὁ δὲ ὑμέτερος φιλοσοφομειρακίσκος τοιοῦτος οἷον Ἄλεξις ἢ Ἀντιφάνης ἐν Ὕπνῳ παράγει Διὰ ταῦθ' ὁ πόρνος κτλ.*

IV (3, 494) 238

Antiatticista p. 95 15. *Ἐμπειρικῶς: ἀντὶ τοῦ ἐμπείρως. Ἄλεξις Οἴνῳ.* Vbi *Ὑπνῳ* legendum esse dixi Hist. crit. p. 393.

ΥΠΟΒΟΛΙΜΑΙΟΣ

(3, 494. 495) 239

Ἐγὼ Πτολεμαίου τοῦ βασιλέως τέτταρα
χυτρίδι' ἀκράτου τῆς τ' ἀδελφῆς προσλαβών
τῆς τοῦ βασιλέως ταῦτ', ἀπνευστί τ' ἐκπιών
ὡς ἄν τις ἤδιστ' ἴσον ἴσῳ κεκραμένον,
καὶ τῆς ὁμονοίας, διὰ τί νῦν μὴ κωμάσω
ἄνευ λυχνούχου πρὸς τὸ τηλικοῦτο φῶς;

Athenaeus XI p. 502 b. *Χυτρῖδες: Ἄλεξις ἐν Ὑποβολιμαίῳ Ἐγὼ Πτολεμαίου κτλ.* Vs. 3 libri *ἔκπνευστ' ἐκπιών*, quod correctum ex X p. 431 b: *Ἄλεξις — Ὑποβολιμαίῳ Ἀπνευστί τ' ἐκπιὼν κτλ.* ubi BP habent *ἀπνευστί τε ἐκπιών.* Vulgo *τε* deest. Vs. 4 Porsonus *κεκραμένου.* Vs. 6 libri *λύχνου* et *τηλικοῦτον.* Correxit Porsonus.

ΦΑΙΔΡΟΣ

I (3, 495. 496) 240

Πορευομένῳ δ' ἐκ Πειραιῶς ὑπὸ τῶν κακῶν
καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι.
καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι
τὸν Ἔρωτα, συντομώτατον δ' εἰπεῖν, ὅσοι
τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας.
ἔστιν γὰρ οὔτε θῆλυς οὔτ' ἄρρην, πάλιν
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὔτ' ἀβέλτερος
οὔτ' αὖθις ἔμφρων, ἀλλὰ συννενησμένος
πανταχόθεν, ἑνὶ τύπῳ τε πόλλ' εἴδη φέρων.
ἡ τόλμα μὲν γὰρ ἀνδρός, ἡ δὲ δειλία
γυναικός, ἡ δ' ἄνοια μανίας, ὁ δὲ λόγος
φρονοῦντος, ἡ σφοδρότης δὲ θηρός, ὁ δὲ πόνος
ἀδάματος, ἡ φιλοτιμία δὲ δαίμονος.
καὶ ταῦτ' ἐγώ, μὰ τὴν Ἀθηνᾶν καὶ θεούς,
οὐκ οἶδ' ὅ τι ἐστίν, ἀλλ' ὅμως ἔχει γέ τι
τοιοῦτον, ἐγγύς τ' εἰμὶ τοὐνόματος.

Athenaeus XIII p. 562 a: *ὁ Πλούταρχος ἀπεμνημόνευσε τῶν ἐκ Φαίδρου Ἀλέξιδος Πορευομένῳ κτλ.* Hinc Eustathius ad Iliad. p. 988 14. Vs. 1 *πορευομένῳ* PVL *πορευομένων* AB. Vs. 4 *συντομώτερον* C et Eustathius. Ibidem *γ'* pro *δ'* VL.

Vs. 6 ante Dindorfium *ἄρσην*. Vs. 8 *συννενηγμένος* PVL *συνηνεγμένος* C epit. Hoesch. Eustath. *συννενημένος* Casaubonus. Scripsi *συννενησμένος*. Cfr. Lobeckium ad Soph. Ai. p. 318. Vs. 9 *ἐν* ante *ἑνὶ* inserunt PVL *τε* additum a Schweighaeusero. Vs. 16 *εγγυστ' εἰ μὴ* A *ἔγγυστ' εἰμὶ* B *ἔγγιστ' εἰ μὴ* VL. Ibid. libri *τοῦ ὀνόματος*. Dobraeus *που τοῦ πράγματος*, Bergkius *τοὐνόματος φράσαι*, Emperius *τοῦ νοήματος*.

241 II (3, 496)

Σχολῇ γε, νὴ τὸν ἥλιον, σχολῇ λέγεις.
Ἐπιχαρίδης ὁ μικρὸς ἐν πέντ' ἡμέραις
σφαῖραν ἐποίησε τὴν πατρῴαν οὐσίαν.
οὕτω συνεστρόγγυλεν ἰταμῶς καὶ ταχύ.

Athenaeus IV p. 165 d: *ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους, ἕνα μὲν οὖ μνημονεύει Ἄλεξις ἐν Κνιδίᾳ — ἐν δὲ Φαίδρῳ φησί Σχολῇ κτλ.* Vs. 2 forsan *ἐπεὶ Χαρίδης*, quod in suo epitomes exemplari habuisse videtur Eustathius p. 1554 2: *πέπαικταί τινι παλαιῷ εἰς ἄσωτον βραχυήλικα τό· Χαρίδης ὁ μικρὸς ἐν πέντ' ἡμέραις κτλ.* Vs. 4 *οὕτω* L *οὕτως* ABPV et Eustath. *συνεστρόγγυλεν* ABP et Eustath. *συνεστρόγγυλλεν* VL.

ΦΑΙΔΩΝ Η ΦΑΙΔΡΙΑΣ

242 (3, 497)

Ἀγορανομήσεις, ἂν θεοὶ θέλωσι, σύ,
ἵνα Καλλιμέδοντ' εἰς τοὔψον, εἰ φιλεῖς ἐμέ,
παύσῃς καταιγίζοντα δι' ὅλης ἡμέρας.
Β. ἔργον τυράννων, οὐκ ἀγορανόμων λέγεις.
μάχιμος γὰρ ἀνήρ, χρήσιμος δὲ τῇ πόλει.

Athenaeus VIII p. 340 b de Callimedontis gulositate comicorum *χρήσεις* apponens: *εἰς δὲ ὀψοφαγίαν ἐν μὲν Φαίδωνι ἢ Φαιδρίᾳ οὕτως Ἀγορανομήσεις κτλ.* Cfr. Fragm. 63.

ΦΑΡΜΑΚΟΠΩΛΗΣ Η ΚΡΑΤΕΥΑΣ

Vide supra in *Κρατεύας ἢ Φαρμακοπώλης*.

ΦΙΛΑΘΗΝΑΙΟΣ

243. 244 I II (3, 498)

Antiatticista p. 111 11. *Παρ' ἡμᾶς οἰκεῖ: ἀντὶ τοῦ παρ' ἡμῖν. Ἄλεξις Φιλαθηναίῳ.* Ibid. 112 3. *Παιδικόν: ἀντὶ τοῦ παιδαριῶδες. Ἄλεξις Φιλαθηναίῳ.*

ΦΙΛΕΤΑΙΡΟΣ

Vide supra in *Δημήτριος ἢ Φιλέταιρος.*

ΦΙΛΙΣΚΟΣ

(3, 498) 245

Ἄρτέον
τράπεζαν, ἀπονίψασθαι δοτέον, προσοιστέος
στέφανος, μύρον, σπονδή, λιβανωτός, ἐσχαρίς,
τράγημα δοτέον ἔτι, πλακοῦντος ἅπτέον.

Athenaeus XIV p. 642 f de secundarum mensarum deliciis agens: *Ἄλεξις Φιλίσκῳ Ἀρτέον κτλ.* Vs. 2 Porsonus *ἀπονίψαι.* Vs. 3 libri *ἔσχαρις.* Vs. 4 *τράγημα* Porsonus pro *τραγήματα.*

ΦΙΛΟΚΑΛΟΣ Η ΝΥΜΦΑΙ

(3, 499) 246

Κατάκεισο κἀκείνας κάλει.
συναγώγιμον ποιῶμεν. ἀλλ' εὖ οἶδ' ὅτι
κυμινοπρίστης ὁ τρόπος ἐστί σου πάλαι.

Athenaeus VIII p. 365 b: *καλοῦσι δέ τινα καὶ συναγώγιμα δεῖπνα, ὡς Ἄλεξις ἐν Φιλοκάλῳ ἢ Νύμφαις Κατάκεισο κτλ.*

ΦΙΛΟΤΡΑΓΩΙΔΟΣ

(3, 499) 247

Σοφοῦ γὰρ ἀνδρὸς τὰς τύχας ὀρθῶς φέρειν.

Stobaeus Floril. CVIII 52 cum lemmate *Ἀλέξιδος ἐκ Φιλοτραγῳδοῦ.* Pro *ὀρθῶς* Trinc. *εὖ.*

ΦΙΛΟΥΣΑ

I (3, 499) 248

Ἀφροδίσι' ἦγε ταῖς ἑταίραις ἡ πόλις·
ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις.
ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος
ἔστιν, νόμος τε τὰς ἑταίρας ἐνθάδε
μεθύειν μεθ' ἡμῶν.

Athenaeus XIII p. 574 b: *ὅτι δὲ καὶ Ἀφροδίσια ἴδια ἄγουσιν αὐτόθι* (Corinthi) *αἱ ἑταῖραι Ἄλεξις ἐν Φιλούσῃ φησίν Ἀφροδίσι' ἦγε κτλ.* Vs. 5 *μεθύειν* addidit Porsonus.

II (3, 500) 249

Ἀλλ' ἔγωγε τοῦ τὰ δέοντ' ἔχειν
τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γάρ
τέρψις μὲν οὐκ ἔνεστι πολυτέλεια δέ.

Athenaeus X p. 419 b: *τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, ὡς Ἄλεξις ἐν Φιλούσῃ παραδίδωσιν Ἀλλ' ἔγωγε κτλ.*

Φ P Y Ξ

250 I (3, 500)

Εἰ τοῦ μεθύσκεσθαι πρότερον τὸ κραιπαλᾶν
παρεγίνεθ' ἡμῖν, οὐδ' ἂν εἷς οἶνόν ποτε
προσίετο πλεῖον τοῦ μετρίου. νυνὶ δὲ τήν
τιμωρίαν οὐ προσδοκῶντες τῆς μέθης
ἥξειν προχείρως τοὺς ἀκράτους πίνομεν.

Athenaeus X p. 429 e: *καὶ Ἄλεξις ἐν τῇ τοῦ Φρυγίου διασκευῇ φησιν Εἰ τοῦ μεθύσκεσθαι κτλ.* Cfr. Clearchus apud Athen. XIV p. 613 b. Vs. 2 *παρεγίνεθ'* A *προσεγίνεθ'* C *παρεγένεθ'* PVL. Vs. 5 malim *τὰς ἀκράτους.*

251 II (3, 500)

Ἐγὼ δὲ κεστρεὺς νῆστις οἴκαδ' ἀποτρέχω.

Athenaeus VII p. 307 d: *ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησιν — Ἄλεξις Φρυγί Ἐγὼ δὲ κτλ.*

Φ Y Γ A Σ

252 (3, 501)

Ἀεί γ' ὁ Χαιρεφῶν τιν' εὑρίσκει τέχνην·
καὶ νῦν πορίζεταί γε τὰ δεῖπν' ἀσύμβολα.
ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος
ὁ τοῖς μαγείροις, εὐθὺς ἐξ ἑωθινοῦ
ἕστηκεν ἐλθών· κἂν ἴδῃ μισθούμενον
εἰς ἑστίασιν, τοῦ μαγείρου πυθόμενος
τὸν ἑστιῶντα, τῆς θύρας χασμωμένης
ἂν ἐπιλάβηται, πρῶτος εἰσελήλυθεν.

Athenaeus IV p. 164 f: *καὶ μετὰ τὰς καλὰς ταύτας ἀμουσολογίας περιέρχεται τὰς οἰκίας, ἐξετάζων ὅπου δεῖπνα λαμπρὰ παρασκευάζεται, ὑπὲρ τὸν Ἀθηναῖον Χαιρεφῶντα ἐκεῖνον, περὶ οὗ φησιν Ἄλεξις ἐν Φυγάδι Ἀεί γ' ὁ Χαιρεφῶν κτλ.* Vs. 2 *γε* fortasse delendum. Vs. 3 *ὅπου — ὁ τοῖς μαγείροις* affert iterum Athen. VI p. 229 b. Vs. 4 libri *εὐθέως*. Correxit Porsonus. Vs. 7 *τῶν ἐσθιόντων* pro *τὸν ἑστιῶντα* epit. Hoeschelii.

X O P H Γ I Σ

(3, 501)

253 *Ὅς τοῖς τετραδισταῖς μὲν παρέθηκεν ἐσθίειν*
πρώην λέκιθον καὶ μεμβράδας καὶ στέμφυλα.

Athenaeus VII p. 287 f: *καὶ Ἄλεξις δ' ἐν Χορηγίδι διὰ τοῦ μ εἴρηκεν* (*μεμβράδας*) *Ὅς τοῖς τετραδισταῖς κτλ.* Pro *ἐσθίειν*, quae Schweighaeuseri est correctio, libri *ἐσθίων*, quod Villebrunius in *ἑστιῶν* mutabat.

Ψ E Y Δ O M E N O Σ

I (3, 502)

254 *Τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γάρ*
δαπάνη πρόσεστιν, ἡδονὴ δ' οὐδ' ἡτισοῦν.

Athenaeus X p. 419 b: *τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, ὡς Ἄλεξις ἐν — Ψευδομένῳ Τὰ περιττὰ κτλ.* Ex Athenaeo petiit Eustathius p. 1413 47. Cfr. fragm. 249.

II (3, 502)

255 *Κόλακος δὲ βίος μικρὸν χρόνον ἀνθεῖ·*
οὐδεὶς γὰρ χαίρει πολιοκροτάφῳ παρασίτῳ.

Athenaeus VI p. 255 b: *Ἄλεξις γοῦν φησιν ἐν Ψευδομένῳ Κόλακος δὲ βίος κτλ.* Versu primo *κολάκων* C.

INCERTARVM FABVLARVM FRAGMENTA

I (3, 502. 503)

256 *Ἔλαθον γενόμενος οὗ τὸ πρᾶγμ' ἠβούλετο.*
κατὰ χειρὸς ἐδόθη· τὴν τράπεζαν ἧκ' ἔχων,
ἐφ' ἧς ἐπέκειτ' οὐ τυρὸς οὐδ' ἐλαῶν γένη,
οὐδὲ παρέχουσαι κνῖσαν ἡμῖν πλείονα
παροψίδες καὶ λῆρος, ἀλλὰ παρετέθη
ὑπερηφάνως ὄζουσα τῶν Ὡρῶν λοπάς,
τὸ τοῦ πόλου τοῦ παντὸς ἡμισφαίριον·
ἅπαντ' ἐνῆν τἀκεῖ γὰρ ἐν ταύτῃ καλά,
ἰχθῦς, ἔριφοι, διέτρεχε τούτων σκορπίος,
ὑπέφαινεν ὠῶν ἡμίτομα τοὺς ἀστέρας.
ἐπεβάλομεν τὰς χεῖρας. ὁ μὲν ἐμοὶ λαλιᾶν
ἅμα καὶ διανεύων ἠσχολεῖτο, πᾶς δ' ἀγὼν
ἐπ' ἐμὲ κατήντα. τὸ πέρας οὐκ ἀνῆκ' ἕως
τὴν λοπάδ' ὀρύττων ἀποδέδειχα κόσκινον.

Athenaeus II p. 60 a: *Ἄλεξις ὁ χαρίεις πρόπομα ὅλον παρατίθησι τοῖς διακρίνειν δυναμένοις Ἔλαθον γενόμενος*

οὗ τὸ κτλ. Partem loci affert etiam Eustathius II. p. 1348 extr. Vs. 3 *ἐλαῶν* penultima brevi etsi defendi potest, vereor tamen ne *ἐλῶν* scribendum sit, id quod coniecit etiam L. Dindorfius Thesauro Gr. L. v. *ἐλάα*. Vs. 4 ante Dindorfium *κνίσσα*. Pro *πλείονα* fortasse scribendum *πίονα*.

257. 259 II III (3, 503. 504)

Καὶ μὴν ἐνύπνιον οἴομαί γ' ἑωρακέναι
νικητικόν. Β. λέγ' αὐτό. Α. τὸν νοῦν πρόσεχε δή.
ἐν τῷ σταδίῳ τῶν ἀνταγωνιστῶν μέ τις
ἐδόκει στεφανοῦν γυμνὸς προσελθών . .
στεφάνῳ κυλιστῷ κοκκυμήλων, Ἡράκλεις,
πεπόνων . . .
Ἑόρακας πώποτε
ἤνυστρον ἐσκευασμένον . .
ἢ σπλῆν' ὀπτὸν μεμονθυλευμένον,
ἢ κοκκυμήλων σπυρίδα πεπόνων; . .
τοιοῦτ' ἔχει τὸ μέτωπον.

Athenaeus II p. 49 e de *κοκκυμήλοις* agens: *Ἄλεξις Καὶ μὴν — πεπόνων. πάλιν Ἑόρακας κτλ.* Vs. 1 *ἐνύπνιον* Schweighaeuserus. Vulgo *ἐν ὕπνῳ*. C *ἐν ὕπνοις*. Ib. ante Dindorfium *οἴομαι ὡρακέναι*. B *ἑωρακέναι*. Vs. 2 *νικητικὸν* C *νικητήριον* vulgo. Vs. 4 Casaubonus in fine addebat *ὡς ἐμέ*. Vs. 5 *κυλιστῷ* pro *κυλιστῇ* Casaubonus. *Ἡράκλεις* fortasse recte Schweighaeuserus alteri interlocutori tribuit. Tum *πεπόνων*, quod ex altero fragmento irrepsisse videtur, cum Dobraeo delendum videtur. Vs. 7 ante Dindorfium *ἑώρακας*. Vs. 11 libri *τοιοῦτον ἔχει*. Pro *μέτωπον* possis *πρόσωπον* ex Eustathio p. 211 15: *καὶ ἐν τῷ ἑώρακας πώποτε κοκκυμήλων σπυρίδα πεπόνων; τοιοῦτον ἔχει τὸ πρόσωπον*. Caeterum utrumque fragmentum fortasse ad Pancratiastam referendum est.

259—261 IV—VI (3, 505)

Λεσβίου δὲ πώματος
οὐκ ἔστιν ἄλλος οἶνος ἡδίων πιεῖν . . .
Θασίοις οἰναρίοις καὶ Λεσβίοις
τῆς ἡμέρας τὸ λοιπὸν ὑποβρέχει μέρος
καὶ νωγαλίζει . . .
Ἡδύς γ' ὁ Βρόμιος τὴν ἀτέλειαν Λεσβίου
ποιῶν τὸν οἶνον εἰσάγουσιν ἐνθάδε,
ὃς ἂν εἰς ἑτέραν ληφθῇ δ' ἀποστέλλων πόλιν
κἂν κύαθον, ἱερὰν ἐγγράφων τὴν οὐσίαν.

Athenaeus I p. 28 e: *Λεσβίου — πιεῖν, φησὶν Ἄλεξις. Θασίοις — νωγαλίζει. ὁ αὐτὸς Ἡδύς γ' ὁ Βρόμιος κτλ.* Vs. 1 ante Porsonum *Λεσβίου πόματος.* Vs. 3 vulgo *Θασίοις καὶ Λεσβίοις οἰναρίοις.* Correxit Porsonus, firmante quodammodo ipso Athenaeo II p. 47 d: *νωγαλεύματα ἐκάλουν τὰ ἡδέα βρώματα — Ἄλεξις Θασίοις οἰναρίοις τῆς ἡμέρας κτλ.* Vs. 6 *γ'* addidit Porsonus. Tum Dobraeus *Βρόμιός ἐστ' ἀτέλειαν.* Ibid. pro *Λεσβίου* Casaubonus *Λεσβίοις*, Porsonus *Λέσβιον.* Vs. 8 *ὃς δ' ἂν εἰς ἑτέραν ληφθῇ γ' ἀποστέλλων* VL. Neque aliter BCD, nisi quod *γ'* omittunt. Correxit Porsonus. Vs. 9 *ἐγγράφω* BCD *ἐγγράφον* V. Recepi ex L *ἐγγράφων*, quod ad *Βρόμιος* referendum est.

VII (3, 506) 262

Ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων
εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς,
ἐξὸν καλῶς· οὗ μήτε πράττεταί τέλος
μηδεὶς γὰρ ἡμᾶς, μήτε τιμὴν δόντα δεῖ
ἑτέρων λαβεῖν, φέρει δὲ τοῖς μὲν χρωμένοις
δόξης τίν' ὄγκον τοῖς δ' ὁρῶσιν ἡδονήν,
κόσμιον δὲ τῷ βίῳ, τὸ τοιοῦτον γέρας
τίς οὐκ ἂν αὐτῷ κτῷτο φάσκων νοῦν ἔχειν;

Athenaeus I p. 21 c: *Καλλίστρατός τε ὁ Ἀριστοφάνειος Ἀρίσταρχον ἐν συγγράμματι κακῶς εἴρηκεν ἐπὶ τῷ μὴ εὐρύθμως ἀμπέχεσθαι, φέροντός τι καὶ τοῦ τοιούτου πρὸς παιδείας ἐξέτασιν. διὸ καὶ Ἄλεξίς φησιν Ἓν γὰρ νομίζω κτλ.* Affert etiam Suidas v. *ἀναλαμβάνειν.* Cfr. Eustathius p. 1164 32. Vs. 4 Suidas *μηδὲν γὰρ ἡμᾶς.* Athen. *μηδεὶς ἡμᾶς.* Kusterus *μηδέν τις ἡμᾶς.* Ibid. *μήτε τιμὴν δόντα δεῖ ἑτέρων λαβεῖν* Dindorfius. Athen. *μήτε μὴν δόντας δι' ἑτέρων λαβεῖν.* Suidas *μήτε δι' ἑτέρων λαβεῖν τιμὴν δόντας.* Dobraeus *μήτε τιμὴν δόντα δεῖ ἑτέρῳ λαβεῖν.* Vs. 5 *χρωμένοις* Suid. Eustath. et C *χρωμένοισιν εὖ* VL. Vs. 8 Suidas *αὐτὸ κτῶτο.* L *αὐτῷ κτῷτο.* BC *κτῶτο αὑτῷ.* D *κτῶτο αὐτῷ.*

VIII (3, 507) 263

Τοὺς εὐτυχοῦντας ἐπιφανῶς
δεῖ ζῆν φανεράν τε τὴν δόσιν τὴν τοῦ θεοῦ
ποιεῖν· ὁ γὰρ θεὸς δεδωκὼς τἀγαθά
ὧν μὲν πεπόρικεν οἴεται χάριν τινά
ἔχειν ἑαυτῷ· τοὺς ἀποκρυπτομένους δὲ καί
πράττειν μετρίως φάσκοντας, ἀχαρίστους ὁρῶν

ἀνελευθέρως τε ζῶντας ἐπὶ καιροῦ τινος
λαβὼν ἀφείλεθ' ὅσα δεδωκὼς ἦν πάλαι.

Athenaeus II p. 40 c: *φησὶν Ἄλεξις Τοὺς εὐτυχοῦντας κτλ.* Vs. 3 *θεὸς* addidit Hermannus. Vs. 4 *ὧν μὲν* Hermannus. *τῶν μὲν ὧν* CD *τὸν μὲν ὧν* VL *ὧν εὖ* Dobraeus. *πεπόρικεν* scripsi pro *πεποίηκεν*. Vs. 6 libri *μετρίως πράττειν*. Transposuit Casaubonus. Ibid. libri *ἀχρήστους*, quod correxit Elmsleius. Vs. 7 *ἀνελευθέρως* Basil. et L *ἀνελευθέρος* V *ἀνελευθέρους* BC. Vs 8 pro *πάλαι* forsan *πάλιν*.

264 IX (3, 507)

Μὴ ὥρασι μέν
τὰ τῶν κακῶν ἴκοιθ' ὁ τοὺς θέρμους φαγών,
ἐν τῷ προθύρῳ τὰ λέμμαθ' ὅτιὴ κατέλιπεν,
ἀλλ' οὐκ ἀπεπνίγη καταφαγών· μάλιστα δέ
Κλεαίνετος μὲν οὐκ ἐδήδοκ' οἶδ' ὅτι
ὁ τραγικὸς αὐτούς· οὐδενὸς γὰρ πώποτε
ἀπέβαλεν ὀσπρίου λέπος·
οὕτως ἐκεῖνός ἐστιν εὐχερὴς ἀνήρ.

Athenaeus II p. 55 c: *Θέρμοι. Μὴ ὥρασι μετὰ τῶν κακῶν κτλ.* Alexidis versus esse constat ex Polluce VI 45: *θέρμους δὲ Ἄλεξις εἴρηκε· Τοὺς θέρμους φαγὼν ἐπὶ τῶν προθύρων τὰ λέμμαθ' ὅτιὴ κατέλιπεν.* Vs. 1 et 2 *ὥρασι* pro *ὥραισι* Dindorfius. *μὲν τὰ* Hermannus Praef. Epit. d. m. p. XIX pro *μετά*. Vs. 4 Bergkius *ἄν οὐκ*. Vs. 6 *πώποτ'* C. Vs. 7 *ἀπέβαλεν* ex BC Dindorfius pro *ἀπέβαλλεν*. Post *λέπος* Casaubonus addit *Κλεαίνετος*.

265 X (3, 508. 509)

Ἄν πιττοκοπούμενόν τιν' ἢ ξυρούμενον
ὁρᾷς τούτων ἔχει τι θάτερον·
ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται
καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία,
ἢ πλουσιακὸν τούτῳ προσπίπτει κακόν.
τί γὰρ αἱ τρίχες λυποῦσιν ἡμᾶς, πρὸς θεῶν,
δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται,
εἰ μή τι ταύταις ἀντιπράττεσθ' ὑπονοεῖς;

Chrysippus Athenaei XIII p. 565 a de more barbam tondendi: *διὸ καὶ Ἄλεξις ἔφη που Ἄν πιττοκοπούμενον κτλ.* Vs. 1 addidi *ἄν*. Vs. 2 *τούτων* CPVL *τούτου* ex A affert Schweighaeuserus. Versum Iacobsius ita supplevit: *ὁρᾷς, σὺ τοῦτον*

ἴσθ' ἔχοντα θάτερον. Alia lusit Dobraeus. Vs. 5 *τούτῳ* L *τοῦτον* PV. Dindorfius *τοιοῦτο*, quod non sufficit. Ipse olim *τούτῳ τι*, desidiam et mollitiem intellegens, quae beatorum vitia esse dicit. Ib. *προσπίπτει* ABC *προσπίπτειν* PVL. Vs. 6 et 7 attulit Eustathius ad Odyss. p. 1910 3. Respicere videtur Clemens Alex. Paed. 3 p. 290 P. *τὰς δὲ τοῦ γενείου (τρίχας) μηδέν τι παραλυπούσας οὐκ ἐνοχλητέον.* Vs. 6 *ἡμᾶς* B et Eustathius, *ὑμᾶς* PVL. Vs. 8 Iacobsius *ἐπινοεῖς.*

XI (3, 509. 510) 266

Ἐπὰν ἰδιώτην ἄνδρα μονοσιτοῦντ' ἴδῃς,
ἢ μὴ ποθοῦντ' ᾠδὰς ποιητὴν καὶ μέλη,
τὸν μὲν ἰδιώτην τοῦ βίου τὸν ἥμισυν
ἀπολωλεκέναι νόμιζε, τὸν δὲ τῆς τέχνης
τὴν ἡμίσειαν, ζῶσι δ' ἀμφότεροι μόλις.

Athenaeus II p. 47 c: *ὁ δὲ μονοσιτῶν κεῖται παρ' Ἀλέξιδι Ἐπὰν ἰδιώτην κτλ.* Vs. 2 *ποιητὴν* Casaubonus. *ποιητικάς* VL *ποιητὰς* CD et libri Levinii apud Casaubonum. Pro *ποθοῦντα* fortasse *ποιοῦντα* scribendum.

XII (3, 510) 267

Τὴν ὄψιν εἶπω τοῦ ποτηρίου γέ σοι
πρώτιστον; ἦν γὰρ στρογγύλον, μικρὸν πάνυ,
παλαιόν, ὥτα συντεθλασμένον σφόδρα,
ἔχον κύκλῳ τὰ γράμματ'. Β. ἆρά γ' ἕνδεκα
χρυσᾶ Διὸς σωτῆρος; Α. οὐκ ἄλλου μὲν οὖν.

Athenaeus XI p. 784 d: *Γραμματικὸν ἔκπωμα: τὸ γράμματα ἔχον ἐγκεχαραγμένα. Ἄλεξις Τὴν ὄψιν εἶπω κτλ.* Vs. 1 *σοὶ* Schweighaeuserus. Libri *σου*. Vs. 4 libri *κυκλῷ τε*. Scripsi *κύκλῳ τὰ* ex Eustathio p. 1960 13: *γραμματικὸν ἔκπωμα, ἤγουν, ὡς Ἄλεξις ἂν εἴποι, τὸ ἔχον κύκλῳ τὰ γράμματα.* Ceterum hoc fragmentum fortasse ad *Ἵππέα* revocandum, cuius fabulae vide Fragm. II et III.

XIII (3, 511) 268

Ὡς ἔστι κατακεῖσθαι πρὸ δείπνου συμφορά·
οὔτε γὰρ ὕπνος δήπουθεν οὐδέν' ἂν λάβοι,
οὔθ' ἂν λέγῃ τις οὐδαμῶς μάθοιμεν ἄν·
ὁ νοῦς γάρ ἐστι τῆς τραπέζης πλησίον.

Athenaeus I p. 23 c: *κατακεῖσθαι δὲ λέγεται καὶ κατακλίσθαι, ὡς ἐν Συμποσίοις Ξενοφῶν καὶ Πλάτων. Ἄλεξις Ὡς ἔστι κτλ.* Vs. 3 *οὔθ' ἂν* pro *οὐδ' ἂν* Iacobsius.

269 XIV (3, 512)

Ἄτοπόν γε τὸν μὲν οἶνον εὐδοκιμεῖν σφόδρα
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δέ
μὴ τὸν παλαιόν, ἀλλὰ τὸν νεώτερον.

Athenaeus I p. 25 f: *Εὔβουλος δέ φησιν Ἄτοπόν γε — νεώτερον. τὸ αὐτὸ δὲ καὶ Ἄλεξις σχεδὸν ἀπαραλλάκτως, τοῦ σφόδρα μόνου κειμένου ἀντὶ τοῦ ἀεί.* Scil. vs. 1, ubi Eubulus scripserat (fr. 120) *εὐδοκιμεῖν ἀεί.* Apud Eustathium Od. p. 1422 48 neque *ἀεὶ* neque *σφόδρα* legitur. Ex eodem recepi *ἄτοπόν γε*, pro quo Athenaeus *ἄτοπον δέ.* Ita enim BCD *ἄτοπόν τε* VL.

270 XV (3, 512)

Οὐδέν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν·
ὁ μὲν ἀπογηράσκων ἀηδὴς γίνεται,
οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν·
ὁ μὲν δάκνει γάρ, ὁ δ' ἱλαροὺς ἡμᾶς ποιεῖ.

Athenaeus II p. 36 f: *ἀλλαχοῦ δὲ τοὐναντίον φησὶν Ἄλεξις Οὐδέν γ' ἔοικ' ἄνθρωπος κτλ.* Hinc sumpsit Eustathius ad Hom. p. 1449 23. Vs. 1 *γ'* add. VL om. BCDE et Eustathius. Vs. 2 libri *ὁ μὲν γὰρ ἀπογηράσκων*, quod correxi.

271. 272 XVI XVII (3, 512)

Οὐδεὶς φιλοπότης ἐστὶν ἄνθρωπος κακός·
ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ.

Athenaeus II p. 39 b: *Οὐδεὶς — βίῳ, φησὶν Ἄλεξις. καὶ ὅτι οἶνος φιλολόγους πάντας ποιεῖ τοὺς πλεῖον πίνοντας αὐτόν.* Vs. 1 libri *ἄνθρωπός ἐστι.* Transposuit Casaubonus. Alterum fragmentum non uno modo ad iambicos versus revocare licet.

273 XVIII (3, 513)

Πίννας, κάραβον,
βολβούς, κοχλίας, κήρυκας, ᾠά, ἀκροκώλια,
τοσαῦτα· τούτων ἄν τίς εὕροι φάρμακα
ἐρῶντι ἑταίρας ἕτερα χρησιμώτερα;

Athenaeus II p. 63 e: *Ἄλεξις ἐμφανίζων τὴν τῶν βολβῶν πρὸς τὰ ἀφροδίσια δύναμίν φησι Πίννας κτλ.* Locum ex Pamphila ductum esse suspicabatur Hemsterhusius propter fragmentum eius fabulae I. Vs. 3 malim *τοιαῦτα.* Ib. *ἄν τίς*

Coraes, vulgo *ἄν τις*. *εἴρη* B et correctus C. Vs. 4 *ἐρῶν τι* BCD *ἐρῶνϑ'* VL. Forsan *ἐρῶν γ'*.

XIX (3, 513) 274

Οὗτοσὶ δέ σοι
τοῦ λευκοτάτου πάντων ἐλαίου Σαμιακοῦ
ἔστιν μετρητής.

Athenaeus II p. 66 f: *Σαμιακοῦ ἐλαίου μνημονεύει Ἀντιφάνης ἢ Ἄλεξις Οὗτοσὶ δέ σοι κτλ.* Cf. Antiphan. inc. fab. XIX.

XX (3, 514) 275

Κοτύλας τέτταρας
ἀναγκάσας μεστὰς ἔμ' αὐτόϑεν σπάσαι
ὄξους Δεκελικοῦ δι' ἀγορᾶς μέσης ἄγεις.

Athenaeus II p. 67 e: *ἐϑαυμάζετο δὲ καὶ τὸ Δεκελικὸν ὄξος. Ἄλεξις Κοτύλας τέτταρας κτλ.* Libri *τέτταρας κοτύλας ἀναγκάσας με μεστὰς αὐτοῦ σπάσαι.* Correxit Brunckius. At fortasse locus in hunc modum constituendus est: *τέτταρας | κοτύλας ἀναγκάσας με μεστὰς αὖ σπάσαι.* Quamquam pro *αὖ* aliud quid requiro. Vs. 3 *δεκελικοῦ* BCD *δεκελειικοῦ* VL.

XXI (3, 514) 276

Οὐδὲ μεϑύω τὴν φρόνησιν, ἀλλὰ τὸ τοιοῦτον μόνον,
τὸ διορίζεσϑαι βεβαίως τῷ στόματι τὰ γράμματα.

Athenaeus II p. 40 c: *οὐ μεϑύω — γράμματα, φησὶν Ἄλεξις.* Vs. 1 *οὐδὲ* Schweighaeuserus. Libri *οὐ*. Dindorfius *οἰχί*. Casaubonus *τοσοῦτον*. Versu altero malim *διορίζεσϑ' οὐ βεβαίως*, vel *διορίζεσϑαι ἀβεβαίως*, id ut per crasin coalescat.

XXII (3, 515) 277

Ἐχϑὲς ὑπέπινες, εἶτα νυνὶ κραιπαλᾷς.
κατανύστασον· παύσει γάρ. εἶτά σοι δότω
ῥάφανόν τις ἑφϑήν.

Athenaeus I p. 34 d de brassica ebrietatis remedio agens: *Ἄλεξις Ἐχϑὲς ὑπέπινες κτλ.*

XXIII (3, 515) 278

Οἶνος ξενικὸς παρῆν· ὁ γὰρ Κορίνϑιος
βασανισμός ἐστι.

Athenaeus I p. 30 f: *Κορινϑίου οἴνου Ἄλεξις μνημονεύει ὡς σκληροῦ Οἶνος ξενικὸς κτλ.* Hinc sumpsit Eustathius p. 953 33.

279 XXIV (3, 515)

Φιλοτησίαν σοι τήνδ' ἐγώ
ἰδίᾳ τε καὶ κοινῇ κύλικα προπίομαι.

Athenaeus XI p. 502 b: *Φιλοτησία: κύλιξ τις, ἣν κατὰ φιλίαν προὔπινον, ὥς φησι Πάμφιλος. — Ἄλεξις Φιλοτησίαν κτλ.* Respexit ad hunc locum Photius p. 649 9 et Suidas s. v. *φιλοτησία.* item cod. D Harp. p. 181. Vs. 2 libri *τὴν κύλικα.* Delevit articulum Iacobsius. Ib. ante Schweighaeuserum *προπίνομεν.*

280 XXV (3, 516)

Ἀφ' ὧν γένοιτ' ἂν συντόμως
ἀριστόδειπνον.

Athenaeus II p. 47 e: *Ἀριστόδειπνον εἶπεν Ἄλεξις Ἀφ' ὧν κτλ.* Pro *συντόμως* Schweighaeusero in C esse videtur *σύντομον.*

281 XXVI (3, 516)

Μετὰ ταῦτ' ἀναπεσεῖν
ἐκέλευον αὐτὴν παρ' ἐμέ.

Athenaeus I p. 23 e de *ἀναπίπτειν*, accumbere, exempla afferens: *Ἄλεξις Μετὰ ταῦτ' ἀναπεσεῖν κτλ.*

282 XXVII (3, 516)

Πολὺν πιὼν Εὐβοϊκὸν οἶνον.

Athenaeus I p. 30 f: *Κορινθίου οἴνου Ἄλεξις μνημονεύει ὡς σκληροῦ — καὶ Εὐβοϊκοῦ δέ Πολὺν πιὼν Εὐβοϊκὸν οἶνον.*

283 XXVIII (3, 516)

Athenaeus I p. 18 c: *Ἥψηται δὲ καὶ ἡ τῶν ὀψοποιῶν περιεργία καὶ ἡ τῶν μυρεψῶν, ὥστ' οὐδ' ἂν κολυμβᾶν εἰς κολυμβήθραν μύρου ἀρκεῖσθαί τις ἂν δύναιτο, φησὶν Ἄλεξις.* Hinc Eustathius p. 1842 20. Alexis fortasse scripserat: *Οὐδ' ἂν κολυμβῶν εἰς κολυμβήθραν μύρου | δύναιτ' ἂν ἀρκεῖσθαι.*

284 XXIX (3, 517)

Athenaeus XV p. 700 e: *Αἰσχύλος ἐν Ἀγαμέμνονι μέμνηται τοῦ πανοῦ. [καὶ Εὐριπίδης] ἐν Ἴωνι. ἑλει . . . . . πρὸ ἡμῶν κ . . . . ξυλο[λυχνοῦ]χον. οὗ μνη[μονεύει Ἄλεξις] ἐν Εἰσοικιζ[ομένῳ]· ὁ δὲ ξυλο[λυχνοῦχος] . . .* Ita enim haec redintegranda videntur. Epitome: *ξυλολυχνούχου δὲ μέμνηται Ἄλεξις.* Cfr. Eustath. p. 1571 20. Euripidis locus est in Ione vs. 199. Cf. supra p. 704 ad fr. 66.

XXX (3, 517) 285

Τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις
θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος,
ἔστιν μεγίστη, δευτέρα Σάρδώ, τρίτη
Κύρνος, τετάρτη δ' ἡ Διὸς Κρήτη τροφός,
Εὔβοια πέμπτη στενοφυής, ἕκτη Κύπρος,
Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦσ' ἔχει.

Schol. Platonis Bekk. p. 392: *ἰστέον δὲ ὅτι Ἄλεξις ὁ κωμικός φησι Τῶν ἑπτὰ νήσων κτλ.* **Servavit etiam Stephanus apud Constantinum Porphyrog. Them. II 10 et e Stephano, ut videtur, omisso auctoris nomine Eustathius ad Dionys. 568. Vs. 1 Eustathius** *ἔδειξεν* **pro** *δέδειχεν*, **vs. 3** *πρώτη* **pro** *ἔστιν*, **et vs. 6** *ἐσχάτην* **pro** *ἑβδόμην.*

XXXI (3, 518) 286

Τὰς ἡδονὰς δεῖ συλλέγειν τὸν σώφρονα.
τρεῖς δ' εἰσὶν αἵγε τὴν δύναμιν κεκτημέναι
τὴν ὡς ἀληθῶς συντελοῦσαν τῷ βίῳ,
τὸ πιεῖν, τὸ φαγεῖν, τὸ τῆς Ἀφροδίτης τυγχάνειν.
τὰ δ' ἄλλα προσθήκας ἅπαντα χρὴ καλεῖν.

Plutarchus de aud. poet. p. 21 d: *οἷον τοῦ Ἀλέξιδος κιθαρῳδοῦντος ἐνίους ὅταν λέγῃ Τὰς ἡδονὰς — χρὴ καλεῖν, ὑπομνηστέον, ὅτι Σωκράτης τοὐναντίον ἔλεγε.* **Idem de virt. mor. p. 445 f duos postremos versus omisso auctoris nomine affert. Ibi vs. 4 scribitur** *τὸ φαγεῖν τὸ πιεῖν*, **et vs. 5** *ἅπαντ' ἐγὼ καλῶ.*

XXXII (3, 518) 287

Pseudo-Plutarchus de nobilit. p. 618 a: *τί οὖν Ἀλέξιδος ἀναιδέστερον, ὃς τῆς στρατηγίας τὴν γεωργίαν προτιμῶν οὐκ ἐν νῷ εἶχεν ὅσον τοῦ τῶν κεκτημένων τὸ δουλωτικὸν πρᾶγμα διαφερόμενον τυγχάνει.*

XXXIII (3, 518) 288

Ὦ δέσποθ' ὑγίαιν'. ὡς χρόνιος ἐλήλυθας.

Lucianus pro lapsu in salutando p. 732: *πολὺ δ' ἂν καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ εὕροις τὸ ὑγιαίνειν πρῶτον εὐθὺς λεγόμενον· τὸ μὲν γὰρ "οὔλέ τε καὶ μάλα χαῖρε" σαφῶς προτεταγμένον τοῦ χαίρειν τὸ ὑγιαίνειν ἔχει. ὁ δὲ Ἄλεξις Ὦ δέσποθ' ὑγίαιν'. ὡς χρόνιος ἐλήλυθας.*

XXXIV (3, 519) 289

Τίς δῆθ' ὑγιαίνων νοῦν τ' ἔχων τολμᾷ ποτε
γαμεῖν, διαπραξάμενος ἥδιον βίον;

εἶτ᾽ οὐχὶ κρεῖττόν ἐστι τῷ γ᾽ ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον ἢ γυναῖκ᾽ ἔχειν;
πολλῷ γε· τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα.

Stobaeus Floril. LXVIII 2. Vs. 2 cod. B habet *ἥδιστον*. Hermannus *διαπραξάμενός τιν᾽ ἡδίω βίον*; quod non sufficit. Vs. 4 et 5 libri *ἢ γυναῖκ᾽ ἔχειν, πτωχῷ γε*; quod correxi. In fine versus cod. A pro *ἐᾷ* habet *ἐᾶν*. Vs. 8 Dobraeus *μόνοι*. Vs. 9 *τὰς* addidit Gaisfordus.

290 XXXV (3, 519. 520)

Οὐκ ἠξίωσα καταλιπεῖν τὴν μητέρα,
πρώτην δὲ σώζειν· τοῖς γὰρ ὀρθῶς εἰδόσιν
τὰ θεῖα μεῖζον μητρὸς οὐκ ἔστιν ποτέ.
ὅθεν ὁ πρῶτος οὐκ ἀπαιδεύτως ἔχων
ἱδρύσαθ᾽ ἱερὸν μητρός, οὐ δείξας σαφῶς
ποίας, ἐάσας δ᾽ ὑπονοεῖν εἰς τοὔνομα.

Stobaeus Floril. LXXIX 13. Vs. 1 *ἠξίωσ* (super *ω* scripto *o*) A. Vs. 3 legebatur *μείζω*. Correxi *μεῖζον*, idque ipsum habet B. *τὰ θεῖα* pendet ab *εἰδόσιν*. Vs. 4 Hermannus *ὅθεν ὁ Προμηθεύς*.

291 XXXVI (3, 520)

Ὅστις ἥδεται γὰρ ἐσθίων
ὁσημέραι, δεῖ καὶ ποιεῖν τῶν σιτίων
ἐπάξιόν τι, μηδὲ περινοστεῖν σχολήν
ἄγοντα, τῷ ζῆν πολεμιώτατον κακόν.

Stobaeus Floril. XXX 8. Vs. 2 libri *ἀεὶ* pro *δεῖ*, quod reponendum vidit Porsonus. Vs. 3 *τι* a Gesnero omissum habent N et Trinc. Ib. ante Porsonum *μηδὲν περινοστεῖν δὲ σχολήν*.

292 XXXVII (3, 520)

Τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ἥστατον τίθει·
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα.
τὰ δ᾽ ἄλλ᾽ ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

Servavit Stobaeus Floril. XCV 8.

293 XXXVIII (3, 520)

Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.

Stobaeus Floril. LXIII 13 et Arsenius Ion. p. 101. Qui hos proxime sequuntur apud Stobaeum quinque versus, vulgo cum Alexidis fragmento coniuncti, eos ab hoc separandos et cum proximo Menandri fragmento connectendos esse vidit Tyrwhittus apud Gaisfordum.

XXXIX (3, 521) 294

Οὐκ ἔστ' ἀναισχυντότερον οὐδὲν θηρίον
εἰσορᾶν γυναικός· ἀπ' ἐμαυτῆς ἐγὼ τεκμαίρομαι.

Stobaeus Floril. LXXIII 39. Vs. 2 *εἰσορᾶν* addidi ex cod. A et Voss.

XL (3, 521) 295

Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα,
οὐδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

Stobaeus Floril. LXXIII 42. Eosdem versus, quos Alexidis nomine praefixo exhibet Grotius Tit. LXXI p. 311, idem Tit. LXXIV p. 321 ex fide cod. Paris. affert ex Euripidis Danae. Ibid. vs. 2 scriptum est *οὔτ' ἄλλο.*

XLI (3, 521) 296

Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

Stobaeus Floril. XCIII 1, ubi ex A hoc lemma enotatum est: *Ἀλέξιδος, οἱ δὲ Μενάνδρου.* Trincavellus *Alexidis*, Gesnerus *Alexidis Antiphanis* et *Menandri* nomina praescripta habet.

XLII (3, 521) 297

Κἂν εὐτυχῇ τις, ὡς ἔοικε, προσδοκᾶν
ἀεί τι δεῖ, καὶ μή τι πιστεύειν τύχῃ.

Stobaeus Floril. CV 27 et Arsenius Ion. p. 102. Vs. 2 *δὴ* pro *δεῖ* cod. A.

XLIII (3, 522) 298

Οὐκ ἔσθ' ὅπως ἔχουσιν αἱ τύχαι φρένας·
οὐδεὶς γὰρ ἂν τοιοῦτος ἠτύχει ποτέ.

Stobaeus Floril. CVII 4 et Arsenius Ion. p. 102. Vs. 2 *ἄν* omittunt Voss. et Trinc.

XLIV (3, 522) 299

Φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην.

Stobaeus Floril. VI 24. Idem versus inter Menandri monost. 532.

XLV (3, 522) 300

Λύπη μανίας κοινωνίαν ἔχει τινά.

Stobaeus Floril. XCIX 9. Similem Antiphanis versum vide in huius fragmentis fab. inc. LXIV.

301 XLVI (3, 522)

Τῶν μετρίων αἱ μείζονες
λῦπαι ποιοῦσι τῶν φρενῶν μετάστασιν.

Stobaeus Floril. XCIX 28 et Arsenius Ion. p. 102, qui pro *τῶν φρενῶν* habet *τοῦ φρονεῖν*.

302 XLVII (3, 522)

Ὦ παῖ, μέγιστος ἔρανός ἐστί μοι τὸ σέ
θρέψαι κατὰ τρόπον· ὃν γὰρ αὐτὸς ἀπέλαβον
παρὰ τοῦ πατρός, δεῖ τοῦτον ἀποδοῦναί με σοί.

Appendix Flor. ad Gaisfordii Stobaeum IV p. 401 Lips.

303–307 XLVIII—LII (3, 522. 523)

Pollux II 14: *Ὑπερίδης δὲ καὶ γηροβοσκεῖν εἴρηκε. καὶ Ἄλεξις γηροβοσκίαν εἶπε.* Ibid. 23: *Ἀττικοὶ δὲ οὔλας λέγουσι τὰς τρίχας. οὐλοκόμος μέντοι εἴρηται παρ᾽ Ἀλέξιδι καὶ Φερεκράτει* (218). Photius, *Οὐλοκόμος: Ἄλεξις.* Ib. 64: *δακρυρροοῦντας δὲ Ἄλεξις.* Ibid. 112: *ἀπὸ δὲ τῶν ἄλλων οὐκ ἔστιν εὑρεῖν τὰ πράγματα πλὴν τὴν βαρυφωνίαν παρ᾽ Ἀλέξιδι.* Ibid. 149: *ὀξύχειρ γὰρ καὶ ὀξυχειρία τὸ μὲν παρὰ Μενάνδρῳ εἴρηται, τὸ δὲ παρ᾽ Ἀλέξιδι.*

308–310 LIII—LV (3, 523)

Pollux III 42: *καὶ διεπαρθένευσε καὶ διαπεπαρθενευκότα, τὸ μὲν πρότερον Διοκλῆς τὸ δὲ δεύτερον Ἄλεξις οἱ κωμικοί.* Idem IV 182 de instrumentis medicis disserens: *καὶ λεκάνη, ἧς τὸν πυθμένα Ἄλεξις πτερνίδα καλεῖ.* Idem VI 104: *νάρδον Βαβυλωνιακήν, ὡς Ἄλεξις.*

311–315 LVI—LX (3, 523. 524)

Pollux VI 168: *φίλερις, Ἄλεξις δὲ καὶ φιλεριστὴν εἶπε.* MS Seberi *φιλέριστον*, cod. Iungerm. *φιλερίστην*. Ibid. paucis interiectis, *φιλοθεάμων ὃν καὶ φιλοθεωρὸν Ἄλεξις εἶπε.* Idem VII 35: *ὁ δὲ ποικιλτὴς ὠνόμασται παρὰ Ἀλέξιδος ποικιλεύς.* Ibid. 113: *πρίων, πρῖστις, ἡ καλουμένη ῥίνη. καὶ ῥίνη δὲ ὑπὸ Ξενοφῶντος εἴρηται. ἐν δὲ τοῖς ἔργοις αὐτοῦ καὶ τὰ Ἀλέξιδος ἂν θείης.* Verba Alexidis excidisse vidit Iungermannus. Ibid. 161: *χεραμοπῶλαι, χεραμοπωλεῖον, ὡς Δείναρχος. τὸ ῥῆμα χεραμοπωλεῖν Ἄλεξις.*

316 LXI (3, 524)

Photius p. 299 11. *Νήστης: Σικελικὴ θεός. Ἄλεξις.* Scribendum *Νῆστις*.

LXII (3, 524) 317

Τὸ παναρμόνιον τὸ καινὸν ἔντεινον τεχνῶν.

Photius p. 388 26. *Παναρμόνιον: ὄργανον μουσικόν. Ἄλεξις· Ἐν ᾧ τὸ παναρμόνιον τὸ καινὸν ἔντεινον τεχνῶν.* In verbis *ἐν ᾧ* fortasse fabulae nomen latet, v. c. *Λίνῳ*, quod *ΛΙΝΩΙ* scriptum proclivi errore abiit in *ενω*. Nisi malis *Ἄλεξις ἐν τῷ Τὸ παναρμόνιον κτλ.* Pro *τεχνῶν* fortasse *Τέχνων* scribendum; *ἐντείνων, τέκνον* Maur. Schmidt de dithyr. p. 260.

LXIII—LXVII (3, 524. 525) 318–322

Photius p. 430 23. *Πίσον: τὸ ὄσπριον. Ἄλεξις.* Idem p. 525 11. *Σκυθαίνας: Σκυθίδας. Ἄλεξις.* Idem p. 532 9. *Τίνι σπεύδεις: ἀντὶ τοῦ τίνι σπουδάζεις· οὕτως καὶ Ἄλεξις.* Eadem Suidas s. v. *σπουδάζει.* Idem p. 540 7. *Στόλον: τὰ πλοῖα. Ἄλεξις.* Idem p. 656 19. *Ψυχικός: σαρκικός. σημαίνει δὲ καὶ τὸν ἀνδρειόθυμον. οὕτως Ἄλεξις.* Eadem Suidas s. v. *ψυχικός.* Praeterea malim *ψυχικός: ὡς σαρκικός.*

LXVIII (3, 525) 323

Suidas, *Ἐπιλησμότατον: ἰδίως ἐπιλησμονέστατον. Ἄλεξις δέ ἐπιλησμόνη.* Eadem schol. Aristoph. Nub. 790. Cfr. Cratini fragm. 422.

LXIX—LXXI (3, 525) 324–326

Anecdota Crameri Ox. I p. 224: *ὄνομα παρώνυμον ἀπὸ τῶν εἰς ος εἰς ις θηλυκὸν ὀξύτονον . . . φορμὸς φορμὶς ἰσχάδιον παρ' Ἀλέξιδι.* Lege *φορμὶς ἰσχάδων.* Thomas Mag. p. 290 5: *Παλαιστρικὸς Ἄλεξις εἶπε· σὺ δὲ παλαιστικός.* Phrynichus Epit. p. 339: *Ἄλεξις κέχρηται τῷ καμμύειν ἠμελημένως ἐσχάτως.*

LXXII—LXXIV (3, 526) 327–329

Antiatticista p. 82 25. *Ἀπειλοῦμαι: ἀντὶ τοῦ ἀπειλῶ. Ἄλεξις διηπειλεῖτό σοι.* Idem p. 105 4. *Καύσιμα ξύλα: Ἄλεξις.* Idem p. 113 20. *Συμπατριώτης Ἀρχιππος, τὸ μέντοι πατριώτης Ἄλεξις.*

LXXV—LXXIX (3, 526) 330–334

Antiatticista p. 115 14. *Ὑπόμαχρον: τὸ ὑπόμηκες. Ἄλεξις.* Ibid. 26. *Φιλαδελφία καὶ φιλεταιρία: Ἄλεξις.* Idem p. 116 10. *Χαλκίζειν: ἀντὶ τοῦ χαλκῷ κυβεύειν. Ἄλεξις.* Etymol. M. p. 462 22: *τὰ παρὰ τὸ φυὴ διὰ τοῦ ι, εὐφυΐα. εὕρηται καὶ εὐφύεια παρὰ Ἀλέξιδι.* Zenobius II 17: *Ἀλη-*

Θέσερα τῶν ἐπὶ Σάγρᾳ: ταύτης μέμνηται Μένανδρος καὶ Σώφρων καὶ Ἄλεξις.

335 LXXX (3, 527)

Eustathius ad Iliad. p. 859 51: *φησὶ γοῦν Αἴλιος Διονύσιος ἰατρὸν γυναῖκα, Ἄλεξις δὲ ἰάτριαν· ἡ δὲ ἰατρίνη οὐχ Ἑλληνικόν φησι.*

336 LXXXI (3, 527)

Vitruvius Praef. libri de archit. VI p. 146 ed. Schneid. "non minus poetae, qui antiquas comoedias gracce scripserunt, easdem sententias versibus in scena pronunciaverunt, ut Eucrates, Chionides, Aristophanes, maxime etiam cum his Alexis, qui *Athenienses ait ideo oportere laudari, quod omnium Graecorum leges cogunt parentes ali a liberis, Atheniensium non omnes, nisi eos qui liberos artibus erudiissent.*"

337 LXXXII

Eustathius ad Iliad. p. 863 29: *καὶ Ἄλεξις ὁ κωμικὸς λευκόπυγον ἔφη τὸν ἄνανδρον.* Cf. App. prov. Gott. III 62.

ANTIDOTVS

ΜΕΜΨΙΜΟΙΡΟΣ

1 (3, 528)

Athenaeus XIV p. 656 e: *Ὑπογάστριον δ' αὐτὸ (οὐθαρ) ὠνόμασεν Ἀντίδοτος ἐν Μεμψιμοίρῳ.*

ΠΡΩΤΟΧΟΡΟΣ

2 I (3, 528)

Κατὰ τὴν στάσιν δὴ στάντες ἀκροάσασθέ μου.
πρὶν ἐγγραφῆναι καὶ λαβεῖν τὸ χλαμύδιον,
περὶ τοῦ παρασιτεῖν εἴ τις ἐμπέσοι λόγος,
τὸ τεχνίον ἀεὶ τοῦτό μοι κατεπίνετο,
καὶ παιδομαθὴς πρὸς αὐτὸ τὴν διάνοιαν ἦν.

Athenaeus VI p. 240 b: *Ἀντίδοτος δ' ἐν τῷ ἐπιγραφομένῳ Πρωτοχόρῳ παράγει τινὰ — τοιαῦτα περὶ παρασιτικῆς τέχνης λέγοντα Κατὰ τὴν στάσιν κτλ.* Vs. 1 malim *κατὰ στάσιν*, ut sit *confertim, denso coetu.* Vs. 4 A *ἀιεί.* Ibid. *κατεπίνετο* Casaubonus, praeeunte Dalecampio. Vulgo *καταπινέτω.*

3 II (3, 529)

Λαβόντα θερμοὺς ἐσχαρίτας, πῶς γὰρ οὔ;
τούτους ἀνειλίττοντα βάπτειν εἰς γλυκύν.

Athenaeus III p. 109 c: *Ἐσχαρίτην. τούτου μνημονεύει Ἀντίδοτος ἐν Πρωτοχόρῳ Λαβόντα κτλ.*

EX INCERTA FABVLA

(3, 529) 4

Θάσιον ἔγχει
ὃ γὰρ λαβών μου καταφάγῃ τὴν καρδίαν,
ὅταν πίω τοῦτ', εὐθὺς ὑγιὴς γίνεται.
Ἀσκληπιὸς κατέβρεξεν.

Athenaeus I p. 28 e: *Χίου δὲ οἴνου καὶ Θασίου μέμνηται Ἐπίλυκος "Χῖος καὶ Θάσιος ἠθημένος." καὶ Ἀντίδοτος δέ Θάσιον ἔγχει κτλ.* Vulgo *καὶ ἀντίδοτον δὲ Θάσιον κτλ.* Correxit Kiddius ad Porsoni Misc. p. 390. Iacobsius *Θάσιον ἔγχει . . .| ὃ γὰρ ἂν λαβόν μου.* Dobraeus *ἔγχει λαβών | Θάσιον· ὃ γὰρ ἄν μου καταφάγῃ.* Nisi is describentis error est. Forsan *Θάσιον ἔγχει δὴ λαβών· | ὁτιοῦν γὰρ ἄν μου.* Vs. 3 *γίνομαι* Corselianus.

AXIONICVS

TYPPHNOΣ

I (3, 530) 1

Ὁ Πυθόδηλος οὑτοσί
ὃ Βαλλίων προσέρχετ' ἐπικαλούμενος,
μεθύουσά τ' ἐξόπισθεν ἡ σοφωτάτη
ἀποτυμπανισχὰς κατὰ πόδας πορεύεται.

Athenaeus IV p. 166 c: *Πυθοδήλου δέ τινος ἀσώτου μνημονεύει Ἀξιόνικος ἐν Τυρρηνῷ οὕτως Ὁ Πυθόδηλος κτλ.* Vs. 1 et 2 legebatur *οὗτος ἰσοβαλλίων.* Emendavit Elmsleius. Quae post secundum versum in libris inferuntur verba *ἀσωτότατος ἄνθρωπος*, ea delenda esse idem monuit. Vs. 3 in *ἀποτυμπανισχὰς* libri nil mutant, nisi quod B habet *ἀποτυμπανιτάς*, et Q apud Villebrunium *ἀποτυμπανιστή*. Bothius *ἀποτυμπανίστις*. *Ἰσχὰς* nomen latere coniecit Coraes.

II (3, 531) 2

Οἶνος οὐκ ἔνεστι
αὐτοῖς πρὸς ἑταίρους πρόφασιν ἐπὶ κῶμόν τινας,
ὅπερ ποιεῖν εἴωθε Γρυλλίων ἀεί.

Athenaeus VI p. 244 f: *Ἀξιόνικος δ' ὁ κωμικὸς ἐν τῷ Τυρρηνῷ Γρυλλίωνος τοῦ παρασίτου ἐν τούτοις μνημονεύει Οἶνος κτλ.* Vs. 1 *νῦν* addunt VL. Vs. 2 forsan *πρὸς ἑτέρους πρόφασις ἐπὶ κῶμόν τινα.*

ΦΙΛΕΥΡΙΠΙΔΗΣ

3 I (3, 531. 532)

Ἄλλον δ' ἰχθύν
μεγέθει πίσυνόν τινα τοῖσδε τόποις
ἥκει κομίσας
γλαῦκός τις ἐν πόντῳ γαλεούς
σῖτον ὀψοφάγων καὶ λίχνων ἀνδρῶν
ἀγάπημα φέρων κατὰ τῶν ὤμων.
τίνα τῷδ' ἐνέπω τὴν σκευασίαν;
πότερον χλωρῷ τρίμματι βρέξας,
ἢ τῆς ἀγρίας ἅλμης πάσμασι
σῶμα λιπάνας
πυρὶ παμφλέκτῳ παραδώσω;
ἔφα τις ὡς ἅλμῃ θερμῇ
τοῦτο φάγοι γ' ἐφθὸν ἀνὴρ Μοσχίων φίλαυλος.
βοᾷ δ' ὄνειδος ἴδιον, ὦ Καλαίδη·
σὺ μὲν ἀμφὶ σῦκα καὶ ἀμφὶ τάριχ' ἀγάλλει,
τοῦ δ' ἐν ἅλμῃ παρεόντος οὐ γεύει χαρίεντος ὄψου.

Athenaeus VIII p. 342 b: *Φιλέταιρος δ' ἐν Ἀσκληπιῷ τὸν Ὑπερίδην πρὸς τῷ ὀψοφαγεῖν καὶ κυβεύειν αὐτόν φησι, καθάπερ καὶ Καλλίαν τὸν ῥήτορα Ἀξιόνικος ἐν Φιλευριπίδῃ Ἄλλον δ' ἰχθύν κτλ.* Vs. 4—6 vir doctus apud Dindorfium: *γλαῦκον τοῖς ἐν πόντῳ γαλεοῖς | σῖτ' ὀψοφάγων λίχνων τ' ἀνδρῶν | ἀγάπημα φέρων κατὰ τῶν ὤμων.* Vs. 9 libri *λιάσμασι*: correxit Erfurdtus. Vs. 12 pro *ἔφα τις* Iacobsius *φάτις*. At fortasse tragici poetae subest sive irrisio sive imitatio. Aeschylus Agam. 369: *οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν*. Ante *ἅλμῃ* excidisse videri potest *ἐν*. Ac fortasse versus ita distinguendi sunt: *ἔφα τις ὡς ἐν ἅλμῃ | θερμῇ τοῦτο φάγοι* etc. Vs 14 scribendum videtur *Καλλιάδη*, h. e. *Καλλία*, quem *ῥήτορα* appellat Athenaeus. *ὦ* ante *Καλαίδη* B omittit. Vs. 15 *καὶ ἀμφί* BCP *κ' ἀμφί* VL. Fortasse *ἀμφὶ* delendum. *τάριχ'* ABCP *ταρίχης* VL. Ad sententiam haec monet Athenaeus: *τὰ μὲν σῦκα ὡς ἂν συκοφάντην λοιδορῶν, τὰ δὲ ταρίχη μήποτε καὶ ὡς αἰσχροποιοῦντος*. Ibid. *ἀγάλλει* et vs. 16 *γεύει* pro *ἀγάλλῃ* et *γεύῃ* posuit Dindorfius.

4 II (1, 417)

Οὕτω γὰρ ἐπὶ τοῖς μέλεσι τοῖς Εὐριπίδου
ἄμφω νοσοῦσιν, ὥστε τἄλλ' αὐτοῖς δοκεῖν
εἶναι μέλη γιγγραντὰ καὶ κακὸν μέγα.

Athenaeus IV p. 175 b: *καὶ Ἀξιόνικος ἐν Φιλευριπίδῃ Οὕτω γὰρ κτλ.* Vs. 3 *γίγγρατα* BP.

ΦΙΛΙΝΝΑ

(3, 533)

Γυναικὶ δὴ πίστευε μὴ πίνειν ὕδωρ.

Athenaeus X p. 442 a: *Ἀξιόνικος δ' ἐν Φιλίννῃ φησί Γυναικὶ δή κτλ.* Subiecit haec Athenaeus Platonis comici loco, quo mulieres vini avidissimas esse doceret (169). *δή* AC, *δέ* PVL. Pro *Φιλίννῃ*, quod ex ABP receptum est, VL habent *Φιλίνῃ*.

ΧΑΛΚΙΔΙΚΟΣ

I (3, 534)

Ὅτε τοῦ παρασιτεῖν πρῶτον ἠράσθην μετὰ
Φιλοξένου τῆς Πτερνοκοπίδος νέος ἔτ' ὤν,
πληγὰς ὑπέμενον κονδύλων καὶ τρυβλίων
ὀστῶν τε τὸ μέγεθος τοσαύτας ὥστε με
ἐνίοτε τοὐλάχιστον ὀκτὼ τραύματα
ἔχειν· ἐλυσιτέλει γάρ· ἧττων εἰμὶ γάρ
τῆς ἡδονῆς. ἔπειτα καὶ τρόπον τινά
τὸ πρᾶγμά μοι λυσιτελὲς εἶναι νενόμικα.
οἷον φίλερίς τίς ἐστι καὶ μάχεταί τί μοι·
μετεβαλόμην πρὸς τοῦτον, ὅσα τ' εἴρηκέ με
κακῶς ὁμολογῶν εὐθέως οὐ βλάπτομαι.
πονηρὸς ὤν τε χρηστὸς εἶναί φησί τις,
ἐγκωμιάζων τοῦτον ἀπέλαβον χάριν.
γλαύκου βεβρωκὼς τέμαχος ἕφθὸν τήμερον
αὔριον ἕωλον τοῦτ' ἔχων οὐκ ἄχθομαι.
τοιοῦτος ὁ τρόπος ἐστὶν ἡ φύσις τέ μου.

Athenaeus VI p. 239 f de parasitis et verbo *παρασιτεῖν* disserens: *Ἀξιόνικος δ' ἐν Χαλκιδικῷ φησιν Ὅτε τοῦ παρασιτεῖν κτλ.* Cfr. ibid. p. 241 e. Vs. 2 *τῆς* ABPV *τοῦ* L. Vs. 3 *ὑπομένων* ante Grotium. Tum *κονδύλων* Schweighaeuserus pro *κονδυλίων*. Vs. 7 pro *καὶ τρόπον τινὰ* requiro *κἄτερον τρόπον*. Vs. 12 Grotius *ὧν δέ*.

II (3, 535)

Ζωμὸν ποιῶ
θερμὸν ἰχθὺν ἐπαναπλάττων, ἡμίβρωτα λείψανα
συντιθείς, οἴνῳ διαίνων, ἔντερ' ἁλὶ καὶ σιλφίῳ
σφενδονῶν, ἀλλᾶντα τέμνω, παραφέρω χορδῆς τόμον,
ῥύγχος εἰς ὄξος πιέζων, ὥστε πάντας ὁμολογεῖν
τῶν γάμων κρείττω γεγονέναι τὴν ἕωλον ἡμέραν.

Athenaeus III p. 95 c de usu vocabuli *ῥύγχος* agens: *Ἀξιόνικος δ' ἐν Χαλκίδι (Χαλκιδικῷ) φησί Ζωμὸν ποιῶ κτλ.* Vs. 1 *ζωμοποιῶ* ante Casaubonum. Vs. 3 *οἴνῳ διαίνων* Emperius, *οἴονται ἄνω* libri. Ib. vulgo *ἑτεράλικα σιλφίῳ.* B *ἕτερα λικασιλφίω.* P *ἑτεραλίκα σιλφίῳ.* Correxit Seidlerus. Vs. 5 ante Dindorfium *πιέζω.*

8 III (3, 535)

Τρύβλια, χύτρα, λοπάδιον, ὀξίς, χοῦς, ἁμίς,
λεκάνη, θυεία, κάνθαρος, σείσων, λύχνος.
ὑπηρεσία σοι παντελής, γραῦ, κεραμίων.

Pollux X 122: *κεραμέων σκευῶν ὀνόματα ἐν Ἀξιονίκου Χαλκιδικῷ Τρύβλια κτλ.*

EX INCERTIS FABVLIS

9 I (3, 536)

Ὅταν δανείζῃ τις πονηρῷ χρήματα
ἀνὴρ δικαίως τὸν τόκον λύπας ἔχει.

Stobaeus Floril. II 2 cum lemmate *Ἀξινίκου* (sic). Vs. 2 ante Grotium *ἀνὴρ δικαίως αὐτῶν τὸν τόκον λύπας ἔχει.* Cod. Marc. *ἀνὴρ δικαίως ἀντὶ τῶν τόκων λύπας ἔχει.* Forsan corrigendum *ὅταν — χρήματα, δίκαιός ἐστι τὸν τόκον λύπας ἔχειν,* nam *ἀνὴρ* prorsus inutile.

10 II (3, 536)

Etymol. M. p. 775 30: *Ὑικὸν δέρμα οὐχ εὕρηται ἐν χρήσει εἰ μὴ παρὰ Ἀξιονίκῳ.* Eadem Philemo Gramm. p. 172.

CALLICRATES

M O Σ X I Ω N

(3, 536)

Athenaeus XIII p. 586 a: *μνημονεύει δ' αὐτῆς* (Sinopen meretricem dicit) *Ἀντιφάνης ἐν Ἀρκάδι . . . . καὶ Καλλικράτης ἐν Μοσχίωνι.*

EPIGENES

ΑΡΓΥΡΙΟΥ ΑΦΑΝΙΣΜΟΣ

Vide Antiphanis fragmentum fabulae cognominis.

ΒΑΚΧΕΙΑ

I (3, 537) 1

Εἶτ' ἔρχεται
χελιδονείων μετ' ὀλίγον σκληρῶν ἁδρός
πιναξίσκος.

Athenaeus III p. 75 c: χελιδονείων δὲ σύκων μνημονεύει Ἐπιγένης ἐν Βακχίᾳ Εἶτ' ἔρχεται κτλ. Βακχίᾳ scripsi pro Βραγχίᾳ. Βακχίας viri nomen. Bentleius Βακχείᾳ. Vs. 2 χελιδονείων Bentleius. Libri χελιδονίων.

II (3, 537) 2

Ἀλλ' εἴ τις ὥσπερ χῆνα σιτευτὸν λαβών
ἔτρεφέ με.

Athenaeus IX p. 384 a de anseribus disserens: καὶ Ἐπιγένης — ἐν Βάκχαις (Βακχίᾳ) φησὶν Ἀλλ' εἴ τις ὥσπερ χῆνα ἔτρεφέ με λαβὼν σιτευτόν. Ita Venetus. Ceteri fere μοι pro με. Porsonus ἀλλ' εἴ τις ὥσπερ χῆν' ἐμέ | ἔτρεφε λαβὼν σιτευτόν. Ego Dindorfium sequutus sum.

III (3, 538) 3

Τὸ σκύφος ἔχαιρον δεχόμενος.

Athenaeus XI p. 498 e: καὶ Ἄλεξις ἐν Λευκαδίᾳ — καὶ Ἐπιγένης ἐν Βακχίᾳ Τὸ σκύφος ἔχαιρον δεχόμενος.

ΗΡΩΙΝΗ

I (3, 538) 4

Ἀλλ' οὐδὲ κεραμεύουσι νῦν τοὺς κανθάρους,
ὦ τάλαν, ἐκείνους τοὺς ἁδρούς, ταπεινὰ δέ
καὶ γλαφυρὰ πάντες [κανθαρίδι'], ὡσπερεί
αὐτὰ τὰ ποτήρι' οὐ τὸν οἶνον πιόμενοι.

Athenaeus XI p. 474 a de cantharis disserens: Ἐπιγένης Ἡρωίνῃ Ἀλλ' οὐδέ κτλ. Vs. 3 addidi κανθαρίδια. Tum AB ὡς περὶ αὐτὰ τὰ ποτήρια. P ὡσπερεὶ αὐτὰ τὰ ποτήρια. V ὥσπερ αὐτὰ τὰ ποτήρια. L ὥσπερ αὐτὰ ποτήρια.

5 II (3, 539)

Τὴν Θηρίκλειον δεῦρο καὶ τὰ Ῥοδιακά
κόμισον λαβὼν τοὺς παῖδας. εἰσοίσεις μόνος
ψυκτῆρα, κύαθον, κυμβία, ῥυτὰ τέτταρα,
ἡδυποτίδας τρεῖς, ἡθμὸν ἀργυροῦν.

Athenaeus XI p. 502 e: *Ἐπιγένης δ' ἐν Ἡρωίνῃ καταλέγων πολλὰ ποτήρια καὶ τοῦ ψυγέως οὕτως μνημονεύει Τὴν Θηρίκλειον — κυμβία.* Idem XI p. 469 c: *μνημονεύει δ' αὐτῶν (ἡδυποτίδων) καὶ Ἐπιγένης ἐν Ἡρωίνῃ διὰ τούτων Ψυκτῆρα — ἀργυροῦν.* Apertum est haec in unum fragmentum coniungenda esse. Vs. 2 pro *εἰσοίσεις* scribendum videtur *εἶτ' οἴσεις.*

M N H M A T I O N

6 (3, 539)

Κρατῆρες, κάδοι,
ὁλκεῖα, κρουνεῖ'. Β. ἔστι γὰρ κρουνεῖα; Α. ναί.
λουτήρι'. ἀλλὰ τί καθ' ἕκαστον δεῖ λέγειν;
ὄψει γὰρ αὐτός. Β. βασιλέως υἱὸν . .
λέγεις ἀφῖχθαι; Α. δηλαδή, Πιξώδαρον.

Athenaeus XI p. 472 e de *κάδῳ* disserens: *Ἐπιγένης δὲ ἐν Μνηματίῳ φησί Κρατῆρες κτλ.* Idem p. 480 a: *Κρουνεῖα. Ἐπιγένης Μνηματίῳ Κρατῆρες — ναί.* Denique p. 486 b: *Λουτήριον. Ἐπιγένης Μνηματίῳ ἐν τῷ τῶν ποτηρίων καταλόγῳ φησί Κρατῆρες — ὄψει γὰρ αὐτός.* Vs. 3 *καθ' ἕκαστα* altero loco p. 486. Vs. 4 Dobraeus supplet *τινα.*

Π O N T I K O Σ

7. 8 (3, 540. 5, 93)

Τρεῖς μόνους
σκώληκας ἔτι τούτους μ' ἔασον καταγαγεῖν.

Pollux VII 29: *κατάγειν, καταγαγεῖν, κάταγμα. τὸ δ' αὐτὸ καὶ μήρυμα. τῶν δὲ νέων τις κωμικῶν Ἐπιγένης ἐν Ποντικῷ ἔφη Τρεῖς μόνους κτλ.* Vs. 2 vulgo *τούτους δ' ἔμ' ἔασον.* Correxi iam olim; nunc ita edidit Bekkerus.

Epigenem praeter locos allatos unus praeterea memorat Hesychius, *Διαπίνειν: προπίνειν. Περιγένης.* Corrige *Ἐπιγένης*, errore frequenti. V. Scholiastam Apoll. Rh. III 1378 et Lobeck. Aglaoph. p. 341.

DROMO

ΨΑΛΤΡΙΑ

I (3, 541) 1

Ὑπερῃσχυνόμην
μέλλων ἀσύμβολος πάλιν δειπνεῖν· πάνυ
αἰσχρὸν γάρ. Β. ἀμέλει· τὸν Τιθύμαλλον γοῦν ἀεί
ἐρυθρότερον κόκκου περιπατοῦντ᾽ ἔσθ᾽ ὁρᾶν·
οὕτως ἐρυθριᾷ συμβολὰς οὐ κατατιθείς.

Athenaeus VI p. 240 c de Tithymallo parasito: *Δρόμων δ᾽ ἐν Ψαλτρίᾳ Ὑπερῃσχυνόμην κτλ.* Vs. 3 *γὰρ* a Schweighaeusero additum.

II (3, 541) 2

Ἐπεὶ δὲ θᾶττον ἦμεν ἠριστηκότες,
ὁ παῖς περιεῖλε τὰς τραπέζας, νίμματα
ἐπέχει τις, ἀπενιζόμεθα, τοὺς στεφάνους πάλιν
τοὺς ἰρίνους λαβόντες ἐστεφανούμεθα.

Athenaeus IX p. 409 e de more manus post coenam lavandi: *Δρόμων δ᾽ ἐν Ψαλτρίᾳ Ἐπεὶ δὲ θᾶττον κτλ.* Vs. 2 *ὁ παῖς* Porsonus. Libri *ἦμεν*, quod ex primo versu repetitum P omittit. Schweighaeuserus *ἡ μέν*. Vs. 4 *τοὺς ἰρίνους* Casaubonus pro *δὲ σπορίνους*.

DIODORVS

ΑΥΛΗΤΡΙΣ

(3, 543) 1

Ἐπὰν κυάθους πίνῃ τις, ὦ Κρίτων, δέκα,
ἀεὶ παρ᾽ ἕκαστον ἐνδελεχῶς τὸ ποτήριον,
πίνει τὸ λοιπόν, τοὺς λογισμοὺς δ᾽ ἐξεμεῖ.
ταῦτα σκόπει πρὸς σαυτόν.

Athenaeus X p. 431 c: *Διόδωρος δ᾽ ὁ Σινωπεὺς ἐν Αὐλητρίδι Ἐπὰν κτλ.* Vs. 2 *ἀεὶ* Dobraeus, libri *εἰ*. Vs. 3 libri *πίνειν*. Correxit Dobraeus. Ibid. *τὸ* VL *τε* BP. Tum pro *δ᾽ ἐξεμεῖ*, quae Dobraei emendatio est, ABP *δέξαιμι*. VL *ἐξείη*. Naekius Choeril. p. 174 secundum et tertium versum ita scribebat: *εἰ τὸ παρ᾽ ἕκαστον ἐνδελεχῶς ποτήριον | πίνειν τὸ λοιπὸν τοὺς λογισμοὺς ἀὐξάνει —*

E Π I K Λ H P O Σ

2 (3, 543—545)

Βούλομαι δεῖξαι σαφῶς
ὡς σεμνόν ἐστι τοῦτο καὶ νενομισμένον
καὶ τῶν θεῶν εὕρημα, τὰς δ' ἄλλας τέχνας
οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ' ἄνδρες σοφοί.
τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ φίλιος,
ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως.
οὗτος γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται
οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν,
οὗ δ' ἂν καλῶς ἐστρωμένην κλίνην ἴδῃ
παρακειμένην τε τὴν τράπεζαν πάνθ' ἃ δεῖ
ἔχουσαν, ἤδη συγκατακλιθεὶς κοσμίως
ἀριστίσας ἑαυτόν, ἐντραγών, πιών,
ἀπέρχετ' οἴκαδ' οὐ καταβαλὼν συμβολάς.
κἀγὼ ποιῶ νῦν τοῦτ'· ἐπὰν κλίνας ἴδω
ἐστρωμένας καὶ τὰς τραπέζας εὐτρεπεῖς
καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομαι
ἐνθάδε σιωπῇ καὶ ποιήσας εὐσταλῆ
ἐμαυτόν, ὥστε μὴ 'νοχλεῖν τὸν συμπότην.
πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιών,
ἀπέρχομ' οἴκαδ' ὥσπερ ὁ Ζεὺς ὁ φίλιος.
ὅτι δ' ἦν τὸ πρᾶγμ' ἔνδοξον ἀεὶ καὶ καλόν,
ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον.
τὸν Ἡρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις
ἐν ἅπασι τοῖς δήμοις θυσίας ποιουμένη,
εἰς τὰς θυσίας ταύτας παρασίτους τῷ θεῷ
οὐ πώποτ' ἀπεκλήρωσεν, οὐδὲ παρέλαβεν
εἰς ταῦτα τοὺς τυχόντας, ἀλλὰ κατέλεγεν
ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς
ἐκλεξαμένη τοὺς ἐκ δυναστιῶν γεγονότας,
ἔχοντας οὐσίας, καλῶς βεβιωκότας.
εἶθ' ὕστερον τὸν Ἡρακλέα μιμούμενοι
τῶν εὐπόρων τινὲς παρασίτους ἑλόμενοι
τρέφειν παρεκάλουν, οὐχὶ τοὺς χαριεστάτους
ἐκλεγόμενοι τοὺς δὲ κολακεύειν δυναμένους
καὶ πάντ' ἐπαινεῖν, οἷς ἐπειδὴ προσερύγοι,
ῥαφανῖδας ἢ σαπρὸν σίλουρον καταφαγών,
ἵα καὶ ῥόδ' ἔφασαν αὐτὸν ἠριστηκέναι.
ἐπεὶ δ' ἀποπάρδοι μετά τινος κατακείμενος
τούτων, προσάγων τὴν ῥῖν' ἐδεῖτ' αὐτοῦ φράσαι,

πόθεν τὸ θυμίαμα τοῦτο λαμβάνει.
διὰ τοὺς τοιούτους τοὺς ἀσελγῶς χρωμένους
τὸ τίμιον καὶ τὸ καλὸν αἰσχρόν ἐστι νῦν.

Athenaeus VI p. 239 b: *Διόδωρος δ' ὁ Σινωπεὺς ἐν Ἐπιχλήρῳ περὶ τοῦ παρασιτεῖν καὶ αὐτὸς οὐκ ἀγλαφύρως τάδε φησί Βούλομαι δεῖξαι σαφῶς κτλ.* Vs. 10 *τὴν* additum a Casaubono. Vs. 11 *συγκαταχλιθεὶς* Dobraeus. Libri *καταχλιθείς*. Schweighaeuserus *καταχλιθεὶς καὶ κοσμίως*. Vs. 12 *πιὼν* pro *ἐμπιὼν* Grotius. Vs. 19 Schweighaeuserus *πάντων δ'*. Vs. 21 *καὶ* ABP omittunt. Vs. 24 *δήμοισι* ante Casaubonum. Vs. 28 sqq. spectat Athen. p. 235 d: *Φιλόχορος — μνημονεύων τῶν καταλεγομένων τῷ Ἡρακλεῖ παρασίτων, καὶ Διόδωρος ὁ Σινωπεὺς κωμῳδιοποιὸς ἐν Ἐπικλήρῳ.* Vs. 30 *οὐσίας* Casaubonus et margo Q *θυσίας* PVL. Vs. 32 *τινὲς* Casaubonus. *τινὰς* PVL. Vs. 36 *ῥαφανῖδας ἢ* Dindorfius. ABCP *ῥαφανίδας καί*. VL *ῥαφανῖδα καί*. Vs. 38 *ἐπεὶ δ'* Dindorfius. Libri *ἐπειδὰν δ'*. Ibid. *ἀποπάρδοι* BC. Ante Dindorfium *ἀποπάρδῃ*. Vs. 39 libri *τούτῳ* cum sequentibus coniunctum. Tum ABPV *ῥῖνα δεῖ ταυτῷ* (*δεῖτ' αὐτῷ* C), quod in *ῥῖν' ἐδεῖτ' αὐτῷ* mutatum est. Sed praeterea *αὐτοῦ* scribendum erat cum Dobraeo. Vs. 40 libri *λαμβάνεις*, quod correxi. Vs. 42 *νῦν* Casaubonus et L. Ceteri libri *νυνί*.

EX INCERTA FABVLA

(3, 546) 3

Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τουτονί
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποιεῖν·
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον ἢ κακῶς μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

Stobaeus Floril. LXXII 1 cum lemmate *Διοδώρου*. Vs. 1 *τουτονὶ* margo Gesneri pro *τοῦτον*. Vs. 2 Trinc. *ποεῖν*. Vs. 4 *κακῶς* sc. *τεθραμμένην*.

DIONYSIVS

AKONTIZOMENOΣ

(3, 547) 1

Ὥστ' ἐνίοτ' ἂν τούτοισι ποιῶν ματτύην
σπεύδων ἅμ' εἰσήνεγκα διαμαρτὼν μίαν
ἄκων περιφορὰν τῶν νεκρῶν ὡς τὸν νεκρόν.

Athenaeus XIV p. 664 d: *Διονύσιος δ' ἐν Ἀκοντιζομένῳ· μάγειρος δέ ἐστιν ὁ λέγων Ὥστ' ἐνίοτ' ἄν κτλ.* Vs. 1 *ὥστ'* A *ὥστ' ἂν* PVL. Ibid. *τούτοισι* VL *τούτου τοῖσι* A.

ΘΕΣΜΟΦΟΡΟΣ

2

(3, 547—549)

Σφόδρα μοι κεχάρισαι, Σιμία, νὴ τοὺς θεούς
ταυτὶ προείπας· τὸν μάγειρον εἰδέναι
πολὺ δεῖ γὰρ ἀεὶ πρότερον οἷς μέλλει ποιεῖν
τὸ δεῖπνον ἢ τὸ δεῖπνον ἐγχειρεῖν ποιεῖν·
ἂν μὲν γὰρ ἕν τις τοῦτ' ἐπιβλέψῃ μόνον,
τοὔψον ποιῆσαι κατὰ τρόπον πῶς δεῖ, τίνα
τρόπον παραθεῖναι δ' ἢ πότ' ἢ πῶς σκευάσαι
δεῖ, μὴ προΐδηται τοῦτο μηδὲ φροντίσῃ,
οὐκέτι μάγειρος, ὀψοποιὸς δ' ἐστί που·
οὐ ταὐτὸ δ' ἐστὶ τοῦτο· πολὺ διήλλαχεν,
πολύ. στρατηγὸς πᾶς καλεῖθ' ὃς ἂν λάβῃ
δύναμιν, ὁ μέντοι δυνάμενος κἀν πράγμασιν
ἀναστραφῆναι καὶ διαβλέψαι τί που
στρατηγός ἐστιν, ἡγεμὼν δὲ θάτερον.
οὕτως ἐφ' ἡμῖν σκευάσαι μὲν ἢ τεμεῖν
ἡδύσμαθ' ἕψῆσαί τε καὶ φυσᾶν τὸ πῦρ
ὁ τυχὼν δύναιτ' ἄν. ὀψοποιὸς δ' οὖν μόνον
ἔστιν ὁ τοιοῦτος, ὁ δὲ μάγειρος ἄλλο τι.
συνιδεῖν τόπον, ὥραν, τὸν καλοῦντα, τὸν πάλιν
δειπνοῦντα, πότε δεῖ καὶ τίν' ἰχθὺν ἀγοράσαι
[οὐ τοῦ τυχόντος]. πάντα μὲν λήψει σχεδόν
ἀεὶ γάρ, οὐκ ἀεὶ δὲ τὴν τούτων χάριν
ἔχεις ὁμοίαν, οὐδ' ἴσην τὴν ἡδονήν.
Ἀρχέστρατος γέγραφέ τε καὶ δοξάζεται
παρά τισιν οὕτως ὡς λέγων τι χρήσιμον,
τὰ πολλὰ δ' ἠγνόηκε κοὐδὲ ἓν λέγει.
μὴ πάντ' ἄκουε μηδὲ πάντα μάνθανε,
τῶν βιαίων ἕσθ' ἕνεκα τὰ γεγραμμένα,
κενὰ μᾶλλον ἢ ὅτ' ἦν οὐδέπω γεγραμμένα.
οὐδ' ἔστιν εἰπεῖν περὶ μαγειρικῆς· ἐπεί
εἶπ' ἀρτίως . . . . . .
ὅρον γὰρ οὐκ ἔσχηκεν, οὗ ὁ καιρός,
αὐτὴ δ' ἑαυτῆς ἐστι δεσπότης· ἐὰν δ'
εὖ μὲν σὺ χρήσῃ τῇ τέχνῃ, τὸν τῆς τύχης
καιρὸν δ' ἀπολέσῃς, παραπόλωλεν ἡ τέχνη.

B. ἄνθρωπε, μέγας εἶ. *A.* τουτονὶ δ' ὃν ἀρτίως
ἔφης ἔχοντα πεῖραν ἥκειν πολυτελῶν
πολλῶν τε δείπνων ἐπιλαθέσθαι, Σιμία,
πάντων ποιήσω, θρῖον ἂν δείξω μόνον
παραθῶ τε δεῖπνον ὅζον αὔρας ἀττικῆς,
ἐξ ἀντλίας ἥκοντα καὶ γέμοντ' ἔτι
φορτηγικῶν μοι βρωμάτων ἀγωνίαις·
εἰ μή, ποιήσω νυστάσαι παροψίδι.

Athenaeus IX p. 404e: *καὶ ὁ παρὰ Διονυσίῳ δὲ ἐν Θεσμοφόρῳ μάγειρος, ἄνδρες δαιταλεῖς· οὐ χεῖρον γὰρ καὶ τούτου μνησθῆναι· τί φησι; Σφόδρα μοι κεχάρισαι κτλ.* Vs. 1 *κεχάρισαι Σιμμία* Porsonus. Cod. A *καὶ χάρις ἀεὶ μία.* Vs. 7 δ' ἤ πότ' ἤ πῶς ex mea emendatione edidit Dindorfius. Vulgo δέ ποτ' (BP ποτε) ἤ πῶς. Vs. 8 in libris ita scribitur *μὴ προΐδῃ τε τοῦτο μηδὲ φροντίσῃ.* Addidi initio versus δεῖ idque cum superioribus coniunxi. Recepit hoc Dindorfius, sed ita ut προειδῇ scriberet pro *προΐδῃ τε,* quod praeeunte Dobraeo scripsi *προΐδηται.* Vs. 9 libri *οὐκ ἔστι,* quod correxi. Tum AB ὀψοποιὸς δ' ἐστίν. VL ὀψοποιὸς δ' ἔστ' ἴσως. Schweighaeuserus et Dindorfius *ὀψοποιός ἐστι δέ.* Lenius videtur quod ipse reposui. Dobraeus *ὀψοποιὸς δ' ἐστίν· οὐ | ταὐτὸν γάρ ἐστι τοῦτο.* Vs. 10 ταὐτὸ VL *ταὐτὸν* AP. Vs. 11 addidi *πολύ.* Casaubonus *καὶ γάρ.* Vs. 17 οὖν L *οὐ* BPV. Vs. 21 *οὐ τοῦ τυχόντος* adiecit Dobraeus. Vs. 22 *χάριν* Iacobsius, qui olim *ἀκμήν.* Libri *ἀρχήν.* Vs. 23 libri ἔχει θ'. Correxit Iacobsius. Vs. 28 suspicabar *ἃ τῶν ἰδιωτῶν ἕσθ' ἕνεκα γεγραμμένα.* Vs. 29 ex A accessit. Fortasse *μᾶλλόν ἐστιν ἢ οὐδέπω.* Vs. 32 Schweighaeus. *οὐχ ὁ κύριος.* Vs. 33 δεσπότης ABC δεσπότις PVL. Vs. 34 libri *τῆς τέχνης,* quod correxi. Vs. 35 *καιρὸν δ'* Casaubonus. Libri δὲ καιρόν. Vs. 36 libri *μέγας γὰρ εἶ.* Correxit Adamus. Vs. 38 vulgo *ἐπιλαθέσθαι σημεῖα.* Correxi Praef. ad Menandrum p. XVI. Vs. 40 παραθῶ τε VL *παρὰ τὸ* B *παραθῶ* sine τε P. Vs. 41 libri *ἥκοντι.* Correxi l. l. Ibidem scripsi *γέμοντ' ἔτι.* B *γέμον τέ τι. γεμων τε τι* A *γέμω τε τι* P *γέμοντι* VL. Vs. 42 φορτητικῶν ABP φορτικῶν VL. Scripsi *φορτηγικῶν.* Ib. *ἀγωνίαις* conieci Praef. ad Menandrum l. l. Vs. 43 fortasse ante vs. 41 transponendus.

O M Ω N Y M O I

I (3, 551. 552)

*Ἄγε δὴ Δρόμων, νῦν εἴ τι κομψὸν ἢ σοφὸν
ἢ γλαφυρὸν οἶσθα τῶν σεαυτοῦ πραγμάτων,*

φανερὸν ποίησον τοῦτο τῷ διδασκάλῳ.
νῦν τὴν ἀπόδειξιν τῆς τέχνης αἰτῶ σ᾽ ἐγώ.
εἰς πολεμίαν ἄγω σε· θαρρῶν κατάτρεχε·
ἀριθμῷ διδόασι τὰ κρέα καὶ τηροῦσί σε.
ταχερὰ ποιήσας ταῦτα καί ζέσας σφόδρα,
τὸν ἀριθμὸν αὐτῶν, ὡς λέγω σοι, σύγχεον.
ἰχθὺς ἁδρὸς πάρεστι· τἀντός ἐστι σά.
κἂν τέμαχος ἐκκλίνῃς τι, καὶ τοῦτ᾽ ἔστι σόν,
ἕως ἂν ἔνδον ὦμεν· ὅταν ἔξω δ᾽, ἐμόν.
ἐξαιρέσεις καὶ τἄλλα τἀκόλουθ᾽ ὅσα
οὔτ᾽ ἀριθμὸν οὔτ᾽ ἔλεγχον ἐφ᾽ ἑαυτῶν ἔχει,
περικόμματος δὲ τάξιν ἢ θέσιν φέρει,
εἰς αὔριον σὲ κἀμὲ ταῦτ᾽ εὐφρανάτω.
λαφυροπώλῃ παντάπασι μεταδίδου,
τὴν πάροδον ἵν᾽ ἔχῃς τῶν θυρῶν εὐνουστέραν.
τί δεῖ λέγειν με πολλὰ πρὸς συνειδότα;
ἐμὸς εἶ μαθητής, σὸς δ᾽ ἐγὼ διδάσκαλος.
μέμνησο τῶνδε καὶ βάδιζε δεῦρ᾽ ἅμα.

Athenaeus IX p. 381 c: *τὴν δ᾽ ἐξαίρεσιν Διονύσιος ὁ κωμῳδιοποιὸς ἐν τοῖς Ὁμωνύμοις τῷ δράματι οὕτως εἴρηκε ποιήσας τινὰ μάγειρον πρὸς τοὺς μαθητὰς διαλεγόμενον Ἄγε δὴ Δρόμων κτλ.* **Vs. 1** *Δρόμων* V *δρίμων* DPQL. **Vs. 7** *ταχερὰ* Casaubonus. Libri *τὰ κρέα.* **Vs. 9** *τἀντός ἐστι σά* e coniectura Grotius. Confirmat A. Vulgo *ταὐτὸς ἔστι σός.* **Vs. 11** *ἔξω δ᾽ ἐμόν* Schweighaeuserus. *δ᾽ ἔξω ἐμὸν* ABP *δ᾽ ἔξω γ᾽ ἐμὸν* VL. **Vs. 13** *οὔτ᾽* pro *οὐδ᾽* Dindorfius. **Vs. 15** *εὐφρανάτω* Grotius. Libri *εὔφρανα τῶ.* Tum Emperius *εὐφρανάτω τὰ λάφυρα· πυλωρῷ* etc.

4 II (3, 553)

Κηφισόδωρόν φασιν ἐπικαλούμενον
πλάνον τίν᾽ ἐν Ἀθήναις γενέσθαι, τὴν σχολὴν
εἰς τοῦτο τὸ μέρος τοῦ βίου καταχρώμενον.
τοῦτον ἐντυχόντα πρὸς τὸ σιμὸν ἀνατρέχειν,
ἢ συγκαθεῖναι τῇ ᾽πὶ τῇ βακτηρίᾳ.

Athenaeus XIV p. 615 e: *Διονύσιος μὲν ὁ Σινωπεὺς ὁ τῆς κωμῳδίας ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ Ὁμώνυμοι μνημονεύει Κηφισοδώρου τοῦ πλάνου διὰ τούτων Κηφισόδωρόν φασιν κτλ.* Respicit Eustathius ad Odyss. p. 1382 40. **Vs. 4** *ὃν* pro *τοῦτον* dubitanter Dindorfius. **Vs. 5** in litteris *ἧσυγ* latere *ἥσυχα* vidit Iacobsius. Tum *τῇ ᾽πὶ* BP *τῇ ἐπὶ* VL. Emperius *ἥσυχα κα-*

τιέναι δ' ἐπί τε τῇ βακτηρίᾳ. Ipse tentaverim *ἥσυχα καθιέναι δ' ἐπὶ τῇ βακτηρίᾳ.* De *καθιέναι* cfr. Lobeck. ad Aiac. v. 250.

Σ Ω Ζ Ο Υ Σ Α

I (3, 554) 5

Ὅσα δ' ἐστὶν εἴδη θηρικλείων τῶν καλῶν,
γύναι, δικότυλοι, τρικότυλοι, δεῖνος μέγας
χωρῶν μετρητήν, κυμβίον, σκύφοι, ῥυτά.
Β. ποτήρι' ἡ γραῦς, ἄλλο δ' οὐδὲ ἓν βλέπει.

Athenaeus XI p. 467 d: *Διονύσιος ὁ Σινωπεὺς ἐν Σωζούσῃ καταλέγων ὀνόματα ποτηρίων μνημονεύει καὶ τούτου (δείνου) λέγων οὕτως Ὅσα δ' ἐστὶν εἴδη κτλ.* Vs. 2 pro *γύναι* Letronnius Observ. sur les noms des vases p. 44 coniicit *γυάλαι.* Fortasse *κοτύλαι* praestat. Vs. 3 *ῥυτά* ex h. l. affert Athen. p. 497 c.

II (3, 555) 6

Πρὸς τὸν τελευτήσανθ' ἕκαστος, κεἰ σφόδρα
ζῶν ἐχθρὸς ἦν τις, γίνεται φίλος τότε.

Stobaeus Floril. CXXV 8 cum lemmate *Διονυσίου Σωτείρας.* Diodori nomen adscripsit Trincavellus. Vulgo *κἂν σφόδρα ὢν ἐχθρὸς ᾖ.* Pro *ᾖ* cod. B *ἦν*, quo recepto correxi *κεἰ* pro *κἂν* et *ζῶν* pro *ὤν.* Ceterum nollem haec tragico Dionysio assignasset Welcker. Tragodum. vol. 3 p. 1233.

EX INCERTA FABVLA

(3, 555) ?

Ἔπειτα δ' οὐδὲ τοῦτο γινώσκεις ὅτι
τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ;
Ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.
Ἅπαν τὸ λίαν συνετόν ἐστ' ἐπίφθονον.
Λιτὸς γενόμενος τοῖς ἔχουσι μὴ φθόνει.
Εἰσίν τινες νῦν οἷς τὸ βασκαίνειν τρέφει.

Servavit hos versus adscripto Dionysii nomine Stobaeus Floril. XXXVIII 2 et 6. Tertius versus tragici poetae esse videri potest. Versui sexto Trincavellus Diogenis nomen apposuit.

ERIPHVS

AIOLOS

1 (3, 556)

Λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων.
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

Athenaeus IV p. 134 c: *τούτοις οὐδ' ἀναρμόστως ἄν τις ἐπενέγκαι τὰ Ἐρίφῳ τῷ κωμικῷ ἐν Αἰόλῳ εἰρημένα τάδε Λόγος γάρ ἐστ' ἀρχαῖος κτλ.* Respicit incerti auctoris versum ab Athenaeo X p. 428 a servatum: *Οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν.* Fortasse igitur scribendum *κοὐ θέλοντας.* Vs. 3 annotante Dindorfio Eustathius ad Od. p. 1770 7 habet *οὐκ ἐθέλοντας.*

MELIBOIA

I (3, 556. 557)

2 *Καὶ περὶ μὲν ὄψου γ' ἠλίθιον τὸ καὶ λέγειν*
ὥσπερ πρὸς ἁπλήστους. ἀλλὰ ταυτὶ λάμβανε,
παρθένε, τὰ μῆλα. Β. καλά γε. Α. καλὰ δῆτ', ὦ θεοί.
νεωστὶ γὰρ τὸ σπέρμα τοῦτ' ἀφιγμένον
5 *εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως.*
Β. παρ' Ἑσπερίδων, ὦμην γε. Α. νὴ τὴν Ἄρτεμιν,
φασὶν τὰ χρυσᾶ μῆλα ταῦτ' εἶναι. Β. τρία
μόνον ἐστίν. Α. ὀλίγον τὸ καλόν ἐστι πανταχοῦ
καὶ τίμιον. Β. τούτων μὲν ὀβολόν, εἰ πολύ,
10 *τίθημι. λογιοῦμαι γάρ. Α. αὗται δὲ ῥόαι.*
Β. ὡς εὐγενεῖς. Α. τὴν γὰρ Ἀφροδίτην ἐν Κύπρῳ
δένδρον φυτεῦσαι τοῦτό φασιν ἓν μόνον.
Β. βέρβεια πολυτίμητε. κἆτα τρεῖς μόνας
καὶ τάσδ' ἐκόμισας; Α. οὐ γὰρ εἶχον πλείονας.

Athenaeus III p. 84 b: *Ὅτι δ' ὄντως ἐκ τῆς ἄνω χώρας ἐκείνης κατέβη εἰς τοὺς Ἕλληνας τὸ φυτὸν τοῦτο* (citria mala) *ἔστιν εὑρεῖν λεγόμενον καὶ παρὰ τοῖς τῆς κωμῳδίας ποιηταῖς, οἳ καὶ περὶ μεγέθους αὐτῶν τι λέγοντες τῶν κιτρίων μνημονεύειν φαίνονται. Ἀντιφάνης μὲν ἐν Βοιωτίᾳ Καὶ περὶ μὲν ὄψου — πανταχοῦ καὶ τίμιον. Ἔριφος δ' ἐν Μελιβοίᾳ αὐτὰ ταῦτα τὰ ἰαμβεῖα προθεὶς ὡς ἴδια τὰ τοῦ Ἀντιφάνους ἐπιφέρει Παρ' Ἑσπερίδων κτλ.* V. Antiphan. p. 504. Vs. 1 *γ'* om. ABP. Ibidem pro *ἠλίθιον τὸ* AB habent *ἠλίθοντο.* P *ἢ*

λίθοντο. Tum *λέγει* B. Vs. 2 *ταυτὰ* B. Vs. 6 *Φωσφόρον* Antiphanes pro *Ἄρτεμιν*. Vs. 7 *φησὶν* codices. Vs. 10 *ῥόαι*. ABP *ῥόαι γ'*. Vs. 13 *βέρβεαι* A *βέρβεα* BP. Seidlerus *ἕρμαια πολυτίμητα*. Vs. 14 *τάσδ' ἐκόμισας* Dindorfius. Vulgo *τάσδε κομίσαις*. ABP *τάσδε κομίσας*.

II (3, 557) 3

Ὠιὰ λευκά γε
καὶ μεγάλα· χήνει' ἐστίν, ὥς γ' ἐμοὶ δοκεῖ.
οὗτος δέ φησι ταῦτα τὴν Λήδαν τεκεῖν.

Athenaeus II p. 58 a: *χηνείων δ' ᾠῶν Ἔριφος Ὠιὰ λευκά γε κτλ.* Eustathius ad Od. p. 1686 43: *Ἔριφος, λόγιος δὲ ἦν καὶ αὐτὸς ἀνήρ, χήνεια ληρεῖ ᾠὰ λευκά τε καὶ μεγάλα τὴν Λήδαν τεκεῖν.* Ad Melibocam haec rettuli propter similitudinem cum fragmento superiore. Vs. 1 Eustathius *λευκά τε*.

III (3, 558) 4

Ταῦτα γὰρ οἱ πένητες οὐκ ἔχοντες ἀγοράσαι
ὑπογάστριον θύννακος, οὐδὲ κρανίον
λάβρακος, οὐδὲ γόγγρον, οὐδὲ σηπίας,
ἃς οὐδὲ μάκαρας ὑπερορᾶν οἶμαι θεούς.

Athenaeus VII p. 302 e de *θύννου ὑπογαστρίῳ* disserens: *Ἔριφος Μελιβοίᾳ Ταῦτα γὰρ οἱ πένητες*. Vs. 1 *ταῦθ' οἱ* Casaubonus. *ταῦτ' ἄρα πένητες* H. Iacobi.

IV (3, 558) 5

Ἑκπεπίῃ δέκας πρὶν ἀγαθοῦ πρῶτον δαίμονος λαβεῖν,
πρὶν Διὸς σωτῆρος.

Athenaeus XV p. 693 c de poculo *ἀγαθοῦ δαίμονος* disserens: *Ἔριφος Μελιβοίᾳ Ἑκπεπίῃ δέκας πρὶν ἀγαθοῦ πρῶτον κτλ.* Corrigunt *ἐκπίῃ δέπας πρὶν ἀγαθοῦ δαίμονος πρῶτον λαβεῖν*, numeris trochaicis. Dobraeus priora sic *ἐπεκπίει δὲ καὶ* — cetera se expedire negans.

V (3, 558) 6

Antiatticista p. 98 26: *Ἡιματῶσθαι. Ἔριφος Μελιβοίᾳ.*

Π Ε Λ Τ Α Σ Τ Η Σ

(3, 559) 7

Τάδ' οὐ Κόρινθος οὔτε Λαΐς, ὦ Σύρε,
οὐδ' εὐτραπέζων Θετταλῶν ξένων τροφαί,
ὧν οὐκ ἄμοιρος ἥδε χειρ ἐγίνετο.

Athenaeus IV p. 137 d: *εὐτράπεζοι δ' εἰσὶν ὄντως οἱ Θετταλοί, καθὰ καὶ Ἔριφός φησιν ἐν Πελταστῇ οὕτως Τάδ' οὐ κτλ.* Partem loci repetiit Eustath. p. 331 14. Vs. 1 Dindorfius *οὐδέ.*

EVBVLIDES

KΩMAΣTAI

(3, 559)

Σοφιστιᾷς, κάκιστε, καὶ Χοῶν δέει
τῶν μισθοδώρων, οὐκ ἀδείπνων ἐν τρυφῇ.

Athenaeus X p. 437 d: *τῇ ἑορτῇ τῶν Χοῶν ἔθος ἐστὶν Ἀθήνησι πέμπεσθαι δῶρά τε καὶ τοὺς μισθοὺς τοῖς σοφισταῖς, οἵπερ καὶ αὐτοὶ συνεκάλουν ἐπὶ ξενίᾳ τοὺς γνωρίμους, ὡς φησιν Εὐβουλίδης ὁ διαλεκτικὸς ἐν δράματι Κωμασταῖς οὕτως Σοφιστιᾷς κάκιστε κτλ.* Vs. 2 Dobraeus dubitanter *σῦκα δειπνῶν ἐντρυφᾷς.*

HENIOCHVS

ΓOPΓONEΣ

1 (3, 560)

Πιεῖν πιεῖν τις ἔγχει πυριγενῆ
λαβὼν βραχύωτον κυκλοτερῆ παχύστομον
κώθωνα, παῖδα φάρυγος.

Athenaeus XI p. 483 e de cothone disserens: *Ἡνίοχος Γοργόσι Πιεῖν κτλ.* Vs. 1 *πιεῖν πιεῖν* AP *πιεῖν ποιεῖν* B *πιεῖν* VL. Ibid. libri *ἐγχείτω.* Correxit Dobraeus, qui etiam sequentia, quae in libris ita leguntur: *λαβὼν πυριγενῆ κυκλοτερῆ παχύστομον,* transposuit. Vs. 3 libri *φάρυγγος.*

ΠOΛYEYKTOΣ

2 (3, 560)

Ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἐφθὸς δεκάπαλαι,
ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών.

Athenaeus IX p. 396 d de *γαλαθηνοῖς* disserens: *Ἡνίοχος Πολυεύκτῳ Ὁ βοῦς κτλ.* Libri *ὁ βοῦς χαλκοῦς ἦν ἄνεφθος δὲ καὶ πάλαι.* Correxit Porsonus. De signo illo v. Exercitt. philol. in Athen. I p. 29 sq. et Bergkii comm. de Acropoli Athen. p. 979 sqq. Annal. antiq. stud. 1845.

ΠΟΛΥΠΡΑΓΜΩΝ

(3, 561)

3 Ὁρῶ δὲ θαῦμ' ἄπιστον, ἰχθύων γένη
περὶ τὴν ἄκραν παίζοντα, κωβιούς, σπάρους,
ψήττας, ἐρυθίνους, κεστρέας, πέρκας, ὄνους,
θύννους, μελανούρους, σηπίας, αὐλωπίας,
τρίγλας, ἑλεδώνας, σκορπίους.

Athenaeus VI p. 271 a: Ὁρῶ δὲ κτλ. φησὶν Ἡνίοχος ἐν Πολυπράγμονι. Vs. 1 Athenaeus γάρ, pro quo Schweighaeuserus in notis δέ.

ΤΡΟΧΙΛΟΣ

(3, 562)

4 Πρὸς ἐμαυτὸν ἐνθυμούμενος, νὴ τοὺς θεούς,
ὅσῳ διαφέρει σῦκα καρδάμων. σὺ δέ
Παύσωνι φῂς τὸ δεῖνα προσλελαληκέναι;
Α. καὶ πρᾶγμά γ' ἡρώτα με δυστράπελον πάνυ
5 ἔχον τε πολλὰς φροντίδων διεξόδους.
Β. λέγ' αὐτό· καὶ γὰρ οὐκ ἀγέλοιόν ἐστ' ἴσως.
Α. ἔτνος κυάμινον διότι τὴν μὲν γαστέρα
φυσᾷ, τὸ δὲ πῦρ οὔ; Β. χάριεν οἷς γινώσκεται
τὸ πρᾶγμα τοῦ Παύσωνος. ὡς δ' ἀεί ποτε
10 περὶ τοὺς κυάμους ἔσθ' οὗτος ὁ σοφιστὴς τέλος.

Athenaeus IX p. 408 a: ἔτνους δὲ κυαμίνου μνημονεύει Ἡνίοχος ὁ κωμικὸς ἐν Τροχίλῳ λέγων οὕτως Πρὸς ἐμαυτόν κτλ. Cf. Bergk. de Acropoli Athen. p. 981 sq. Vs. 3 τὸ δεῖνα L τὸ δεινὰ AP τὸ δεῖα V τῷ δεῖνι Dindorfius. Tum vulgo προσλελακκέναι. P προσλελακηκέναι. AB προσλελακέναι. Vs. 4 πρᾶγμά γ' ἠρώτα Dindorfius pro vulgato πρᾶγμ' ἠρώτα. At fortasse legendum ναί, πρᾶγμ' ἀνηρώτα. Iacobsius ναί, πρᾶγμ' ἐπηρώτα. Vs. 5 vulgo ἔχων δὲ et δυσεξόδους. Illud Iacobsius, hoc Boissonadius correxit. Vs. 8 vulgo coniungitur τὸ δὲ πῦρ οὐ χάριεν. Correxit Boissonadius collato Philostr. Soph. Prooem. p. 483. Vs. 10 pro τέλος Iacobsius πολύς, Dalecampius ὅλος, Bergkius τέως. Placet Dobraei coniectura, Heniochi χρῆσιν desinere in σοφιστής, τέλος autem cum proximis Athenaei verbis coniungendum esse: Τέλος τοιούτων [οὖν] πολλῶν λεγομένων ὕδωρ ἐφέρετο κατὰ χειρῶν.

EX INCERTA FABVLA

(3, 563)

Ἐγὼ δ᾽ ὄνομα τὸ μὲν καθ᾽ ἑκάστην αὐτίκα
λέξω, συνάπασαι δ᾽ εἰσὶ παντοδαπαὶ πόλεις,
αἳ νῦν ἀνοηταίνουσι πολὺν ἤδη χρόνον.
τάχ᾽ ἄν τις ὑποκρούσειεν ὅ τι πότ᾽ ἐνθάδε
νῦν εἰσὶ κἀνέροιτο· παρ᾽ ἐμοῦ πεύσεται.
τὸ χωρίον μὲν γὰρ τόδ᾽ ἐστὶ πᾶν κύκλῳ
Ὀλυμπία, τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ
σκηνὴν δρᾶν θεωρικὴν νομίζετε.
εἶεν. τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις;
ἐλευθέρι᾽ ἀφίκοντο θύσουσαί ποτε,
ὅτε τῶν φόρων ἐγένοντ᾽ ἐλεύθεραι σχεδόν.
κἄπειτ᾽ ἀπ᾽ ἐκείνης τῆς θυσίας διέφθορεν
αὐτὰς ξενίζουσ᾽ ἡμέραν ἐξ ἡμέρας
ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον.
γυναῖκε δ᾽ αὐτὰς δύο ταράττετόν τινε
ἀεὶ συνοῦσαι· δημοκρατία θατέρᾳ
ὄνομ᾽ ἐστί, τῇ δ᾽ ἀριστοκρατία θατέρᾳ,
δι᾽ ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις.

Stobaeus Floril. XLIII 27 cum lemmate *Ἡνιόχου*. Haud quaquam improbabile est fabulae, cuius ex prologo hi versus excerpti sunt, indicem fuisse *Πόλεις*. Vs. 5 pro edito *κἂν ἔροιτο* scripsi *κἀνέροιτο*. Sed videntur hic plura turbata esse. Vs. 6 Voss. *πᾶν τόδ᾽ ἐστὶν κύκλῳ*, non male, si scribas *ἐν κύκλῳ*. Vs. 7 vulgo *τὴν δ᾽ εἶδε*. Correxit Valcken. Diatr. p. 278. Vs. 8 Voss. et margo Gesn. *Πυθικὴν* pro *θεωρικήν*. Tum *νομίζετε* pro *νομίζεται* debetur Grotio. Vs. 10 *ἐλευθέρι᾽* Gesneri margo pro *ἐλευθερίᾳ*. Vs. 15 pro *αὐτὰς* ante Grotium *αὐτήν*. Ibid. scripsi *δύο ταράττετον* pro *δύ᾽ ἐταράττετον*.

HERACLIDES

(3, 565)

Ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου παραλαβών
ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον
κατέκοψεν· οὐ γὰρ εἶχεν οὐδέπω λόφον.
ἕνα κατακόψας μάλα συχνοὺς ἐδείπνισεν
Χάρης Ἀθηναίων τόθ᾽, ὡς γενναῖος ἦν.

Athenaeus XII p. 532 e de Charete Atheniensium duce notissimo: *ἐδείπνισεν Ἀθηναίους ἐν τῇ ἀγορᾷ θύσας τὰ ἐπινίκια τῆς γενομένης μάχης πρὸς τοὺς Φιλίππου ξένους. ὧν ἡγεῖτο μὲν Ἀδαῖος, Ἀλεκτρυὼν ἐπικαλούμενος, περὶ οὗ καὶ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς μέμνηται οὕτως Ἀλεκτρυόνα τὸν τοῦ κτλ.* Respicit haec Zenobius VI 34. Ex Athenaeo profecit allatus a Schweighaeusero Eustathius ad Odyss. p. 1479 37. Vs. 4 pro *ἕνα* Epit. et Eustathius *κἆτα*. Si verum est *ἕνα*, de quo non dubito, inter tertium et quartum versum aliquid omissum videri potest. Vs. 5 epit. et Eust. *Ἀθηναίους*.

HERACLITVS

ΞΕΝΙΖΩΝ

(3, 566)

Athenaeus X p. 414 d: *Ἡράκλειτος δ' ἐν τῷ Ξενίζοντι Ἑλένην φησί τινα γυναῖκα πλεῖστα βεβρωκέναι.* Scribendum videtur *Ἡρακλείδης*. V. Hist. crit. p. 422.

MNESIMACHVS

ΑΛΚΜΑΙΩΝ

(3, 567) 1

Ὡς Πυθαγοριστῇ θύομεν τῷ Λοξίᾳ,
ἔμψυχον οὐδὲν ἐσθίοντες παντελῶς.

Diogenes Laert. VIII 37: *ἔσχωψε δὲ αὐτὸν* (Pythagoram; nisi legendum *αὐτοὺς*) *Κρατῖνος μὲν — Μνησίμαχος Ἀλκμαίωνι Ὡς Πυθαγοριστῇ κτλ.* Versu primo Menagius *Πυθαγορισταί*.

ΒΟΥΣΙΡΙΣ

(3, 567) 2

Εἰμὶ γὰρ Βοιώτιος,
ὀλίγα μὲν ἄλλων δίκαια ταῦτα πολλὰ δ' ἐσθίων.

Athenaeus X p. 417 e de Boeotiorum edacitate disserens: *Μνησίμαχος Βουσίριδι Εἰμὶ γάρ κτλ.* Herculis, nisi coniectura fallit, haec verba sunt. Versu altero *ἄλλων δίκαι ταῦτα* BP *ἄλλων δίκαια ταῦτα* codex Huraldinus. *δίκαια* VL omittunt. Quid cod. A habeat non certo constat. Pro *ἄλλων* fortasse *λαλῶν* scribendum, ut pauca se loqui at multa edere dicat Hercules.

Ac fortasse ne δίκαια quidem corruptum est. Dindorfius edidit: ὀλίγα μὲν ἄλλων ταῦτα, πολλὰ δ' ἐσθίων.

Δ Υ Σ Κ Ο Λ Ο Σ

3 (3, 568)

Ἀλλ' ἀντιβολῶ σ' ἐπίταττέ μοι μὴ πόλλ' ἄγαν,
μηδ' ἄγρια λίαν μηδ' ἐπηργυρωμένα,
μέτρια δὲ τῷ θείῳ σεαυτοῦ. Β. πῶς ἔτι
μετριώτερ', ὦ δαιμόνιε, πῶς; Α. σύντεμνε καί
ἐπεξαπάτα με. τοὺς μὲν ἰχθῦς μοι κάλει
ἰχθύδιον· ὄψον δ' ἂν λέγῃς ἕτερον, κάλει
ὀψάριον. ἥδιον γὰρ ἀπολοῦμαι πολύ.

Athenaeus VIII p. 359 c: ὁ δὲ παρὰ Μνησιμάχῳ ἐν τῷ ὁμωνύμῳ δράματι Δύσκολος φιλάργυρος ὢν σφόδρα πρὸς τὸν ἀσωτευόμενον νεανίσκον φησίν Ἀλλ' ἀντιβολῶ κτλ.

Ι Π Π Ο Τ Ρ Ο Φ Ο Σ

4 (3, 568—570)

Βαῖν' ἐκ θαλάμων κυπαρισσορόφων
ἔξω, Μάνη· στεῖχ' εἰς ἀγοράν
πρὸς τοὺς Ἑρμᾶς,
οὗ προσφοιτῶσ' οἱ φύλαρχοι,
5 τούς τε μαθητὰς τοὺς ὡραίους,
οὓς ἀναβαίνειν ἐπὶ τοὺς ἵππους
μελετᾷ Φείδων καὶ καταβαίνειν.
οἶσθ' οὓς φράζω;
τούτοις τοίνυν ἄγγελλ' ὅτιή
10 ψυχρὸν τοὔψον, τὸ ποτὸν θερμόν,
ξηρὸν φύραμ', ἄρτοι ξηροί·
σπλάγχν' ὀπτᾶται, χναῦμ' ἥρπασται,
κρέας ἐξ ἅλμης ἐξήρηται,
τόμος ἀλλᾶντος, τόμος ἠνύστρου,
15 χορδῆς ἕτερος, φύσκης ἕτερος
διαλαιμοτομεῖθ' ὑπὸ τῶν ἔνδον.
κρατὴρ ἐξερροίβδητ' οἴνου·
πρόποσις χωρεῖ· λέπεται κόρδαξ·
ἀκολασταίνει νοῦς μειρακίων·
20 πάντες δ' ἔνδον τὰ κάτωθεν ἄνω.
μέμνησ' ἃ λέγω, πρόσεχ' οἷς φράζω.
χάσκεις αὐτός;
βλέψον δευρί· πῶς αὐτὰ φράσεις;
αὐτίχ' ἑρῶ σοι πάλιν ἐξ ἀρχῆς.

ἥκειν ἤδη καὶ μὴ μέλλειν,
τῷ τε μαγείρῳ μὴ λυμαίνεσθ',
ὡς τῶν ὄψων ἐφθῶν ὄντων,
ὀπτῶν ὄντων, ψυχρῶν ὄντων,
καθ' ἕκαστα λέγων· βολβός, ἐλάα,
σκόροδον, καυλός, κολοκύντη, ἔτνος,
θρῖον, φυλλάς· θύννου τεμάχη,
γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου,
φοξῖνος ὅλος, κορακῖνος ὅλος,
μεμβράς, σκόμβρος,
θυννίς, κωβιός, ἠλακατῆνες,
κυνὸς οὐραῖον τῶν καρχαριῶν,
νάρκη, βάτραχος, πέρκη, σαῦρος,
τριχίας, φυκίς, βρίγκος, τρίγλη,
κόκκυξ, τρυγών, σμύραινα, φάγρος,
μύλλος, λεβίας, σπάρος, αἰολίας,
θρᾶττα, χελιδών, καρίς, τευθίς,
ψῆττα, δρακαινίς,
πουλυπόδειον, σηπία, ὀρφώς,
κάραβος, ἔσχαρος, ἀφύαι, βελόναι,
κεστρεύς, σκορπίος, ἔγχελυς, ἄρκτος.
κρέα τ' ἄλλα (τὸ πλῆθος ἀμύθητον)
χηνός, χοίρου, βοός, ἀρνός, οἰός,
κάπρου, αἰγός, ἀλεκτρυόνος, νήττης,
κίττης, πέρδικος, ἀλωπεκίου.
καὶ μετὰ δεῖπνον θαυμαστὸν ὅσ' ἔστ'
ἀγαθῶν πλήθη.
πᾶς δὲ κατ' οἴκους μάττει, πέττει,
τίλλει, κόπτει, τέμνει, δεύει,
χαίρει, παίζει, πηδᾷ, δειπνεῖ,
πίνει, σκιρτᾷ, λορδοῖ, κεντεῖ
[βινεῖ]. σεμναὶ δ' αὐλῶν ἀγαναὶ φωναί,
μολπὰ κλαγγὰ θράττει, [νεῖται] πνεῖται.
κούραν κασίας
ἀπὸ γᾶς ἁγίας ἁλίας Συρίας
ὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ
λιβάνου, μάρου, σμύρνης, καλάμου,
στύρακος, βάρου,
λίνδου, κίνδου, κισθοῦ, μίνθου.
τοιάδε δόμους ὁμίχλη κατέχει
πάντων ἀγαθῶν ἀνάμεστος.

Athenaeus IX p. 402 f: *Μνησίμαχος δ' ἐν Ἱπποτρόφῳ τοιαῦτα παρασκευάζει Βαῖν' ἐκ θαλάμων κτλ.* Vs. 1 *κυπαρισσορόφων* Casaubonus pro *κυπαρισσοτρόφων*. Vs. 7 BC *φείδων*. PVL *φίδων*. Vs. 12 cod. A *χνανώ*. PVL *χαύνω*. Schneiderus *χναύρ'*, quod recepit Dindorfius verba ita coniungens: *σπλάγχν' ὀπτᾶται χναύρ', ἥρπασται*. Ipse *χναῦμ' ἥρπασται* scripsi. Vs. 17 Eustathius ad Odyss. p. 1719 43: *τὸ κρατὴρ δ' ἐξερροίβδητ' οἴνου ἴσον — τῷ ἐξηντλήθη καὶ ἔξω πίθου ἐφάνη*. Vs. 18 libri *λείπεται*, quod correxi olim in Programmate scholastico Gedani anno MDCCCXI edito. Nunc idem sive Porsonum sive Dobracum coniecisse ex huius Advers. II p. 323 cognitum est. Pro *κόρδαξ* PVL *σκόρδαξ*. Vs. 19 *μειρακίων* Schweighaeuserus. Vulgo *μειρακίου*. AB *μειράκιον*. Vs. 20 Iacobsius *πάντως δ' ἔνδον*. Dobraeus *πάντ' ἔστ' ἔνδον*. Vs. 22 Casaubonus *χάσκεις; οὗτος, βλέψον*. Vs. 23 vulgo *φράζεις*. ABC *φράσεις*. P *φράζεις* (super ζ scripto σ). Ibid. *δευρί· πῶς* scripsi auctore Dobraeo. Libri *δεῦρ' εἴ πως*. Vs. 26 *μὴ* BC *μήτε* PVL. Ibidem C *λυμαίνεσθαι*. Vs. 29 ante Dindorfium *ἐλαία*. Vs. 30 *κολοκύντη* ABCP *κολοκύντα* V *κολοκύνθα* L. Vs. 31 et 32 *θύννου — γόγγρου*. Eosdem pisces eodem ordine recenset Ephippus Cydone p. 661. Vs. 33 vulgo *φυξίκινος*. Dalecampius quosdam *phoxinus* legere dicit. Scripsi igitur *φοξῖνος*. Vs. 35 Athen. VII p. 301 d: *ἠλακατῆνες. Μνησίμαχος Ἱπποτρόφῳ Σκόμβρος θύννος κωβιὸς ἠλακατῆνες*, unde nostro loco *ἠλακατῆνες* scribendum esse monuit iam Casaubonus; vulgo *ἠλακατῖνος*. C *ἠλακατῆνος*. Verba *κωβιὸς ἠλακατῆνες κυνὸς οὐραῖον* adscivit Menander Athenaei VII p. 301 d. Vs. 36 ante Dindorfium *οὔραιον*. Quae sequuntur *τῶν καρχαριῶν* (ita Schweighaeuserus pro *καρχαρίων*) usque ad *κόκκυξ* apposuit Athenaeus etiam VII p. 322 e, ubi de *σαύρῳ* pisce agitur. Vs. 37 ante Dindorfium *σαυρός*. Vs. 38 *βρίγκος* pro *βρίγχος* scripsi cum Dindorfio ex libro VII et ex Ephippi loco ibidem servato. Vs. 40 et 41 *μύλλος — τευθὶς* apposuit Athenaeus etiam VII p. 329 d: *μνημονεύει αὐτοῦ* (*θρᾶτταν* piscem dicit) *Μνησίμαχος ἐν Ἱπποτρόφῳ — Μύλλος — τευθίς*. Vs. 41 pro *θρᾶττα* Dorotheum Athenaeus VII p. 329 d refert legisse *θέττα*, sive malo codice usum sive quod ipse nominis *θρᾶττα* insolentia offensus ita correxisset. Pro *μύλλος* utroque loco ante Dindorfium scribebatur *μυλλός*. Quod vs. 40 post *σπάρος* additum legebatur *σκάρος*, delevit Schweighaeuserus, recteque abest libro VII p. 329 d. Versibus 40—44 paucis mutatis usus est Ephippus. Vs. 43 *που-*

λυπόδειον pro *πολυπόδειον* scribendum esse monui ad Menandri Fragm. p. 181. Vs. 44 "Scribebatur *ἐσχάρος*. *ἐσχαρὸς* scribitur apud Hesychium: *ἔσχαρος* recte Athen. VII p. 330a." *Dindorfius*. Vs. 45 vulgo *ἄρτοι*. B *ἄρτος*. Panes iam supra vs. 11 commemoraverat. Requiritur piscis nomen. Scripsi igitur *ἄρκτος*. Monui iam olim libro ad vs. 18 indicato. Vs. 52 et sequentes usque ad *βινεῖ* vs. 56 omisso poetae nomine ex Athenaeo apposuit etiam Eustathius ad Odyss. p. 1524 8. Vs. 53 *τέμνει* omittit Eustathius. Ibidem pro librorum lectione *εὔει* Dindorfius *δεύει* coniecit, quod recipiendum duxi. Vs. 56 *βινεῖ*, pro quo C *κινεῖ* habet, seclusi. Videtur interpretationis causa ad *κεντεῖ* adscriptum fuisse. Ib. libri *ἄγαν αἱ*. Correxit Iacobsius. Vs. 57 Eustathius l. l. *οἷς ἐπάγει ἐκεῖνος καὶ τὸ μολπά. κλαγγά. ὀσμὴ σεμνὴ κτλ.* verbis *θράττει* usque ad *Συρίας* omissis. Legitur autem vulgo *μολπᾷ κλαγγᾷ*. Eustathius et C *μολπά. κλαγγά*. Neque aliter A, nisi quod inter versus habet *μολπὴ κλαγγή*. Vs. 58 fortasse *κούρα κασίας*, ut odor casiae filia dicatur. Vs. 59 ante Schweighaeuserum *ἀγίας*, quod Dalecampius fortasse rectius in *Ἀσίας* mutavit, ut *ἁλίας Συρίας* per appositionem inferatur post *γᾶς Ἀσίας*. Pro *γᾶς* C habet *γῆς*. Vs. 61 libri *μακροῖ*. Scripsi praeeunte Dalecampio *μάρου*. Vs. 62 vulgo *στύρακος καὶ βαρολίνδου*. Delevi *καί*, ut voluit Dindorfius, et scripsi eodem praeeunte *βάρου, λίνδου*, quae separanda esse docent C et Eustathius, qui *καὶ βάρου* omittunt. De *λίνδος* Eustathius ita scribit ad Iliad. *β'* 656 p. 315 18: *ἰστέον δὲ ὅτι λίνδος — καί τι ἀρωματικὸν εἶδος, ὡς δῆλον ἐκ τοῦ ὀσμὴ λιβάνου σμύρνης καλάμου στύρακος λίνδου*. Idem ad Od. *ε* 66 p. 1524 12: *λίνδος ἀνθηρόν τι εὐῶδες ὁμώνυμον Λίνδῳ τῇ Ῥοδίᾳ πόλει. μίνθος δὲ οὐ πάντως κόπρος ἡ παρὰ τῇ κωμῳδίᾳ παρ' ὑπόνοιαν, ἀλλ' ἡ λεγομένη διαλελυμένως μὲν καλὰ μίνθη, συνθέτως δὲ καλαμίνθη. περὶ δὲ κίνδου ζητητέον*. Quod eodem versu legitur *κισθοῦ* dedi e Laur. Vulgo *μισθοῦ* B *μίσθου*. Dindorfius *κίσθου*.

I Σ Θ M I O N I K H Σ

(3, 576)

Aelianus H. A. XIII 4: *οὐ ῥᾳδίως δὲ αὐτοῦ (καλλιωνύμου) μνημονεύουσιν ἐν ταῖς ὑπὲρ τῶν ἰχθύων πανθοινίαις, ὧν τι καὶ ὄφελός ἐστι ποιητῶν θεμένων σπουδὴν εἰς μνήμην ἔνθεσμον, Ἐπίχαρμος μὲν ἐν Ἥβας γάμῳ καὶ Γᾷ καὶ Θαλάσσᾳ,*

καὶ προσέτι Μούσαις, Μνησίμαχος δὲ ἐν τῷ Ἰσθμιονίκῃ. cfr. Athen. VII p. 282 d.

ΦΑΡΜΑΚΟΠΩΛΗΣ

6 (3, 577)

Schol. Aristoph. Av. 471: *τῶν δὲ μύθων οἱ μὲν περὶ ἀλόγων ζῴων εἰσὶν Αἰσώπειοι, οἱ δὲ περὶ ἀνθρώπων Συβαριτικοί. εἰσὶ δέ τινες οἳ τοὺς βραχεῖς καὶ συντόμους λέγουσι Συβαρίτιδας, καθάπερ Μνησίμαχος ἐν Φαρμακοπώλῃ.* Ita enim recte Menagius correxit editum *Μνησίλοχος*. Pro *Συβαρίτιδας* requiro *Συβαριτικούς*.

ΦΙΛΙΠΠΟΣ

7 I (3, 577)

Ἆρ' οἶσθ' ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μάχη,
οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα,
ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν;
ἐντεῦθεν εὐθὺς ἐπιφέρει τραγήματα
ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικάς,
ὥσπερ ἐρεβίνθους, δορατίων τε λείψανα
κατεαγότ', ἀσπίδας δὲ προσκεφάλαια καὶ
θώρακας ἔχομεν, πρὸς ποδῶν δὲ σφενδόνας
καὶ τόξα, καταπέλταισι δ' ἐστεφανώμεθα.

Athenaeus X p. 421 b: *Μνησίμαχος δὲ ἐν Φιλίππῳ διὰ τὸν ὑπερβάλλοντα κόρον ἐν τοῖς δείπνοις παράγει τι συμπόσιον πολέμου παρασκευὴν ἐπαγγελλόμενον καὶ ὡς ἀληθῶς — πολέμου ἐργαστήριον. λέγει δ' οὕτως Ἆρ' οἶσθ' ὁτιή κτλ.* Vs. 1 *μάχη* C *μαχητέον* PVL. Porsonus *ἆρ' οἶσθα σύ ¦ ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μαχητέον;* Vs. 2 libri *ἠκονημένοι*. Recepi quod Eustathius praebuit ad Iliad. *π'* 764 p. 1085 47 memoriter citans *καὶ Φιλιππίδου* (sic) *τὸ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα*. Vs. 9 *καταπέλταισι* Porsonus. VL *καταπέλτας*. AP *καταπέλται*. C *καταπέλταις*. Grotius *καταπέλτας δέ γ' ἐστεφανώμεθα*.

8 II (3, 578)

Τῶν Φαρσαλίων
ἥκει τις, ἵνα καὶ τὰς τραπέζας καταφάγῃ;
Β. οὐδείς πάρεστιν. Α. εὖ γε δρῶντες· ἆρά που
ὀπτὴν κατεσθίουσι πόλιν Ἀχαϊκήν;

Athenaeus X p. 418 b: *καὶ Φαρσάλιοι δὲ κωμῳδοῦνται ὡς πολυφάγοι. Μνησίμαχος γοῦν ἐν Φιλίππῳ φησί Τῶν Φαρ-*

σαλίων κτλ. Vs. 2 *καὶ* addidit Grotius. Pro *καταφάγῃ* PVL *καταφάγοι.*

III (3, 578) 9

Καὶ τὸ λεγόμενον
σπανιώτερον πάρεστιν ὀρνίθων γάλα,
καὶ φασιανὸς ἀποτετιλμένος καλῶς.

Athenaeus IX p. 387 b de phasianis disserens: *Μνησίμαχος δ' ἐν Φιλίππῳ (εἷς δὲ καὶ οὗτός ἐστι τῶν τῆς μέσης κωμῳδίας ποιητῶν) φησί Καὶ τὸ λεγόμενον κτλ.* Vs. 2 malim *σπανιώτατον.* Vs. 3 *ἀποτεσιλμένος* BP.

IV (3, 578) 10

Οὐκ ἀλλὰ καὶ τῆς νυκτός ἐστι Δωρίων
ἔνδον παρ' ἡμῖν λοπαδοφυσητής.

Athenaeus VIII p. 338 b de Dorione auloedo disserens: *ὅτι δ' ἦν ὁ Δωρίων οὗτος ἐπὶ ὀψοφαγίᾳ διαβόητος φανερὸν ἐξ ὧν λέγει Μνησίμαχος ὁ κωμῳδιοποιὸς ἐν Φιλίππῳ δράματι Οὐκ ἀλλά κτλ.* Libri *Δωρίων ἔνδον ἐστί,* quae transposuit Porsonus. *Οὐκ ἀλλὰ* pro vulgato *οὐ καλὰ* dedit A. Tum *λοπαδοφυσητὴς* pro vulgato *λοπαδοφυσήτης* commendavit iam Schweighaeuserus ex C et Eustathio ad Hom. p. 1151 13: *ἐξ αὐτῆς (φύσης) δὲ καί τις ὀψοφάγος λοπαδοφυσητὴς ἐσκώφθη.* Atque ita etiam apud Philemon. gramm. p. 191 ed. Osann.

EX INCERTA FABVLA

(3, 579) 11

Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.

Schol. Homeri Iliad ξ 231: *Μνησίμαχος ὁ κωμικὸς περὶ ὕπνου διαλεγόμενός φησιν ὅτι ὕπνος κτλ.* Eundem versum servavit Eustathius p. 981 3.

PHILISCVS

ΦΙΛΑΡΓΥΡΟΙ

(3, 579) 1

Εἰς τὸ μεταπεῖσαι ῥᾳδίως ἃ βούλεται
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.

Stobaeus Floril. LXXIII 53 cum lemmate *Φιλίσκου Φιλαργύρων.* Malim *Φιλαργύρῳ.*

EX INCERTIS FABVLIS

2 I (3, 580)

Οὐκ ἔστιν ὦ μάταιε σὺν ῥᾳθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.

Stobacus Floril. XXIX 40 cum lemmate *Φιλίσκου.*

3 II (3, 580)

Ὁ Πειραιεὺς χάρυον μέγ' ἐστὶ καὶ κενόν.

Servavit Anthologia Palat. XI 441.

4. 5 III (3, 580) IV (5, 95)

Χρηστῶν σφόδρ' ἔσθ' ἡ Χαλκὶς Ἑλλήνων πόλις.

Dicaearchus Vita Graec. p. 30 Buttm. *δουλεύοντες γὰρ* (Chalcidenses Euboici) *πολὺν ἤδη χρόνον, τοῖς δὲ τρόποις ὄντες ἐλεύθεροι, μεγάλην εἰλήφασιν ἔξιν τοῦ φέρειν ῥᾳθύμως τὰ προσπίπτοντα. ὁ στίχος Φιλίσκου· Χρηστῶν κτλ.* Dubitanter his addo Polluc. III 56 *τοῦτο — πολιτογραφεῖν Φίλιστος καλεῖ*, ubi Falck. super *στ* habet *σκ*.

SOPHILVS

ΑΝΔΡΟΚΛΗΣ

1. 2 I II (3, 581)

Athenaeus III p. 123 e: *τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς Σώφιλος ἐν Ἀνδροκλεῖ.* Idem VI p. 228 b: *τὸ δὲ ἔθος τοῦτο καὶ Ἀθήνησιν εἶναι ἀξιοῖ Σώφιλος ἐν Ἀνδροκλεῖ ὀψονόμους ἀξιῶν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύ' ἢ καὶ τρεῖς.* Hinc profecit Eustathius ad Iliad. p. 867 60.

ΕΓΧΕΙΡΙΔΙΟΝ

3 (3, 581)

Συνεχὴς ἄκρατος ἐδίδοτ' ἴσον ἴσῳ· πάλιν
τὴν μείζον' ἤτουν.

Athenaeus X p. 431 a de mixtura vini *ἴσον ἴσῳ* vocata disserens: *Σώφιλος ἐν Ἐγχειριδίῳ Συνεχὴς κτλ.*

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

4 (3, 581)

Ἡδύ γε μετ' ἀνδρῶν ἐστιν Ἑλλήνων ἀεὶ
συνάγειν· τὸ πρᾶγμα χάριεν, οὖ Χίου δύο
κνάθους ἀνεβόησέν τις ὑπόχει· χωμάσαι
πρὸς τὴν Ταναγρικὴν δεῖ γάρ, ἵν' ἐκεῖ κατακλιθεὶς
ἐπιδορπίσηται τὰς ὀνείας ματτύας.

Athenaeus XIV p. 640 d de *ἐπιδορπίσμασι* disserens *Σώφιλος ἐν Παρακαταθήκῃ Ἡδύ γε κτλ.* Vs. 2 *οὗ Χίου* Dobraeus. Libri *οὐχί*. Vs. 3 Dobraeus *ἐπίχει*. Vs. 4 *εἶν'* pro *ἵν'* et *καταχλησθείς* BP.

ΣΥΝΤΡΕΧΟΝΤΕΣ

(3, 582) 5

Ὁ πορνοβοσκὸς γάρ μ' ὑπὸ κνισολοιχίας
χορδήν τιν' αἱματῖτιν αὐτῷ σκευάσαι
ἐκέλευσε ταυτηνί με.

Athenaeus III p. 125 e: *ἐν δὲ τοῖς ἐπιγραφομένοις Συντρέχουσι κνισολοιχίαν εἴρηκεν* (Sophilus) *ἐν τούτοις Ὁ πορνοβοσκός κτλ.* Vs. 1 *γάρ μὲν* BP. Forsan igitur *ὁ πορνοβοσκὸς μὲν ὑπὸ κνισολοιχίας.* Vs. 3 *ταυτηνὶ* Schweighaeuserus. Libri *ταυτήν*. Tum *με* ex B receptum pro vulgato *ἐμέ*.

ΦΥΛΑΡΧΟΣ

I (3, 582) 6

Γαστρισμὸς ἔσται δαψιλής· τὰ προοίμια
ὁρῶ . . . . χορτασθήσομαι.
νὴ τὸν Διόνυσον, ἄνδρες, ἤδη στρηνιῶ.

Athenaeus III p. 100 a de usu verbi *χορτασθῆναι* disserens: *Σώφιλος δ' ἐν Φυλάρχῳ Γαστρισμός κτλ.*

II (3, 583) 7

Ὀψοφάγος εἶ καὶ κνισολοῖχος.

Athenaeus III p. 125 e: *ὁ κνισολοῖχος ἔστι παρὰ μὲν Σωφίλῳ ἐν Φυλάρχῳ οὕτως Ὀψοφάγος κτλ.* Hinc sumpsit Eustathius p. 1817 38, ubi *κνισσολοιχὸς* scriptum. Apud Athenaeum *κνισολοῖχος*.

EX INCERTIS FABVLIS

I (3, 583) 8

Ὁ πατὴρ ὁ ταύτης πολὺ μέγιστός ἐστι
κρεῖος ἐρέβινθος.

Athenaeus II p. 54 f: *Θεόφραστος δ' ἐν φυτικοῖς τῶν ἐρεβίνθων τινὰς καλεῖ κρείους. καὶ Σώφιλος Ὁ πατὴρ κτλ.* Cfr. Eustathius ad Iliad. p. 948 46. Videntur tetrametrorum esse reliquiae. Vs. 2 forsan praestat *κριός*.

II (3, 583) 9

Athenaeus IV p. 158 a: *Τραγικὸν γὰρ ἡ φακῆ ἐστιν, Ἀρχάγαθος ἔφη ποτε γεγραφέναι ἧς καὶ ῥοφοῦντ' Ὀρέστην τῆς νόσου*

πεπαυμένον, φησὶ Σώφιλος ὁ κωμῳδιοποιός. Dobraeus Agatharchi quandam picturam rideri coniiciens tentabat:

(*ἀλλὰ*) *τραγικὸν ἡ φακῆ ᾽σθ᾽, ἧς φασιν Ἀγάθαρχόν ποτε γεγραφέναι ῥοφοῦντ᾽ Ὀρέστην τῆς νόσου πεπαυμένον.*

Primum versum lenius ita refingas: *τραγικὸν ἡ φακῆ ᾽στιν, ἧς καί φασιν Ἀγάθαρχον* —

SOTADES

ΕΓΚΛΕΙΟΜΕΝΑΙ

I (3, 585. 586)

Καρῖδας ἔλαβον πρῶτον, ἀπεταγήνισα
ταύτας ἁπάσας. γαλεὸς εἴληπται μέγας,
ὤπτησα τὰ μέσα, τὴν δὲ λοιπὴν γρυμέαν
ἕψω ποιήσας τρῖμμα συκαμίνινον.
γλαύκου φέρω κεφάλαια παμμεγέθη δύο,
ἐν λοπάδι μεγάλῃ ταῦτα, λιτῶς προσαγαγών
χλόην κύμινον ἅλας ὕδωρ ἐλάδιον.
λάβρακα μετὰ ταῦτ᾽ ἐπριάμην καλὸν σφόδρα,
ἔσται δι᾽ ἅλμης λιπαρὸς ἐφθὸς ἐν χλόῃ.
ἀποδοὺς ὅσ᾽ ἐστὶν ἀπ᾽ ὀβελίσκων ὀπτανά,
τρίγλας καλὰς ἠγόρασα καὶ κίχλας καλάς,
ἔρριψα ταύτας ἐπὶ τὸν ἄνθρακ᾽ ὡς ἔχει,
ἅλμῃ τε λιπαρᾷ παρατίθημ᾽ ὀρίγανον.
ταύταις προσέλαβον σηπίας καὶ τευθίδας·
ἀστεῖον ἐφθὴ τευθὶς ὠνθυλευμένη
καὶ πτερύγι᾽ ἁπαλῶς σηπίας ὠπτημένα.
τριμμάτιον ᾠκείωσα τούτοις ἀνθινόν
παντοδαπόν. ἕψητὸν δὲ μετὰ ταύτας τινά,
ὀξυλίπαρον τούτοις ἔδωκα χυμίον.
γόγγρον ἐπὶ τούτοις ἐπριάμην παχὺν σφόδρα,
κατέπνιξ᾽ ἐν ἅλμῃ τοῦτον εὐανθεστέρᾳ.
κωβίδι᾽ ἄττα καὶ πετραῖα δή τινα
ἰχθύδια, τούτων ἀποκνίσας τὰ κρανία
*ἐμόλυν᾽ ἀλεύρῳ * * τοιούτῳ τινί,*
πέμπω τε ταῖς καρῖσι τὴν αὐτὴν ὁδόν.
ἀμίαν τε χήραν, θηρίον καλὸν σφόδρα,
θρίοισι ταύτην ἅλις ἐλαδίῳ διείς
ἐσπαργάνωσα περιπάσας ὀρίγανον,
ἐνέκρυψά θ᾽ ὥσπερ δαλὸν εἰς πολλὴν τέφραν.

ἀφύαν θ' ἅμ' αὐτῇ παρέλαβον Φαληρικήν,
εἷς κύαθος ἐνταῦθ' ὕδατος ἐπιχυθεὶς πολύ·
τεμὼν δὲ λεπτὴν τῆς χλόης καὶ πλείονα,
κἂν ᾖ διχότυλος λήκυθος, καταστρέφω.
τί λοιπόν; οὐδὲν ἄλλο. τοῦτ' ἔσθ' ἡ τέχνη,
οὐκ ἐξ ἀπογραφῆς οὐδὲ δι' ὑπομνημάτων.

Athenaeus VII p. 293 a: *Σωτάδης — ποιεῖ καὶ αὐτὸς ἐν Ἐγκλειομέναις (οὕτω γὰρ ἐπιγράφει τὸ δρᾶμα) τοιάδε μάγειρον λέγοντα Καρῖδας ἔλαβον κτλ.* Vs. 1 libri *ἀπετηγάνισα*. Correxi *ἀπεταγήνισα* Curis crit. p. 50. Vs. 4 *συκαμίνινον* Casaubonus. Libri *συκάμινον*. Vs. 7 *ἐλάδιον* Casaubonus pro *ἔλαιον*. Vs. 10 *ὅσ' ἐστὶν* Adamus pro *ὅς ἐστιν*. Ib. *ἀπ' ὀβελίσκων* Schweighaeuserus pro vulgato *ἀποβέλισον*, et *ὀπτανὰ* Dindorfius pro *ὄπτανα*. Vs. 12 *ταύτας* VL *ταῦτα* ABC *ταῦτ'* P. Vs. 14 *ταύταις* pro *ταύταισι* Hermannus. Vs. 15 libri *ὤφθη*. Correxit Dobraeus. Vs. 16 *ἅπαλῶς* pro *ἁπλῶς* Dindorfius. Vs. 18 *μετὰ ταύτας τινὰ* Dobraeus. Vulgo *μετὰ ταῦτ' ἐστίν*. A *μετὰ ταῦτ' αστινα*. B *ταῦτ' ἀστίνα*. *ταύτας* referendum ad *σηπίας* et *τευθίδας*, de quibus in praecedentibus egerat. Vs. 24 *ταῦτα* vel *πάντα* supplebat Casaubonus. Vs. 27 *ἅλις* Porsonus. ABDPQ *ἅλας*. C *εἵλησ'*. VL *εἵλησ'*. Vs. 30 malim *ἀφύην*. Vs. 32 *πλείονας* Schweighaeuserus.

II (3, 588) 3

Antiatticista p. 102 28. *Κλέπτρια: Σωτάδης Ἐγκλειομένοις.* Dubium est utrum hic *Ἐγκλειομέναις*, an apud Athenaeum (Fragm. I) *Ἐγκλειομένοις* scribendum sit.

ΠΑΡΑΛΥΤΡΟΥΜΕΝΟΣ

(3, 588) 3

Παροψὶς εἶναι φαίνομαι τῷ Κρωβύλῳ·
τοῦτον μασᾶται, παρακατεσθίει δ' ἐμέ.

Athenaeus IX p. 368 a de usu nominis *παροψὶς* disserens: *Σωτάδης δ' ὁ κωμικὸς Παραλυτρουμένῳ Παροψὶς κτλ.* Pro *τοῦτον* scribendum suspicabar *τοὔψον*, quamquam etiam illud explicari potest.

TIMOTHEVS

KYNAPION

1 (3, 589)

Πειρώμεθ' ἀποδύντ' ἐς τὸ δεῖπνον ἀπιέναι·
εἰς ἑπτάκλινον δ' ἐστίν, ὡς ἔφραζέ μοι,
ἂν μὴ παράβυστός που γένηται Χαιρεφῶν.

Athenaeus VI p. 243 c de Chaerephonte parasito agens: *Τιμόθεος Κυναρίῳ Πειρώμεθ' κτλ.* Vs. 1 A *πειρώμεσθ'*. Ibid. *ἀποδύντ' ἐς* Schweighaeus. Libri *ἀποδόντες*. Vs. 3 libri *ἐάν*.

EX INCERTA FABVLA

2 (3, 589)

Οὔθ' ὁ πτερωτὸς ἰξὸς ὀμμάτων Ἔρως,
ὁ Κύπριδος κυναγός, ἢ φρενῶν ἀχίς,
ὁ μὴ τίνων θεοῖσιν ὁρκίων δίκας.

Appendix Florent. Stobaei Gaisf. p. 23 7 cum lemmate *Τιμοθέου*. Timothei comici num sit vehementer dubito. Nec vero lyrico poetae tribuerim, cui assignavit Bergkius Poet. lyr. p. 863. Vs. 1 cod. *θ' ὁ*, correxit Bergkius. Vs. 2 cod. *Κύπριος*.

TIMOCLES

AIGYPTIOI

1 (3, 590)

Πῶς ἂν μὲν οὖν σώσειεν Ἶβις ἢ κύων;
ὅπου γὰρ εἰς τοὺς ὁμολογουμένους θεούς
ἀσεβοῦντες οὐ διδόασιν εὐθέως δίκην,
τίν' αἰελούρου βωμὸς ἐπιτρίψειεν ἄν;

Athenaeus VII p. 300 a de Aegyptiorum superstitione testimonia afferens: *Τιμοκλῆς δ' ἐν Αἰγυπτίοις Πῶς ἂν κτλ.* Phaedrus Epic. de natura deor. p. 25 ed. Peters. (Vol. Hercul. p. 154) *διόπερ ἔμοιγε τὸ τοῦ Τιμοκλέους εἰρημένον ἐν Αἰγύπτῳ* (sic) *δράματι περὶ τῶν ἐν τῇ χώρᾳ θεῶν ἐπὶ τούτους ἐπέρχεται μεταφέρειν· ὅπου γάρ, φησίν, εἰς τοὺς ὁμολογουμένους κτλ.* Vs. 2 ante Casaubonum pro *εἰς τοὺς* legebatur *εἰς θεοὺς τούς*, in quibus *τοὺς* ab ABCP abest. Genuinam lectionem obtulit nunc etiam Phaedrus. Vs. 4 *αἰελούρου* A et Vol. Hercul. ubi hoc sic scriptum est *A E OYPOY*. *αἰλούρου* PVL.

B A A A N E I O N

(3, 590) 2

Pollux X 154: *οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου γλωττόκομον παρὰ τοῖς νεωτέροις ἔστιν εὑρεῖν, ὡς ἐν τῷ Τιμοκλέους Βαλανείῳ Καὶ τὸ γλωττόκομον βαλανεύεται.*

Δ A K T Y A I O Σ

(3, 591) 3

Γαλεοὺς καὶ βατίδας ὅσα τε τῶν γενῶν
ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.

Athenaeus VII p. 295 b de *γαλεῷ* pisce disserens: *Τιμοκλῆς δ' ἐν Δακτυλίῳ φησί Γαλεούς κτλ.* Idem locus IX p. 385 a: *καὶ ὁ Τιμοκλῆς — ὁ κωμικὸς ἐν Δακτυλίῳ μέμνηται τοῦ ὀξυλιπάρου λέγων οὕτως Γαλεούς κτλ.* Utroque loco libri *Δακτύλῳ*, correctum a Casaubono.

Δ H Λ O Σ

(3, 591) 4

A. Δημοσθένης τάλαντα πεντήκοντ' ἔχει.
B. μακάριος, εἴπερ μεταδίδωσι μηδενί.
A. καὶ Μοιροκλῆς εἴληφε χρυσίον πολύ.
B. ἀνόητος ὁ διδούς, εὐτυχὴς δ' ὁ λαμβάνων.
5 *A. εἴληφε καὶ Δήμων τι καὶ Καλλισθένης.*
B. πένητες ἦσαν, ὥστε συγγνώμην ἔχω.
A. ὅ τ' ἐν λόγοισι δεινὸς Ὑπερείδης ἔχει.
B. τοὺς ἰχθυοπώλας οὗτος ἡμῖν πλουτιεῖ,
ὀψοφάγος ὥστε τοὺς λάρους εἶναι Σύρους.

Athenaeus VIII p. 341 e: *καὶ Ὑπερείδης δὲ ὁ ῥήτωρ ὀψοφάγος ἦν, ὡς φησι Τιμοκλῆς ὁ κωμικὸς ἐν Δήλῳ (Δηλίῳ), διηγούμενος τοὺς παρὰ Ἁρπάλου δωροδοκήσαντας. γράφει δ' οὕτως Δημοσθένης κτλ.* Harpali causa acta est Olymp. CXIII 4. Eodem igitur tempore vel paullo post hanc Timoclis fabulam doctam esse consentaneum est. Vs. 3 *Μοιροκλῆς* Valesius et AB *Μητροκλῆς* PVL *Μυροκλῆς* C. Vs. 5 *εἴληφε*. Ita VL *εἶτ' εἴληφε* ACP *εἴτ' εἴληφε* B. Ibid. *τι* scripsi pro *τε*. Fecit etiam Dobraeus. Vs. 8 *πλουτιεῖ* CVL *πλουτεῖ* ABP. Vs. 9 quod libri post *ὀψοφάγος* inserunt *γὰρ* delevit Casaubonus.

Δ H M O Σ A T Y P O I

(3, 592) 5

Οὐδ' ὁ Χαβρίου Κτήσιππος ἔτι τρὶς κείρεται,
ἐν ταῖς γυναιξὶ λαμπρὸς οὐκ ἐν ἀνδράσιν.

Athenaeus IV p. 165 f de Ctesippo, Chabriae filio, disserens: *Τιμοκλῆς δ' ἐν Δημοσατύροις φησίν Οὐδ' ὁ Χαβρίου κτλ.* Vs. 1 *Χαμβρίου* B *τρεῖς* BP.

ΔΙΟΝΥΣΙΑΖΟΥΣΑΙ

(3, 592. 593)

Ὦ τᾶν, ἄκουσον ἤν τί σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ' ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρετο
ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβών
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὁ μὲν ὢν γὰρ πένης
πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον ἤδη τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν Ἀλκμέων' ἐσκέψατο.
ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι τυφλοί.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικεν.
χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

Athenaeus VI p. 223 b: *Τιμοκλῆς δ' ὁ κωμῳδιοποιὸς κατὰ πολλὰ χρησίμην εἶναι λέγων τῷ βίῳ τὴν τραγῳδίαν φησὶν ἐν Διονυσιαζούσαις Ὦ τᾶν κτλ.* Idem locus apud Stobaeum Floril. CXXIV 19 cum lemmate *Τιμοκλέους*. Vs. 1 *δοκῶ* Stob. *μέλλω* Athen. Pro *ἤν* fort. *ἄν*. Vs. 4 *ἀνεύρατο* ante Dindorfium. Vs. 7 fort. *παιδευθείς θ' ἅμα*. Vs. 9 *ὁ μὲν ὢν γάρ* ABC *ὁ μὲν γὰρ ὤν* PVL *ὢν μὲν γάρ* Stobaeus. Vs. 10 *αὑτοῦ* CVL *αὐτοῦ* AP. Vs. 11 pro *ἤδη* Stobaeus *οὕτω*. Vs. 12 Athenaeus *ὁ νοσῶν δὲ μανικῶς*. Tum *Ἀλκμέων'* Elmsleius ad Euripidis Bacch. 337. Athenaeus *Ἀλκμαίων'*. Apud Stobaeum Voss. A mp *Ἀλκμένωνα*. Trinc. *Ἀλκμένονα*. Vs. 18 *ἄλλοις γε τ' ἐννοούμενος* P. Vs. 19 *αὑτοῦ* VL *αὐτοῦ* CP et Stobaeus. Tum e Stobaeo scripsi *ἧττον στένει*. Athenaeus *ῥᾷον φέρει*.

ΔΙΟΝΥΣΟΣ

(3, 594)

7

Ὁ δ' Ἀχαρνικὸς Τηλέμαχος ἔτι δημηγορεῖ;
Α. οὗτος δ' ἔοικε τοῖς νεωνήτοις Σύροις.
Β. πῶς; ἢ τί πράττων; βούλομαι γὰρ εἰδέναι.
Α. θάργηλον οὗτος ἀγκάλῃ χύτραν φέρει.

Athenaeus IX p. 407 e: ὅτι δὲ καὶ τῶν δήμων Ἀχαρνεὺς ὁ Τηλέμαχος, ὁ αὐτὸς ποιητής (Timocles) φησιν ἐν Διονύσῳ οὕτως Ὁ δ' Ἀχαρνικός κτλ. Vs. 4 libri θανατηγὸν καλὴν χύτραν, quod correxi. Cfr. Bergk. Beiträge zur Monatskunde p. 69.

ΔΡΑΚΟΝΤΙΟΝ

(3, 594. 595)

8

Ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω τινί
κακῶς λέγειν; ἥκιστά γ'· οὐδέν ἐστι γάρ
ἐν τοῖς τοιούτοις χρησιμώτερον γένος.
εἰ δ' ἔστι τὸ φιλέταιρον ἕν τι τῶν καλῶν,
ἀνὴρ παράσιτος τοῦτο ποιεῖ διὰ τέλους.
ἐρᾷς, συνεραστὴς ἀπροφάσιστος γίνεται,
πράττεις τι, πράξει συμπαρὼν ὅ τι ἂν δέῃ,
δίκαια ταὐτὰ τῷ τρέφοντι νενομικώς,
ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων.
χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις.
τίς δ' οὐχὶ θνητῶν; ἢ τίς ἥρως ἢ θεός
ἀποδοκιμάζει τὴν τοιαύτην διατριβήν;
ἵνα μὴ δὲ πολλὰ μακρολογῶ δι' ἡμέρας,
τεκμήριόν τι παμμέγεθες οἶμαί γ' ἐρεῖν,
ὁ τῶν παρασίτων ὡς τετίμηται βίος·
γέρα γὰρ αὐτοῖς ταὐτὰ τοῖς τὠλύμπια
νικῶσι δίδοται χρηστότητος οὕνεκα,
σίτησις. οὗ γὰρ μὴ τίθενται συμβολαί,
πρυτανεῖα ταῦτα πάντα προσαγορευτέα.

Athenaeus VI p. 237 d: χαρακτηρίζει δ' οὐκ ἀρρύθμως τὸν παράσιτον ὁποῖός τίς ἐστι Τιμοκλῆς ἐν Δρακοντίῳ οὕτως Ἔπειτ' ἐγώ κτλ. Vs. 2 ἥκιστά γ' οὐδέν BP. Vulgo ἥκιστα οὐδέν. Vs. 4 τὸ debetur Casaubono. Vs. 7 ante Dindorfium πράσσεις. P πράξει τι πράττει. Vs. 8 ταὐτὰ L ταῦτα PV. Vs. 10 B ἢ συμβόλοις pro ἀσυμβόλοις. Ante hunc versum forsan alius excidit, cuius in fine haec verba fuerint τάχ' ἂν

λέξαις ὅτι vel ἴσως λέξεις ὅτι. Vs. 11 vulgo sine distinctione τίς δ' οὐχὶ ϑνητῶν ἢ τίς ἥρως etc. Vs. 13 ante Grotium ἵνα δὲ μή. Vs. 16 τὠλύμπια. BPV τὰ ὀλύμπια. L τ' ὀλύμπια. Vs. 17 οὕνεκα Dindorfius: libri εἵνεκα. Vs. 18 σύμβολον C. Vs. 19 προσαγορευτέα scripsi pro προσαγορεύεται.

ΕΠΙΣΤΟΛΑΙ

I (3, 596)

9

Οἴμοι κακοδαίμων, ὡς ἐρῶ. μὰ τοὺς ϑεούς,
Τιϑύμαλλος οὐδεπώποτ' ἠράσϑη φαγεῖν
οὕτω σφόδρ', οὐδὲ Κόρμος ἱμάτιον λαβεῖν,
οὐ Νεῖλος ἅλφιτ', οὐ Κόρυδος ἀσύμβολος
κινεῖν ὀδόντας.

Athenaeus VI p. 240e de Tithymallo parasito: *Τιμοκλῆς — ἐν δ' Ἐπιστολαῖς Οἴμοι κακοδαίμων κτλ.* Vs. 3 pro οὕτω B οὕτως. Ib. *Κόρμος* P. Vulgo *Κορμός*. Vs. 4 A νειλλος (sic). BP νεῖλλος. Ib. ante Casaub. ἀλφίτου pro ἅλφιτ', οὐ.

II (3, 597)

10

Ὁ Δημοτίων δὲ παραμενεῖν αὐτῷ δοκῶν
τἀργύριον οὐκ ἐφείδετ', ἀλλὰ παρέτρεφεν
τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν παντελῶς
οἰκαδε βαδίζειν ᾤετ', ὦ ταλάντατος.
καὶ μὴν ἔτι τοῦτ' ἔστιν ἄξιον μόνον,
τὸν παραμασήτην λαμβάνει δίκρουν ξύλον·
οὔτ' εὔρυθμος γάρ ἐστιν οὔτ' ἀχρήματος.

Athenaeus VI p. 243 b: *Τιμοκλῆς δ' ἐν Ἐπιστολαῖς καὶ ὡς Δημοτίωνι τῷ ἀσώτῳ παρασιτοῦντος αὐτοῦ* (Chaerephontis) *μνημονεύει Ὁ Δημοτίων κτλ.* Vs. 1 ante Schweigh. *παραμένειν.* Vs. 4 "ᾤετ' V ᾤετο BP ᾤεϑ' L ὦ *ταλάντατος* BP *ὠταλάντατος* V, et simili quodam modo videtur in A, ὁ *ταλάντατος* L." *Dindorfius.* Eo auctore scripsi ὦ *ταλάντατος*. Sed aliud quid latet. Vs. 5 Toupius tentabat *τοῦτ' οὐκ ἔστ' ἀνάξιον*, quod probans Schweigh. vs. 6 coniiciebat *τὸ παραμασήτην λαμβάνειν δίκρουν ξύλον;* Nihil his commentis in loco corruptissimo proficitur.

ΕΠΙΧΑΙΡΕΚΑΚΟΣ

(3, 597. 598)

11

Ἀγορὰν ἰδεῖν εὔοψον εὐποροῦντι μέν
ἥδιστον, ἂν δ' ἀπορῇ τις ἀϑλιώτατον.
ὁ γοῦν Κόρυδος ἄκλητος, ὡς ἐμοὶ δοκεῖ,
γενόμενος ὠψώνει παρ' αὐτὸν οἰκαδε.

5 *ἦν δὲ τὸ πάθος γελοῖον. οἴμοι τέτταρας*
χαλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν
θύννεια νάρκας καράβους ἡμιωδία.
καὶ ταῦτα πάντα μὲν περιελθὼν ἤρετο
ὁπόσου, πυθόμενος δ' ἀπέτρεχ' εἰς τὰς μεμβράδας.

Athenaeus VI p. 241 a: *μνημονεύει δ' αὐτοῦ* (Corydi parasiti) *Τιμοκλῆς ἐν Ἐπιχαιρεκάκῳ οὕτως Ἀγορὰν ἰδεῖν κτλ.* Hinc colorem duxit Pomponius apud Nonium s. v. Revortit: ***Cenam quaeritat; si eum nemo vocat, domum revortit maestus ad menam miser.*** Vs. 4 *ὠψώνει* Schweighaeuserus pro *ὀψωνεῖ*. Vs. 6 malim *ἄνθρωπος*. Vs. 7 *θύνεια* C *θυννεῖα* VL *θυνία* P. Ibid. *ἡμωδία* pro *ἠμωδία* Casaubonus. Vs. 8 *πάντα μέν*. P *πάντα ημέν*, in quo *πάντη μέν* latere videtur Dindorfio. *μὲν* a cod. B abest. Vs. 9 *ἀπέτρεχ' εἰς* Casaubonus. *ἀποτρέχεις* ABP *ἀποτρέχει εἰς* C *ἀπότρεχ' εἰς* VL.

H P Ω E Σ

I (3, 598) 12

Οὐκοῦν κελεύεις νῦν με πάντα μᾶλλον ἢ
τὰ προσόντα φράζειν. πάνυ γε δράσω τοῦτό σοι.
B. *καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης*
*ὀργιζόμενος. **A.*** *ὁ ποῖος; **B.*** *ὁποῖος; ὁ Βριάρεως,*
ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων,
μισῶν λόγους ἄνθρωπος, οὐδὲ πώποτε
ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ' Ἄρη βλέπων.

Athenaeus VI p. 224 a de Demosthenis in verbis *δοῦναι* et *ἀποδοῦναι* lusu comicorum exempla afferens: *Τιμοκλῆς δ' ἐν Ἥρωσιν Οὐκοῦν κτλ.* Vs. 1 libri *νῦν με τὰ πάντα*, correxit Elmsl. ad Acharn. 963. Vs. 4 *ὁ ποῖος; B. ὁποῖος;* correxi iam olim Curis crit. p. 24. Libri *ὁποῖος* semel. Eandem emendationem postea fecit Dobraeus Adv. II p. 309. Pro *Βριάρεως* ingeniose Dindorfius *βριαρὸς* scripsit. Si quid tamen mutandum est, fortasse *Βριαρεὺς* scribendum. Vs. 6 Elmsleius *μισῶν λόγους τ' ἄνθρωπος*.

II (3, 599) 13

Ὡς δ' ἦν ἠρμένη
βίου τιθήνη, πολεμία λιμοῦ, φύλαξ
φιλίας, ἰατρὸς ἐκλύτου βουλιμίας,
*τράπεζα. **B.*** *περιέργως γε νὴ τὸν οὐρανόν,*
ἐξὸν φράσαι τράπεζα συντόμως.

Athenaeus X p. 455 f de figurato dicendi usu disserens: *Τιμοκλῆς δ' ἐν Ἥρωσιν Ὡς δ' ἦν κτλ.* Cfr. Eustathius ad Od. p. 1586 20. Vs. 4 *γε* a Casaubono additum. Vs. 5 *τράπεζα* BC *τράπεζαν* PVL.

ΙΚΑΡΙΟΙ ΣΑΤΥΡΟΙ

14 I (3, 600)

Ἄνντος ὁ παχὺς πρὸς Πυθιονίκην ὅταν
ἐλθὼν φάγῃ τι· καλεῖ γὰρ αὐτόν, ὥς φασιν,
ὁπόταν Χαιρεφίλου τοὺς δύο σκόμβρους
ξενίσῃ μεγάλους ἡδομένη.

15 II (3, 600)

Ἡ Πυθιονίκη δ' ἀσμένως σε δέξεται,
καί σου κατέδεται τυχὸν ἴσως ἃ νῦν ἔχεις
λαβὼν παρ' ἡμῶν δῶρ'· ἄπληστός ἐστι γάρ.
ὅμως δὲ δοῦναί σοι κέλευσον σαργάνας
αὐτήν· ταρίχους εὐπόρως γὰρ τυγχάνει
ἔχουσα καὶ σύνεστι σαπέρδαις δυσίν,
καὶ ταῦτ' ἀνάλτοις καὶ πλατυρρύγχοις τισίν.

Athenaeus VIII p. 339 d: *Πυθιονίκην δέ φησι* (Antiphanes) *φιλῆδεῖν ταρίχῳ, ἐπεὶ ἐραστὰς εἶχε τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὡς Τιμοκλῆς ἐν Ἰκαρίοις φησίν Ἄνντος — ἡδομένη. καὶ πάλιν Ἡ Πυθιονίκη κτλ.* In primo fragmento, quod respicit Alexis fragm. 76, pro *φασὶν* AB habent *φησίν*. Tum *ὁπόταν* dedit B. Pro *μεγάλους*, quod ineptum est scombrorum, minutorum piscium, epitheton, Casaubonus coniicit *μεγάλως*. Numeros Hermannus Opusc. I p. 51 ita describendos suspicatur: . . . *Ἄνντός θ' ὁ παχὺς πρὸς Πυθιονίκην* | *ὅταν ἐλθών τι φάγῃ·* | *καλεῖ γὰρ αὐτόν, ὥς φασ',* | *ὁπόταν Χαιρεφίλου* | *τοὺς δύο σκόμβρους ξενίσῃ,* | *μεγάλοις ἡδομένη.* In altero fragmento vs. 4 *σαργάνας* Porsonus. Libri *σαργανίας*. Idem vs. 5 recte post *αὐτὴν* incidit et *ταρίχους* ad sequentia traxit. Vulgo *αὐτὴν ταρίχους*, ut *ταρίχους* a *σαργάνας* pendeat. Vs. 6 *σύνεστις απερδεις* A. Correxit Scaliger.

16 III (3, 602)

Τόν τ' ἰχθυόρρουν ποταμὸν Ὑπερείδην πέρα,
ὃς ἠπίαις φωναῖσιν ἔμφρονος λόγου
κόμποις παφλάζων ἠπίοις πυκνώμασιν
πρὸς πᾶν δύσας ἔχει,
μισθωτὸς ἄρδει πεδία τοῦ δεδωκότος.

Athenaeus VIII p. 342 a: *καὶ Ὑπερείδης δὲ ὁ ῥήτωρ ὀψοφάγος ἦν, ὥς φησι Τιμοκλῆς ὁ κωμικὸς ἐν Δήλῳ, διηγούμενος τοὺς παρὰ Ἀρπάλου δωροδοκήσαντας. γράφει δ' οὕτως Δημοσθένης — Σύρους. καὶ ἐν Ἰκαρίοις δὲ ὁ αὐτὸς ποιητής φησι Τόν τ' ἰχθυόρρουν κτλ.* Vs. 1 *ἰχθυόρρουν* AC et epit. Hoesch. *ἰχθυόρρον* BPVL. Tum *πέρα ὃς ἠπίαις* Iacobsius. Vulgo *πέρασον σηπίαις.* Iacobsii vestigiis insistens Dobraeus pro *πέρα* scripsit *περᾷς.* Vs. 3 B *πεφλάζων* pro *παφλάζων.* Dobraeus *κομψὸς παφλάζων αἰμύλοις πυκνώμασιν.* Vs. 4 *πρὸς πᾶν δύσας* Schweighaeuserus pro *προσπανδύσας.* Versum Dobraeus ita redintegrabat: *πρὸς πᾶν ἀναιδεύσαιτ' ἄν, εὐφυῶς τ' ἔχει μισθωτὸς ἄρδειν κτλ.* Hermannus autem Opusc. I p. 50 sic: *πρὸς παντὸς ὅστις χρυσὸν ἐνδύσας ἔχῃ.*

IV (3, 603) 17

Ὥστ' ἔχειν οὐδὲν παρ' ἡμῖν· νυκτερεύσας δ' ἀθλίως
πρῶτα μὲν σκληρῶς καθεῦδον, εἶτα Θούδιππος ὁ λέων
παντελῶς ἔπηξεν ἡμᾶς, εἶθ' ὁ λιμὸς ἥπτετο.
ἐφέρετο πρὸς Δίωνα τὸν διάπυρον· ἀλλὰ γάρ
οὐδ' ἐκεῖνος οὐδὲν εἶχε. πρὸς δὲ τὸν χρηστὸν δραμιών
Τηλέμαχον Ἀχαρνέα σωρόν τε κνάμων καταλαβών
ἁρπάσας τούτων ἐνέτραγον. ὁ δ' ὄνος ἡμᾶς ὡς ὁρᾷ,
[ὥσπερεὶ] Κηφισόδωρος περὶ τὸ βῆμ' ἐπέρδετο.

Athenaeus IX p. 407 f de Telemacho Acharnensi disserens allato Timoclis loco e Dionyso ita pergit: *ἐν δ' Ἰκαρίοις σατύροις φησίν Ὥστ' ἔχειν — περὶ τὸ βῆμ' ἐπέρδετο. ἐκ τούτων δῆλόν ἐστιν ὅτι ὁ Τηλέμαχος κνάμων χύτρας ἀεὶ σιτούμενος ἦγε Πυανέψια πορδὴν ἑορτήν.* Vs. 1 *οὐδεὲν* ante Schweighaeuserum. Vs. 2 *καθεῦδον* Iacobsius. Libri *καθεύδω.* Ibid. Bergkius: *εἶθ' ὁ Θουδίππου Κλέων παντελῶς ἔπηξεν ἡμᾶς.* Mihi scribendum videbatur: *εἶτα Θούδιππος βδέων παντελῶς ἔπνιξεν ἡμᾶς.* Vs. 4 Hermannus Opusc. I p. 52 tentat *εἶτ' ἐφέρετο.* At sententia requirit *ἐφερόμην.* Paullo melius igitur Iacobsius *εἶτ' ἐφεῖρπον.* Fortasse scribendum *ἐφερόμεσθ' οὖν.* Vs. 7 *ἐνέτραγον* B *ἀνέτραγον* PL *ἀνέτρον* V. Hermannus *ἂν ἔτραγον.* Vs. 8 articulum, qui vulgo ante *Κηφισόδωρος* legitur, cum BP delevi, et lacunam explevi addito *ὥσπερεί.*

K A Y N I O I

(3, 604) 18

Ἤδη προσενήνεκται. τί μέλλεις; σπεύδετε,
ὦ τᾶν. ὁ γὰρ Τιθύμαλλος οὕτως ἀνεβίω

κομιδῇ τεθνηκώς, τῶν ἀν' ὀκτὼ τοὐβολοῦ
θέρμους μαλάξας. οὐκ ἀπεκαρτέρησε γάρ
ἐκεῖνος, ἀλλ' ἐκαρτέρησ', ὦ φίλτατε,
πίνων.

Athenaeus VI p. 240 d de Tithymallo parasito disserens: *Τιμοκλῆς — ἐν — Καννίοις Ἤδη προσενήνεκται κτλ.* Vs. 1 *μέλλεις* Iacobsius pro *μέλλει*. Vs. 3 *ἀν' ὀκτὼ* Casaubonus pro *ἂν ὀκτώ*. Vs. 4 ante Dindorfium *ἀποκαρτέρησε*. B *ἐπεκαρτέρησε*. Vs. 5 *ἀλλ' ἐκαρτέρησ'* om. B *ἐκαρτέρησ'* P *ἐκαρτέρησεν* VL. Pro *πίνων* suspicabar *πεινῶν*.

ΚΕΝΤΑΥΡΟΣ Η ΔΕΞΑΜΕΝΟΣ

19 (3, 605)

Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν.

Athenaeus VI p. 240 d de Tithymallo parasito: *Τιμοκλῆς Κενταύρῳ ἢ Δεξαμενῷ Τιθύμαλλον κτλ.*

Κ Ο Ν Ι Σ Α Λ Ο Σ

20 (3, 606)

Πατάξω τ' ἴσον ἴσῳ ποτηρίοις
μεγάλοις ἅπασαν τὴν ἀλήθειαν φράσαι.

Athenaeus X p. 430 f: *ἴσον ἴσῳ δὲ Τιμοκλῆς ἐν Κονισάλῳ Πατάξω κτλ.*

Δ Η Θ Η

21 (3, 606)

Μετὰ τοῦτον αὐτῷ Τηλέμαχος συνετύγχανεν.
καὶ τοῦτον ἀσπασάμενος ἡδέως πάνυ
ἔπειτα "χρῆσόν μοι σύ, φησί, τὰς χύτρας
ἐν αἷσιν ἥψες τοὺς κυάμους." καὶ ταῦτά τε
εἴρητο καὶ παριόντα Φείδιππον πάνυ
τὸν Χαιρεφίλου πόρρωθεν ἀπιδὼν τὸν παχύν
ἐπόππυσ', εἶτ' ἐκέλευσε πέμπειν σαργάνας.

Athenaeus IX p. 407 c de Telemacho Acharnensi disserens: *Τιμοκλῆς — ἐν μὲν δράματι Λήθῃ φησί Μετὰ τοῦτον κτλ.* Vs. 4 libri *ἐν αἷς συνῆψας*. Correximus partim ego partim Dindorfius. Vs. 5 *εἴρητο* et *Φείδιππον* pro *εἴρηται* et *Φίλιππον* Porsono debetur. Pro *πάνυ* nescio an *πάλιν* scribendum sit.

Μ Α Ρ Α Θ Ω Ν Ι Ο Ι

22 (3, 607)

Ὅσον τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετά
χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι, βαβαί.

ἡ στιφρότης, τὸ χρῶμα, πνεῦμα, δαίμονες,
τό τε μὴ σφόδρ' εἶναι πάνθ' ἕτοιμα, δεῖν δέ τι
ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί τε καί
πληγὰς λαβεῖν ἁπαλαῖσι χερσίν· ἡδύ γε
νὴ τὸν Δία τὸν μέγιστον.

Athenaeus XIII p. 570 f: *ἢ ἥδιστόν ἐστί σοι, ὡς ἐν Μαραθωνίοις φησὶ Τιμοκλῆς Ὅσον κτλ.* Vs. 1 pro *ὅσον* legebatur *θεόν*. Correxit Iacobsius. Vs. 4 scripsi *τό τε* pro *τό*. Tum *δέ τι* Porsonus. Vulgo *δ' ἔτι*. Vs. 5 *τε καὶ* Iacobsius pro *γε καί*.

NEAIPA

I (3, 607) 23

Ἀλλ' ἔγωγ' ὁ δυστυχὴς
Φρύνης ἐρασθείς, ἡνίκ' ἔτι τὴν κάππαριν
συνέλεγεν οὔπω τ' εἶχεν ὅσαπερ νῦν ἔχει,
πάμπολλ' ἀναλίσκων ἐφ' ἑκάστῳ τῆς θύρας
ἀπεκλειόμην.

Athenaeus XIII p. 567 e: *διὸ καὶ θρηνῶν τις αὐτὸν παράγεται ὑπὸ Τιμοκλέους ἐν Νεαίρᾳ Ἀλλ' ἔγωγ' κτλ.* Vs. 3 *οὔπω τ'* A *οὔποτ'* PVL. Eundem versum respicit Athenaeus XIII p. 591 d: *εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς* (Phrynae meretricis) *Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ* (*πρόκειται τὸ μαρτύριον*) —

II (3, 608) 24

Ἔπειτα διά τε ταῦτ' ἀναρίστητος ὤν.

Suidas, *Ἀνάριστος μᾶλλον ἢ ἀναρίστητος — Τιμοκλῆς Νεαίρᾳ Ἔπειτα διά τε ταῦτ' ἀναρίστητος ὤν.* Pro *διά τε*, quod sane corruptum est, Bernhardius *διά γε*.

ΟΡΕΣΤΑΥΤΟΚΛΕΙΔΗΣ

I (3, 608) 25

Περὶ δὲ τὸν πανάθλιον
εὕδουσι γρᾶες, Νάννιον, Πλαγγών, Λύκα,
Γνάθαινα, Φρύνη, Πυθιονίκη, Μυρρίνη,
Χρυσίς, Κοναλλίς, Ἱερόκλεια, Λοπάδιον.

Athenaeus XIII p. 567 e: *καὶ ἐν τῷ ἐπιγραφομένῳ δ' Ὀρεσταυτοκλείδης ὁ αὐτὸς Τιμοκλῆς φησι Περὶ δὲ τόν κτλ.* Vs. 3 *Μυρρήνη* B. Vs. 4 *Κοναλὶς* A. Forsan *Κοβαλίς*.

II (3, 608) 26

Harpocratio p. 146 3. *Παράβυστον: οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ιά.* —

μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ.

ΠΟΛΥΠΡΑΓΜΩΝ

27 (3, 609)

Εἶθ' ὁ Καλλιμέδων ἄφνω
ὁ Κάραβος προσῆλθεν, ἐμβλέπων δ' ἐμοί,
ὡς γοῦν ἐδόκει, πρὸς ἕτερον ἄνθρωπόν τινα
ἐλάλει, συνιεὶς δ' οὐδὲν εἰκότως ἐγώ
ὧν ἔλεγεν ἐπένευον διακενῆς· τῷ δ' ἄρα
βλέπουσι χωρὶς καὶ δοκοῦσιν αἱ κόραι.

Athenaeus VIII p. 339 e: *περὶ δὲ Καλλιμέδοντος τοῦ Καράβου ὅτι καὶ φίλιχθυς ἦν καὶ διάστροφος τοὺς ὀφθαλμοὺς Τιμοκλῆς ἐν Πολυπράγμονι Εἶθ' ὁ Καλλιμέδων κτλ.* Vs. 3 *ὡς δ' οὖν* ante Porsonum, qui cetera ita constituit, *ἐμβλέπων ἐμοί, ὡς γοῦν ἐδόκει, πρὸς δ' ἕτερον κτλ.* Vs. 4 vulgo *συνεὶς δέ γ'*. BP *συνεὶς δ'*. Correxit Dindorfius.

ΠΟΝΤΙΚΟΣ

28 (3, 609)

Πολλοὺς γὰρ ἐνιοθ' ἡ πενία βιάζεται
ἀνάξι' αὐτῶν ἔργα παρὰ φύσιν ποιεῖν.

Stobaeus Floril. XCVI 22 cum lemmate *Τιμοκλέους Ποντικοῦ.*

ΠΟΡΦΥΡΑ

Vide Xenarchi fabulam cognominem.

ΠΥΚΤΗΣ

29 (3, 610)

Εὑρήσεις δὲ τῶν ἐπισιτίων
τούτων τινάς, οἳ δειπνοῦσιν ἐσφυδωμένοι
τἀλλότρι', ἑαυτοὺς ἀντὶ κωρύκων λέπειν
παρέχοντες ἀθληταῖσιν.

Athenaeus VI p. 246 f: *κοινῇ δὲ περὶ παρασίτων εἰρήκασι Τιμοκλῆς μὲν ἐν Πύκτῃ ἐπισιτίους καλῶν αὐτοὺς ἐν τοῖσδε Εὑρήσεις κτλ.* Vs. 1 *δὲ* B *τε* PVL. Vs. 2 *ἐσφυδωμένοι* ABDQ *ἐσφυδώμενοι* PV *ἐσφειδωμένοι* Basil. L. om. C. Casaubonus *ἐσφηνωμένοι.* Vs. 3 *λέπειν* scripsi pro *λέγειν*, Porsonus *δέρειν.*

Σ Α Π Φ Ω

(3, 610) 30

Ὁ Μισγόλας οὐ προσιέναι σοι φαίνεται,
ἀνθοῦσι τοῖς νέοισιν ἡρεθισμένος.

Athenaeus VIII p. 339a Misgolam citharoedum dicens *ἐσπουδακότα περὶ κιθαρῳδοὺς καὶ κιθαριστὰς ὡραίους. — καὶ Τιμοκλῆς ἐν Σαπφοῖ φησιν Ὁ Μισγόλας κτλ.* Ita AC. *Σμιγόλας* PVL.

Σ Υ Ν Ε Ρ Γ Ο Ι

(3, 611) 31

Τοῖς μὲν τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός,
τοῖς ζῶσι δ' ἕτερον ἀνοσιώτατον φθόνος.

Stobaeus Floril. CXXV 10 cum lemmate *Τιμοκλέους Συνεργικά*, in quo *Συνεργοὶ* aut *Συνέριθοι* latet. Voss. *Τιμοκλέους*, omisso *Συνεργικά*. Trinc. *Ἀρχιλόχου*. Timocli idem locus tribuitur a Theophilo ad Autolycum p. 378 f: *τούτοις ἀκόλουθα εἴρηκε καὶ Τιμοκλῆς λέγων Τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός.* Altero versu codd. AB *ἀνοσιώτατος*. Ibid. *ζῶσι δὲ τέρας* Emperius.

Φ Ι Λ Ο Δ Ι Κ Α Σ Τ Η Σ

(3, 611) 32

Ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς
ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐάν
βούληθ' ὁ γυναικονόμος τὸν ἀριθμὸν λαμβάνειν,
κατὰ τὸν νόμον τὸν καινὸν ὅπερ εἴωθε δρᾶν,
τῶν ἐστιωμένων. ἔδει δὲ τοὔμπαλιν
τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

Athenaeus VI p. 245 b de *γυναικονόμοις* disserens: *Τιμοκλῆς ἐν Φιλοδικαστῇ φησιν οὕτως Ἀνοίγετ' ἤδη κτλ.* Vs. 3 *τὸν ἀριθμὸν λαμβάνειν* Dobraeus. Libri *λαβεῖν ἀριθμόν.*

Ψ Ε Υ Δ Ο Λ Η Ι Σ Τ Α Ι

(3, 612) 33

Καταμαθὼν δὲ κειμένην
θερμὴν σκάφην θερμῶν ἰπνιτῶν ἥσθιον.

Athenaeus III p. 109 c: *οὗ (ἄρτου ἰπνίτου) μνημονεύειν Τιμοκλέα ἐν Ψευδολῃσταῖς οὕτως Καταμαθὼν δὲ κειμένην θερμὴν σκάφην θερμῶν ἰπνιτῶν ἥσθιον.* Pro *θερμὴν* scribendum videtur *πλήρη* vel simile quid. Dindorfius praeeunte

Dobraeo locum ita edidit: *καταμαθὼν δὲ κειμένην σκάφην | θερμὴν ἱππιτῶν ἥσθιον.*

INCERTARVM FABVLARVM FRAGMENTA

34 I (3, 612)

Ὅστις φοβεῖται τὸν πατέρα κἀσχύνεται,
οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον,
καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.

Stobaeus Floril. LXXIX 17 cum lemmate *Τιμοκλέους*. Versu altero *ὄντως* A.

35 II (3, 612)

Τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ ἔχει τοῦτο μηδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

Stobaeus Floril. XCI 15 cum lemmate *Τιμοκλέους*. Pro *ἔχει* A habet *ἔχῃ*.

36 III (3, 613)

Χῖοι πολύ
ἄριστ' ἀνευρήκασιν ὀψαρτυτικήν.

Athenaeus I p. 25 f: *μαρτυροῦνται γὰρ καὶ Χῖοι οὐκ ἔλαττον τῶν προειρημένων ἐπὶ ὀψαρτυτικῇ. Τιμοκλῆς Χῖοι πολύ κτλ.*

37 IV (3, 613)

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

Plutarchus vit. dec. orat. p. 845 b: *προελθὼν* (Demosthenes) *πάλιν εἰς τὰς ἐκκλησίας νεωτερικῶς τινα λέγων διεσύρετο, ὡς κωμῳδηθῆναι αὐτὸν ὑπὸ Ἀντιφάνους καὶ Τιμοκλέους Μὰ γῆν κτλ.* Adde V. Demosth. c. 9 et schol. Aristophanis Av. 194.

38 V (3, 613. 5, 96)

Σὺ χ' ἔλαιον ἰσχάδας μέλι.
Β. σὺ μὲν εἰρεσιώνην, οὐ γεωργίαν λέγεις.

Clemens Alex. Strom. IV p. 566 Pott.: *οἱ στρωματεῖς ἡμῶν κατὰ τὸν γεωργὸν Τιμοκλέους τοῦ κωμικοῦ σὺ χ' ἔλαιον ἰσχάδας μέλι προσοδεύουσι, καθάπερ ἐκ παμφόρου χωρίου. δι' ἣν εὐκαρπίαν ἐπιφέρει Σὺ μὲν εἰρεσιώνην, οὐ γεωργίαν λέγεις.* Videtur poeta *Γεωργίαν* in scenam produxisse. Fabulae, ex qua haec servavit Clemens, nunc vix dubito quin *Γεωργὸς* nomen fuerit.

VI (3, 613) 39

Hesychius, *Ἀπυξίνου: ἀπονεύρου. Τιμοκλῆς.* **Probabiliter H. Stephanus** *ἀπεξίνου* (ab *ἀπεξινόω*) **et** *ἀπενεύρου.* **Cod.** *Ἀπυξῖνος, ἀπονεύρ̈. Τιμοκλέους.*

XENARCHVS

BOYTAΛIΩN

(3, 614) 1

Φθίνει δόμος
ἀσυστάτοισι δεσποτῶν κεχρημένος
τύχαις, ἀλάστωρ τ᾽ εἰσπέπαικε Πελοπιδῶν.
ἄστυτος οἶκος, κοὔτε βυσαύχην θεᾶς
Δηοῦς σύνοικος, γηγενὴς βολβός, φίλοις
ἐφθὸς βοηθῶν, δυνατός ἐστ᾽ ἐπαρκέσαι·
μάτην δὲ πόντου κυανέαις δίναις τραφείς
φλεβὸς τροπωτήρ, πουλύπους, ἁλοὺς βρόχων
πλεκταῖς ἀνάγκαις, τῆς τροχηλάτου κόρης
πίμπλησι λοπάδος στερροσώματον κύτος.

Servavit Athenaeus II p. 63 f de bulborum ad Venerem stimulandam vi disserens. Vs. 2 *ἀσυστάτοισι* Dindorfius et Blomfieldus. *ἀσυντάτοισι* BCD *ἀστύτοισι* VL et Eustathius ad Iliad. p. 1283 28. Vs. 3 vulgo ita distinguitur *ἀλάστωρ τ᾽ εἰσπέπαικε. Πελοπιδῶν ἄστυτος οἶκος.* Neque enim Pelopidarum domum *ἄστυτον* esse dicit, sed Pelopidarum *ἀλάστορα* in domum irruisse, h. e. domum esse interituram affirmat. Vs. 4 verba *ἄστυτος οἶκος* commemorat Eustath. p. 862 44. Vs. 5 pro *φίλοις* Iacobsius *σιφλοῖς.* Ibid. vulgo *θεᾷ Δηοῖ.* Libri *θεᾶς Δηοῦν,* unde correxit Schweighaeuserus. Vs. 8 *βρόχων* Porsonus pro *βροτῶν.* Vs. 9 pro *τροχηλάτου* cod. C *τροχηλάτης.* Vs. 10 libri *στερνοσώματον,* correxit Lobeckius ad Phryn. p. 176. Dobraeus proposuit *στεγνοσώματον.*

ΔIΔYMOI

I (3, 616) 2

Ὡς ὑπό τι νυστάζειν γε καὐτὸς ἄρχομαι.
ἦ τἀγαθοῦ δαίμονος . . . . . .
συνέσεισέ μ᾽ ἐκποθεῖσα φιάλη παντελῶς,
ἦ τοῦ δὲ σωτῆρος Διὸς τάχιστά γε
ἀπώλεσε ναύτην καὶ κατεπόντωσέν μ᾽ ὁρᾷς.

Athenaeus XV p. 693 b: *Ξέναρχος ἐν Διδύμοις Ὡς ὑπό τι κτλ.* Vs. 1 legebatur *ὡς εὔποτε νυστάζειν.* Correxit Porsonus. Vs. 2 fortasse *ἦ τἀγαθοῦ μὲν δαίμονος γὰρ νὴ Δία.* Porsonus: *ἦ τοῦ μὲν ἀγαθοῦ δαίμονος πρώτιστα γάρ.* Vs. 5 ante Canterum *ἀπώλεσεν αὐτήν.*

3 II (3, 616)

Πίμπλα σὺ μὲν ἐμοί, σοὶ δ' ἐγὼ δώσω πιεῖν·
ἀμυγδαλῇ μὲν παιζέτω παρ' ἀμυγδαλῆν.

Athenaeus X p. 426 b: *Πίμπλα — ἀμυγδαλῆν. ταῦτα δ' ἔφη Ξέναρχος ἐν Διδύμοις.* Pro *πίμπλα* forsan *πίμπλη.*

Π Ε Ν Τ Α Θ Λ Ο Σ

4 I (3, 617)

Δεινὰ δεινὰ κοὐκ ἀνασχετά
ἐν τῇ πόλει πράττουσιν οἱ νεώτεροι.
ὅπου γὰρ οὐσῶν μειράκιων μάλ' εὐπρεπῶν
ἐπὶ τοῖσι πορνείοισιν, ἃς ἔξεσθ' ὁρᾶν
5 *εἰληθερούσας, στέρν' ἀπημφιεσμένας,*
γυμνὰς ἐφεξῆς τ' ἐπὶ κέρως τεταγμένας·
ὧν ἔστιν ἐκλεξάμενον ᾗ τις ἥδεται,
λεπτῇ, παχείᾳ, στρογγύλῃ, μακρᾷ, ῥικνῇ,
νέᾳ, παλαιᾷ, μεσοκόπῳ, πεπαιτέρᾳ,
10 *μὴ κλίμακα στησάμενον εἰσβῆναι λάθρᾳ,*
μηδὲ δι' ὀπῆς κάτωθεν εἰσδῦναι στέγης,
μηδ' ἐν ἀχύροισιν ἐσενεχθῆναι τέχνῃ.
αὗται βιάζονται γὰρ εἰσέλκουσί τε,
τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
15 *πατρίδια, τοὺς δ' ἀπφάρια, τοὺς νεωτέρους.*
καὶ τῶνδ' ἑκάστην ἔστιν ἀδεῶς, εὐτελῶς,
μεθ' ἡμέραν, πρὸς ἑσπέραν, πάντας τρόπους·
ἃς δ' οὔτ' ἰδεῖν ἔστ' οὔθ' ὁρῶντ' ἰδεῖν σαφῶς,
ἀεὶ δὲ τετρεμαίνοντα καὶ φοβούμενον.
20 [*δεδιότα ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχοντα*]
ἃς πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
βινεῖν δύνανται, τῶν Δρακοντείων νόμων
ὁπόταν ἀναμνησθῶσι προσκινούμενοι;

Athenaeus XIII p. 569 a: *ἐπιτιμᾷ δὲ καὶ Ξέναρχος ἐν Πενταθλῳ τοῖς παραπλησίως σοι βιοῦσι καὶ ἑσπουδακόσι περὶ τὰς μεγαλομίσθους ἑταίρας καὶ τὰς ἐλευθέρας τῶν γυναικῶν ταυτὶ λέγων Δεινά κτλ.* Vs. 3 forsan *ὅπου παρουσῶν.* Dobraeus

ὡς οὐ παρουσῶν. Vs. 5 libri *στέρνα τ' ἠμφιεσμένας.* Correxit Tyrwhittus. Vs. 9 affert Eustath. p. 883 36. Vs. 10 legebatur *κλίμαχ' αἰτησάμενον,* quod correxi. Vs. 11 libri *ἐκδῦναι στέγης.* C *ἐκδυναστείης.* Correxit Dobraeus. Vs. 13 sqq. Cfr. Eustath. ad Hom. p. 886 34. Vs. 13 Dobraeus *αὐταί.* Vs. 16 *ἑκάστην* Dalecampii est emendatio pro *ἕκαστον.* Vs. 18 Dindorfius praeeunte Iacobsio scripsit *τὰς δ'.* Ibid. Dobraeus corrigit: *οὐκ ἰδεῖν ἔστ' οὐδ' ὁρῶντ' ἤδη σαφῶς,* vel *οὔτ' ἰδεῖν ἔστ' οὔτ' ἰδόνθ' ὁρᾶν σαφῶς.* Mihi non liquet. Vs. 19 *τετρεμαίνοντι* VL *τετραμένον τε* AB. Vs. 20 seclusi ut spurium. Vs. 21 totus ex Euripidis Hippol. 415 effictus est, *αἰ αἰ πῶς ποτ' ὦ δέσποινα ποντία Κύπρι κτλ.*

II III (3, 620) s. 6

Ἐμοὶ γένοιτο σοῦ ζώσης, τέκνον,
ἐλεύθερον πιοῦσαν οἶνον ἀποθανεῖν.
Ὅρκον δ' ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

Athenaeus X p. 440 e: *ὅτι δὲ φίλοινον τὸ τῶν γυναικῶν γένος κοινόν. οὐκ ἀχαρίστως δὲ καὶ ὁ Ξέναρχος ἐν τῷ Πενταέθλῳ γυναῖκά τινα εἰσάγει φρικτότατον ὅρκον ὀμνύουσαν τόνδε Ἐμοί κτλ.* Recte Casaubonus interpretatur: *utinam, priusquam moriar, libertatem possim consequi!* Alterum fragmentum servavit Athenaeus X p. 441 e: *Ξέναρχος Πενταέθλῳ, Ὅρκον δ' ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.* Helladius Photii Bibl. p. 530 15: *ὁ στίχος ὁ καὶ παροιμιαζόμενος "ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω" ἐστὶ μὲν Σοφοκλέους — οἱ δὲ τὰς γυναῖκας σκώπτοντές φασιν "ὅρκους ἐγὼ γυναικῶν εἰς οἶκτον γράφω",* ubi recte Scaliger *γυναικὸς* et *οἶνον* correxit.

Π O P Φ Y P A

I (3, 621) 7

Οἱ μὲν ποιηταὶ λῆρός εἰσιν· οὐδὲ ἓν
καινὸν γὰρ εὑρίσκουσιν, ἀλλὰ μεταφέρει
ἕκαστος αὐτῶν ταὔτ' ἄνω τε καὶ κάτω.
τῶν δ' ἰχθυοπωλῶν φιλοσοφώτερον γένος
οὐκ ἔστιν οὐδὲν οὐδὲ μᾶλλον ἀνόσιον.
ἐπεὶ γὰρ αὐτοῖς οὐκέτ' ἔστ' ἐξουσία
ῥαίνειν (ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ),
εἴς τις θεοῖσιν ἐχθρὸς ἄνθρωπος πάνυ
ξηραινομένους ὡς εἶδε τοὺς ἰχθῦς, μάχην
ἐποίησ' ἐν αὐτοῖς ἐξεπίτηδες εὖ πάνυ·
ἦσαν δὲ πληγαί, καιρίαν δ' εἰληφέναι
δόξας καταπίπτει καὶ λιποψυχεῖν δοκῶν

ἔκειτο μετὰ τῶν ἰχθύων. βοᾷ δέ τις,
ὕδωρ ὕδωρ. ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
τῶν ὁμοτέχνων τις τοῦ μὲν ἀκαρῆ παντελῶς
κατέχεε, κατὰ τῶν ἰχθύων δ' ἀπαξάπαν.
εἴποις γ' ἂν αὐτοὺς ἀρτίως ἡλωκέναι.

Athenaeus VI p. 225 c de piscariorum fraudibus disserens: *Ξέναρχος Πορφύρᾳ Οἱ μὲν ποιηταὶ (φησὶ) λῆρος κτλ.* Vs. 3 *ταῦτ'* Dindorfius pro *ταῦτ'*. B *ταὐτά.* Vs. 8 vulgo *εἴ τις.* A *εἶτ' εἰς.* Correxit Hermannus. Vs. 9 *ὡς εἶδε* C. Vulgo *εἰσεῖδε.* Ceteri libri *ὡς ἴδε.* Vs. 10 ante Schweighaeuserum *ἐποίησεν αὐτοῖς.* Vs. 14 vulgo semel *ὕδωρ,* quod duplicandum esse vidit Iacobsius. Tum *ἐξάρας* Casaubonus. *ἐξαίρας* A. Vs. 15 pro *ἀκαρῆ* B *ἀκαρεῖ.* C *ἀκαρεί.* an *ἀκαρί*? Vs. 16 ante Dindorfium *κατὰ δὲ τῶν ἰχθύων.* Tum *ἀπαξάπαν* pro *ἅπαξ ἐπάνω* Casaubonus. Vs. 17 *εἴποις γ'* C. Vulgo *εἴποις τ'.*

8 II (3, 622)

Εἶθ' ἁλιεὺς ὢν ἄκρος σοφίαν
ἐν μὲν παγούροις τοῖς θεοῖς ἐχθροῖσι καί
ἰχθυδίοις εὕρηκα παντοδαπὰς τέχνας,
γέροντα βούγλωττον δὲ μὴ ταχέως πάνυ
συναρπάσομαι; καλόν γ' ἂν εἴη.

Athenaeus VII p. 319 a: *τούτων (παγούρων) μέμνηται Τιμοκλῆς ἢ Ξέναρχος ἐν Π. οὕτως Εἶθ' ἁλιεὺς κτλ.* Vs. 1 pro *εἶθ'* cod. A *ἰτ'*. Tum forsan *ὢν ἀκρόσοφος.* Vs. 2 libri *ἐν παγούροις μὲν θεοῖς.* Correxit Dobraeus. Vs. 4 *δὲ* pro *τὸ* Schweighaeuserus.

9 III (3, 623)

Μὰ τὸν Διόνυσον, ὃν σὺ κάπτεις ἴσον ἴσῳ.

Athenaeus X p. 431 a: *Ξέναρχος ἢ Τιμοκλῆς ἐν Πορφύρᾳ Μὰ τὸν κτλ.* *ὃν* addidit Toupius.

Π Ρ Ι Α Π Ο Σ

10 (3, 623)

Σὺ δὲ μηκέτ' ἔγχει, παιδάριον, εἰς τἀργυροῦν,
εἰς τὸ βαθὺ δ' ἐπανάγωμεν. εἰς τὸν κάνθαρον,
παιδάριον, ἔγχει νὴ Δία, νὴ τὸν κάνθαρον.

Athenaeus XI p. 473 f: *Ξέναρχος δ' ἐν Πριάπῳ φησὶ τάδε Σὺ δὲ κτλ.* Vs. 1 libri *ἀργυροῦν.* Correxit Dobraeus Append. ad Aristoph. p. 113. Vs. 2 libri *εἰς τὸ βαθὺ δὲ πάλιν ἄγωμεν,* quod correxi. Vs. 3 suspicabar *παιδάριον ἔγχει. B. νὴ Δί', εἰς τὸν κάνθαρον.*

Σ Κ Υ Θ Α Ι

I (3, 624) 11

Τουτὶ τὸ κακὸν οὐκ ἔστ' ἔτι
κακόν, τὸ θυγάτριόν τέ μου σεσινάπικε
διὰ τῆς ξένης.

Athenaeus IX p. 367 a: *σίναπι δὲ ὅτι σίνεται τοὺς ὤπας... Ξέναρχος δὲ ὁ κωμῳδιοποιὸς ἐν Σκύθαις ἔφη Τουτί κτλ.* Eustathius ad Iliad. π′ p. 1061 5: *ἐκ τοῦ σίνηπι καὶ ῥῆμά ἐστι κωμικὸν σιναπῶ, οἷον τὸ θυγάτριόν μου σεσινάπηκε διὰ τῆς ξένης, ἤγουν ἐδριμύξατο.* Etiam Athenaeus *σεσινάπηκε*, quod *σεσινάπικε* scribendum esse vidit Dalecampius. Pro *τε*, quod Epit. et Eustathius omittunt, praestat forsan *δέ*.

II (3, 624) 12

Ἑπτὰ δὲ καπάνας ἔτρεφον εἰς Ὀλυμπίαν.
Β. τί λέγεις; καπάνας; Α. ναί· καπάνας Θετταλοί
πάντες καλοῦσι τὰς ἀπήνας. Β. μανθάνω.

Athenaeus X p. 418 e: *Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον. Ξέναρχος Σκύθαις Ἑπτὰ δὲ καπάνας κτλ.* Versus secundus in libris ita legitur, *τί λέγεις; καπάνας Θετταλοί.* Correxit Hermannus.

Σ Τ Ρ Α Τ Ι Ω Τ Η Σ

(3, 625) 13

Φιλύρας εἶχε γάρ
ὁ παῖς ἄφυλλον στέφανον ἀμφικείμενον.

Athenaeus XV p. 679 e de *φιλυρίνῳ στεφάνῳ* disserens: *Ξέναρχος Στρατιώτῃ Φιλύρας εἶχε γάρ κτλ.*

Υ Π Ν Ο Σ

(3, 625) 14

Εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες,
ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι;

Athenaeus XIII p. 559 a: *Ξέναρχος δ' ἐν Ὑπνῳ φησίν Εἶτ' εἰσίν κτλ.* Cfr. Eustathius Od. p. 1423 28.

THEOPHILVS

ΑΠΟΔΗΜΟΙ

1 (3, 626)

Καί τοι τί φημι καὶ τί δρᾶν βουλεύομαι;
προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεσπότην,
τὸν τροφέα, τὸν σωτῆρα, δι' ὃν εἶδον νόμους
Ἕλληνας, ἔμαθον γράμματ', ἐμυήθην θεοῖς;

Schol. Dionysii Thr. p. 724 26: *ὁ γοῦν παρὰ τῷ Θεοφίλῳ τῷ κωμικῷ θεράπων ἐν τοῖς Ἀποδήμοις λέγει Καί τοι κτλ.* Vs. 1 *βουλεύομαι* Bastius, codex *βούλομαι*. Vs. 3 malim *ἔγνων* pro *εἶδον*.

ΒΟΙΩΤΙΑ

2 (3, 627)

Τετρακότυλον δὲ κύλικα κεραμέαν τινά
τῶν θηρικλείων, πῶς δοκεῖς, κεραννύει
καλῶς, ἀφρῷ ζέουσαν· οὐδ' ἂν Αὐτοκλῆς
οὕτως μὰ τὴν γῆν εὐρύθμως τῇ δεξιᾷ
ἄρας ἐνώμα.

Athenaeus XI p. 472 d: *Θεόφιλος δὲ ἐν Βοιωτίᾳ Τετρακότυλον κτλ.* Vs. 2 *κεράννυσι* ante Porsonum. Vs. 4 *μὰ τὴν γῆν* Porsonus pro *μάτην τήν*. Vs. 5 *ἄρας ἐνώμα* Iacobsius et Porsonus. Libri *ἄρασαν ὦμον*.

ΕΠΙΔΑΥΡΙΟΣ

3 (3, 627)

Ἀτρεστίδας τις Μαντινεὺς λοχαγὸς ἦν,
ἀνδρῶν ἁπάντων πλεῖστα δυνάμενος φαγεῖν.

Athenaeus X p. 417 a hominum *ἀδηφάγων* exempla commemorans: *Θεόφιλος δ' ἐν Ἐπιδαύρῳ (Ἐπιδαυρίῳ) Ἀτρεστίδας τις κτλ.*

ΙΑΤΡΟΣ

4 (3, 627)

Πᾶς δὲ φιλοτίμως πρὸς αὐτὸν τῶν νεανίσκων . .
. . . . ἐγχέλειον παρατέθεικε τῷ πατρί.
τευθὶς ἦν χρηστή, πατρίδιον, πῶς ἔχεις πρὸς κάραβον;
ψυχρός ἐστιν, ἄπαγε, φησί· ῥητόρων οὐ γεύομαι.

Athenaeus VIII p. 340 d: *Θεόφιλος δὲ ἐν Ἰατρῷ ἅμα σκώπτων αὐτοῦ καὶ τὸ ἐν λόγοις ψυχρόν Πᾶς δέ κτλ.* Vs. 1 *πρὸς* ABP *πατρὸς* VL. Dobraeus *παῖς δὲ φιλοτίμως πρὸς αὐτὸν τῶν νεανικῶν πάνυ | ἐγχέλειον παρατέθεικε*. Idem *τῷ πατρὶ τευθὶς ἦν· χρηστή, πατρίδιον;*

ΚΙΘΑΡΩΙΔΟΣ

(3, 628) 5

Μέγας
θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ
ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε.

Athenaeus XIV p. 623 f: *μέγας γάρ, ὦ μακάριοι, κατὰ τὸν Θεοφίλου Κιθαρῳδόν, θησαυρός ἐστι κτλ.*

ΝΕΟΠΤΟΛΕΜΟΣ

I (3, 628) 6

Οὐ συμφέρον νέα 'στὶ πρεσβύτῃ γυνή·
ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν πείθεται
ξενὶ πηδαλίῳ, τὸ πεῖσμ' ἀπορρήξασα δέ
ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρέθη.

Athenaeus XIII p. 560 a: *καὶ Θεόφιλος δὲ ἐν Νεοπτολέμῳ ἔφη Οὐ συμφέρον κτλ.* **Vs. 1 forsan** *σύμφορον.*

II (3, 629) 7

Πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα
ἔστι μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους·
οὐδεὶς γὰρ ἡμῶν ταὐτὸν ᾄσεται μέλος.

Athenaeus XIV p. 635 a: *Θεόφιλος δ' ἐν Νεοπτολέμῳ καὶ τὸ τῇ μαγάδι διαψάλλειν μαγαδίζειν λέγει ἐν τούτοις Πονηρόν κτλ.*

ΠΑΓΚΡΑΤΙΑΣΤΗΣ

I (3, 629) 8

Ἑφθῶν μὲν σχεδόν
τρεῖς μνᾶς. Β. λέγ' ἄλλο. Α. ὀγγίον, κωλῆν, πόδας
τέτταρας ὑείους. Β. Ἡράκλεις. Α. βοὸς δὲ τρεῖς,
ὄρνιθ'. Β. Ἄπολλον. λέγ' ἕτερον. Α. σύκων δύο
μνᾶς. Β. ἐπέπιες δὲ πόσον; Α. ἀκράτου δώδεκα
κοτύλας. Β. Ἄπολλον Ὥρε καὶ Σαβάζιε.

Athenaeus X p. 417 b: *ἐν Παγκρατιαστῇ παραγαγὼν* (Theophilus) *τὸν ἀθλητὴν ὡς πολλὰ ἐσθίοντά φησιν Ἑφθῶν μὲν κτλ.* **Tres priores versus idem III p. 95 a apposuit. Vs. 5** *ἐπέπιες* **Iacobsius pro** *ἔπιες.* **Vs. 6 libri** *Ἀπολλόδωρε* **pro** *Ἄπολλον Ὥρε.* **Correxit Valcken.**

II (3, 630) 9

Εἶτ' ἐν χάρακι μὲν ταῦτα καὶ παρεμβολῇ.

Pollux IX 15: *παίζοντι δὲ τὸ στρατόπεδον ἔξεστι κατὰ τὴν τῶν πολλῶν χρῆσιν καὶ παρεμβολὴν ὀνομάσαι, παρεχόμενόν τινα τῶν νεωτέρων Θεόφιλον ἐν Παγκρατιαστῇ εἰρηκότα Εἶτ' ἐν χάρακι κτλ.*

ΠΡΟΙΤΙΔΕΣ

10 (3, 630)

Καὶ κύλικα . . . θηρίκλειον εἰσφέρει
πλέον ἢ κοτύλας χωροῦσαν ἔπτ' ἀγαθῆς τύχης.

Athenaeus XI p. 472 e: *Θεόφιλος — ἐν δὲ Προιτίσι Καὶ κύλικα κτλ.* Vs. 1 supplere possis *κοίλην*, vel *μεγάλην* cum Dindorfio.

ΦΙΛΑΥΛΟΣ

11 I (3, 630. 631)

Τίς φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἢ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος·
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶν,
παιδὸς κόρης, οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν;
κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς·
ἣν ἔστ' ἰδεῖν ἥδιον, ἢ τὸ θεωρικόν
ἔχουσιν ὑμῖν διανέμειν ἑκάστοτε.

Athenaeus XIII p. 563 a: *Θεόφιλος δ' ἐν τῷ Φιλαύλῳ Τίς φησι κτλ.* Vide ad Antiphanis Incert. fab. LI. Vs. 1 "*τίς* ABC *ὅς* VL om. P *εἴ τις* Stobaeus, ubi *τις* omittit codex Parisinus, si fides Brunckio." *Dindorfius.* Vs. 4 *οὐδὲν ἕτερον ἢ τεθνηκέναι* Stobaeus. Vs. 5 *ἐρῶν* pro *ἐρῶ* Casaubonus. Vs. 7 respicit Eustathius p. 1558 14. Vs. 8 libri *ἣν ἰδεῖν ἥδιόν ἐστιν.* Correxit Burneius. Ib. *θεωρικὸν* Canterus pro *θεωρητικόν.* Vs. 9 *ἔχουσιν* Emperius. *ὑμῖν* pro *ἡμῖν* Grotius.

12 II (3, 631)

Τοῦ μή ποτ' αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
φερόμενον ἢ Μηκωνίδ' ἢ Σισύμβριον
ἢ Βάραθρον ἢ Θάλλουσαν, ἢ τούτων τινά
ὧν ἐμπλέκουσι τοῖς λίνοις αἱ μαστροποί,
ἢ Ναννάριον ἢ Μαλθάκην.

Athenaeus XIII p. 587 f de meretricibus disserens: *Θεόφιλος Φιλαύλῳ Τοῦ μή ποτ' αὐτὸν κτλ.* Vs. 4 *λίθοις* ante Dalecampium. Vs. 5 *Νάννιον* PVL *ναύσιον* AB. Scripsi *Ναννάριον.* *Μαλθάκην* BPVL *μαλαθάκην* A. Postrema haec fortasse delenda sunt; ad *ἐμπλέκουσι* desidero *τὰ μειράκια.*

FRAGMENTA POETARVM

COMOEDIAE NOVAE

PHILEMO

ΑΓΡΟΙΚΟΣ

(4, 3) 1

Athenaeus III p. 81 d: *καὶ Φιλήμων δ' ἐν Ἀγροίκῳ τὰ κυδώνια μῆλα στρουθία καλεῖ.* Ita ABC *στρούθεια* VL *στρουθεῖα* P. Cfr. Lobeck. Aiac. p. 116.

ΑΓΥΡΤΗΣ

I II (4, 3) 2. 3

Ὦ πῶς πονηρόν ἐστιν ἀνθρώπου φύσις
τὸ σύνολον· οὐ γὰρ ἄν ποτ' ἐδεήθη νόμου.
Οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων
ἄνθρωπον; οὐδὲ μικρὸν ἀλλὰ σχήματι·
πλάγι' ἐστὶ τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον.

Stobaeus Floril. II 26 *Φιλήμονος Ἀγύρτου* cod. A et Marc. apud Morellium Bibl. MS Gr. Lat. p. 319. At Gesn. margo et Schowius *Λυκούργου*, quod ex *Ἀγύρτου* corruptum est. Vs. 1 *φεῦ ὡς* tres codd. Schowii, *ὦ πως* A, *πῶς* Trinc., *καί πως* Zedelius. A tertio versu novum fragmentum indicavi, quod Philemonis an alius poetae sit incertum est. Vs. 4 *ἄνθρωπον* addendum esse vidit Gesnerus. Tum malim *ἀλλ' ἤ*. alii ita distinguunt: *οὐδὲ μικρόν, ἀλλὰ σχήματι πλάγι' ἐστὶ τἄλλα κτλ.*

ΑΔΕΛΦΟΙ

I (4, 4) 4

Σὺ δ' εἰς ἅπαντας εὕρες ἀνθρώπους, Σόλων·
σὲ γὰρ λέγουσι τοῦτ' ἰδεῖν πρῶτον βροτῶν,
δημοτικὸν ὦ Ζεῦ πρᾶγμα καὶ σωτήριον,
(καί μοι λέγειν τοῦτ' ἐστὶν ἁρμοστόν, Σόλων·)
μεστὴν ὁρῶντα τὴν πόλιν νεωτέρων,
τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν,
ἁμαρτάνοντάς τ' εἰς ὃ μὴ προσῆκον ἦν,
στῆσαι πριάμενόν τοι γυναῖκας κατὰ τόπους
κοινὰς ἅπασι καὶ κατεσκευασμένας.
ἑστᾶσι γυμναί· μὴ 'ξαπατηθῇς· πάνθ' ὅρα.
οὐκ εὖ σεαυτοῦ τυγχάνεις ἔχων· ἔχεις

. . . πως· ἡ θύρα ᾽στ᾽ ἀνεῳγμένη.
εἷς ὀβολός· εἰσπήδησον· οὐκ ἔστ᾽ οὐδὲ εἷς
ἀκκισμὸς οὐδὲ λῆρος, οὐδ᾽ ὑφήρπασεν·
ἀλλ᾽ εὐθύς, ὡς βούλει σὺ χὠν βούλει τρόπον.
ἐξῆλθες· οἰμώζειν λέγ᾽, ἀλλοτρία ᾽στί σοι.

Athenaeus XIII p. 569 d: καὶ Φιλήμων δ᾽ ἐν Ἀδελφοῖς προσιστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος — ἀλλ᾽ ὅ γε Φιλήμων οὕτως φησί Σὺ δ᾽ εἰς ἅπαντας κτλ. In his Ἀδελφοῖς Schweighaeuserus: libri Δελφοῖς. Vs. 1 Grotius εὖ pro σύ. Vs. 2 βροτῶν addidit Grotius. Vs. 4 fort. κἀμοί. Vs. 5 ὁρῶντα Grotius. Libri ὁρῶντι. Vs. 8 τοι ABPV τι Bas. L. Vs. 12 ἐστυκότως addebat Bentleius. Dobraeus τυγχάνεις ἔχων· ἴσως| σπασμός τις ἔλαβεν· ἡ θύρα —, idem morbi nomen, v. c. τέτανος, latere putat. Ibid. θύρα ᾽στ᾽ pro θύρα ἔσται Bentleius. Vs. 15 σὺ χὠν pro συχνὸν Bentleius. Vs. 16 ante Grotium ἀλλοτρία τί σοι.

5 II (4, 5)

Οὐκ ἂν λαλῇ τις μικρόν, ἐστὶ κόσμιος,
οὐδ᾽ ἂν πορεύηταί τις εἰς τὴν γῆν βλέπων·
ὁ δ᾽ ἡλίκον μὲν ἡ φύσις φέρει λαλῶν,
μηδὲν ποιῶν δ᾽ ἄσχημον, οὗτος κόσμιος.

Stobaei Append. Florent. p. 11. Φιλήμονος: Ἀδελφεοῖς κἂν λαλῇ τις κτλ. Correxit Gaisfordus.

ΑΙΤΩΛΟΣ

6 (4, 5)

Antiatticista p. 96 6. Ἔλαφρός: ὁ τὰς φρένας κοῦφος. Φιλήμων Αἰτωλῷ.

ΑΝΑΚΑΛΥΠΤΩΝ

7 (4, 5)

Οἴμοι· τὸ λυπεῖσθαι γὰρ ἐπὶ τὸ ῥῆμ᾽ ἄγει
τοῦτ᾽ εὐθύς, ὡς ἔοικε, τὸν λυπούμενον.
λυπουμένῳ δ᾽ ὅταν τις ἀκολουθῶν λέγῃ
χαῖρ᾽, ἐξ ἀνάγκης οὗτος οἰμώζειν λέγει.

Stobaeus Floril. XCIX 3 cum lemmate Φιλήμονος. At CXII 13, ubi tertius et quartus versus iterum leguntur, Φιλήμονος Ἀνακαλύπτοντος. Clericus Ἀνακαλυπτομένη, Fabricius Ἀνακαλυπτήρια.

ΑΝΑΝΕΟΥΜΕΝΗ

(4, 5) 8

Athenaeus VI p. 262 a: *Ψωμοκόλακος δὲ μνημονεύει — Φιλήμων Ἀνανεουμένῃ Ψωμοκόλαξ δ' ἔσθ' οὗτοσί.* Ita Bentleius pro *οὗτος.*

ΑΝΔΡΟΦΟΝΟΣ

(4, 6) 9

Πιεῖν τις ἡμῖν ἐγχεάτω, καὶ ματτύην
ποιεῖτε θᾶττον.

Athenaeus XIV p. 663 f: *Φιλήμων ἐν Ἀνδροφόνῳ Πιεῖν τις κτλ.*

ΑΠΟΚΑΡΤΕΡΩΝ

(4, 6) 10

Νῦν δ' οἶδ' ἀκριβῶς τὴν τύχην ὡς οὐ μία,
οὐδ' ἔστι πρώην, ἀλλὰ μετὰ τῶν σωμάτων
ἡμῶν, ὅταν γινώμεθ', εὐθὺς χἡ τύχη
προσγίνεθ' ἡμῖν, συγγενὴς τῷ σώματι·
κοὐκ ἔστιν ἕτερον παρ' ἑτέρου λαβεῖν τύχην.

Stobaeus Ecl. phys. I p. 198 ed. Heer. Vs. 2 libri *πρώτη* et vs. 3 *ὅταν γίγνωντ', εὐθὺς καὶ ἡ τύχη.* Emendavit Bentleius.

ΑΠΟΛΙΣ

(4, 6) 11

Οὐχὶ μόνον οὗτος εὗρε πῶς λαλήσομεν
αὐτοῖς, ἀπέχοντες πολὺν ἀπ' ἀλλήλων χρόνον,
οὐδ' ὃν τρόπον μηδέποτε μηδὲ εἷς πάλιν
ἐπιλήσεθ' ἡμῶν μηδέν, ἐμβλέψας δέ που
τἀκ τοῦ χρόνου τοῦ παντὸς εἴσετ', ἀλλὰ καί
ψυχῆς ἰατρὸν κατέλιπεν τὰ γράμματα.

Stobaeus Floril. LXXXI 9 *Φιλήμονος ἐξ Ἀπόλλωνος.* Grotius *ex Exsule* h. e. *ἐξ Ἀπόλιδος.* Cui titulo fragmenti sententia bene convenit. Vs. 1 cod. A *λαλήσετε.* Vs. 2 *αὐτοῖς* scripsi pro *αἰτοῖς.*

ΑΡΠΑΖΟΜΕΝΟΣ

I (4, 7) 12

Γυμνῷ φυλακὴν ἐπίταττε, παῖ, καὶ διὰ τριῶν
ποτηρίων με ματτύης εὐφραινέτω.

Athenaeus XIV p. 663 f: *ὅτι δὲ καὶ ὁ τρόπος τῆς τοιαύτης εὐωχίας ὁμοίως (ματτύης) ἐλέγετο, Φιλήμων φησὶν ἐν Ἁρπα-*

ζομένῳ Γυμνῷ φυλακήν κτλ. Post *ἐπίταττε*, pro quo Dindorfius *ἐπιταττέτω*, addidi *παῖ*. Vs. 2 respicit Photius, *Ματτύης: σκευασία τις περιφορημάτων, χρήσιμος εἰς πότον καὶ κῶμον πλείω. Φιλήμων.* Pro *εὐφραινέτω* L habet *εὐφραινέτο*. V *ἐμφαινέτω*. P *ἐμφαίνετο*.

13. 14 II III (4, 7)

Ὁρῶ μαγείρου καὶ κύβηλιν καὶ σκάφην.

Pollux X 104: *ἡ δὲ κύβηλις ἐν Φιλήμονος Ἁρπαζομένῳ Ὁρῶ μαγείρου κτλ.* Clericus *μαγείρους*. Malim *μάγειρον*. *Ἁρπαζομένη* vocatur haec fabula ab eodem Polluce VII 28: *ὁ ναποτίλτης, εἰ καὶ Φιλήμων αὐτῷ κέχρηται ἐν Ἁρπαζομένῃ.*

ΑΥΛΗΤΗΣ

15 (4, 7)

Antiatticista p. 87: *Γενειάζειν. Φιλήμων Αὐλητῇ Γεγενείακεν.*

ΒΑΒΥΛΩΝΙΟΣ

16 (4, 7)

Βασίλισσ᾽ ἔσει Βαβυλῶνος, ἂν οὕτω τύχῃ.
τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον.

Athenaeus XIII p. 595 c: *μνημονεύει τούτων* (Pythionicae et Harpali) *καὶ Φιλήμων ἐν Βαβυλωνίῳ Βασίλισσ᾽ ἔσει κτλ.* Vs. 1 A *βασιλίσσαις ἤ*. Correxit Bentleius *βασίλισσ᾽ ἔσῃ*.

ΓΑΜΟΣ

17 I (4, 8)

Ὁλκεῖον εἶδον ἐπὶ τραπέζῃ κείμενον
πυρῶν τι μεστόν.

Pollux X 176: *ὁλκεῖον, ἀγγεῖον ὑγρῶν τε καὶ ξηρῶν — ἐν Φιλήμονος Γάμῳ Ὁλκεῖον εἶδον κτλ.*

18 II (4, 8)

Ἐν Καρὶ τὸν κίνδυνον οἶσθα, δέσποτα.

Schol. Platonis ed. Bekk. p. 322. *ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος — Φιλήμων ἐν Γάμῳ Ἐν Καρί κτλ.* Vulgo *οἶδα*. Correxit Buttmannus.

19. 20 III IV (4, 8)

Antiatt. p. 92 16: *Ἐμὲ ἀντὶ τοῦ ἐμαυτόν, σὲ ἀντὶ τοῦ σαυτόν. Φιλήμων Γαμοῦντι Σῶζε σαυτόν, ἐγὼ δ᾽ ἐμέ.* Idem p. 99 24: *Θρασέα. Φιλήμων Γάμῳ Θρασέα γυνή.* Ita correxi editum *Γάλλῳ*.

ΕΓΧΕΙΡΙΔΙΟΝ

(4, 8) 21

Καχὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένες.

Stobaeus Floril. VIII 10. *Φιλήμων ἐν Ἐγχειριδίῳ.* Trinc. *δειλαὶ αἱ φρένες.*

ΕΜΠΟΡΟΣ

(4, 8)

Plautus Prolog. Mercat. 9: ***Graece haec vocatur Emporos Philemonis, Eadem latine Mercator Macci Titi.*** Ita enim correxit Ritschelius. Fragmentum fabulae fortasse habemus infra in Pyrrho.

ΕΞΟΙΚΙΖΟΜΕΝΟΣ

(4, 9) 22

Κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον, δέσποτα,
ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ.

Stobaeus Floril. LXII 28 cum lemmate ex A *Φιλήμονος Ἐξοικιζομένου.* Vs. 1 vulgo *ἦν.* B *ᾖ.* Ibid. A *δεσποτίς.* Vs. 2 cf. Lob. Parall. p. 556.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

I (4, 9) 23

Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν·
ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

Plutarchus de aud. poet. p. 35 d: *φέρειν δὲ πρᾴως καὶ σκώμματα καὶ λοιδορίας καὶ γέλωτας, μάλιστα μὲν τὸ τοῦ Φιλήμονος ἔχοντας πρόχειρον Ἥδιον οὐδέν κτλ.* Vs. 3 corruptissime exhibet Anton. Mel. LIII p. 79, qui ut alia huius generis, ita hunc etiam locum debet Stobaeo Floril. XIX 2, ubi A habet *Φιλήμονος ἐκ τοῦ Δικαζομένου.* Voss. *Φιλήμονος ἐκ δικαζομένου.* Correxit Grotius.

II (4, 9) 24

Πρόχειρον ἐπὶ τὴν γλῶτταν εὐλόγῳ τρέχειν.

Stobaeus Floril. XIII 11 *Φιλήμονος Ἐπιδικαζομένου.*

ΕΥΡΙΠΟΣ

(4, 9) 25

Pollux X 176: *μηλωτήν τὴν τοῖ προβάτου δοράν, Φιλήμονος εἰπόντος ἐν Εὐρίπῳ Στρῶμα μηλωτήν τ' ἔχει.*

Ε Φ Ε Δ Ρ Ι Τ Α Ι

26 I (4, 10)

Σκιμπόδιον ἓν καὶ κώδιον καὶ ψιάθιον
ἴσως παλαστῆς.

Photius p. 371 24. *Παλαστή*: *θηλυκῶς. Κρατῖνος Νόμοις Μεῖζον τὸ πέος παλαστῆς. Φιλήμων Ἐφεδρίταις Σκιμπόδιον κτλ.*

27 II (4, 10)

Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον.

Stobaeus Floril. CXIV 2 cum lemmate ex A *Φιλήμονος ἐξ Ἐφεδριζόντων.*

Ε Φ Η Β Ο Σ

28 I (4, 10)

Οὐ τοῖς πλέουσι τὴν θάλατταν γίνεται
μόνοισι χειμών, ὡς ἔοικεν, ἀλλὰ καὶ
τοῖς περιπατοῦσί που, Λάχης, ἐν τῇ στοᾷ,
καὶ τοῖς μένουσιν ἔνδον ἐν ταῖς οἰκίαις.
χοἱ μὲν πλέοντες ἐνιοθ' ἡμέραν μίαν
ἢ νύκτα χειμασθέντες εἶτ' ἐκ τοῦ κακοῦ
σωτηρίας ἐπέτυχον· ἢ τὸ πνεῦμα γάρ
αὐτοὺς τὸ σῶζον ἦκεν ἢ 'φάνη λιμήν.
ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν· οὐκ εἰς ἡμέραν
χειμάζομαι μίαν γάρ, εἰς τὸ ζῆν δ' ὅλον,
ἀεὶ τὸ λυπεῖσθαι δὲ μεῖζον γίνεται.

Stobaeus Floril. XCVIII 20. *Φιλήμονος Ἐφήβῳ.* Vs. 8 vulgo *σῶζον ἢ μένη ἐφάνη.* Cod. A *σῶζον ἡμέρα ἐφάνη.* Emendavit Koenius.

29 II (4, 11)

Stephanus Byz. *Κρομμυών*: *πόλις πλησίον Ἀσκάλωνος. Φιλήμων ἐν Ἐφήβῳ. ὁ πολίτης Κρομμυώνιος.* Cod. Rehd. *Ἐφήβοις*, ut dubium sit *Ἔφηβος* an *Ἔφηβοι* fabulae nomen fuerit.

Η Ρ Ω Ε Σ

30 (4, 11)

Schol. Plat. Bekk. p. 367: *Ὑπέρου περιτροπὴ ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων, ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων. μέμνηται δὲ αὐτῆς Φιλήμων ἐν Ἥρωσι.* Eadem fere Zenobius VI 25.

Θ Η Β Α Ι Ο Ι

31 (4, 11)

Ἐμοῦ γάρ ἐστι κύριος μὲν εἷς ἀνήρ,
τούτων δὲ καὶ σοῦ μυρίων τ' ἄλλων νόμος,

ἑτέρων τύραννος, τῶν τυραννούντων φόβος·
δοῦλοι βασιλέων εἰσίν, ὁ βασιλεὺς θεῶν;
ὁ θεὸς ἀνάγκης. πάντα δ', ἂν σκοπῇς, ὅλως
ἑτέρων πέφυκεν ἧττον', ὧν δὲ μείζονα.
τούτοις ἀνάγκη ταῦτα δουλεύειν ἀεί.

Stobaeus Floril. LXII 8. *Φιλήμονος Θηβαίων.* Vs. 2 *τοῦτον* A. Fortasse *τούτου.* Vs. 6 vulgo *ἡττόνων δὲ μείζονα.* Cod. A pro *ἡττόνων* habet *ἧττον.* Correxit Dobraeus. Vs. 7 Dobraeus *οὕτως ἀνάγκη πάντα.*

ΘΗΣΑΥΡΟΣ

(4, 12) 32

Plautus Prol. Trinumm. 18 sqq. ***Huic graece nomen est Thesauro fabulae: Philemo scripsit, Plautus vortit barbare: nomen Trinummo fecit.*** Vnum eius fragmentum superest apud Athen. IX p. 385 d de voce *ὀψάριον* agentem: *Φιλήμων Θησαυρῷ*

Οὐκ ἔστ' ἀληθὲς παραλογίζεσθ', οὐδ' ἔχειν
ὀψάρια χρηστά.

Ante Bentleium *παραλογίσασθ'.* Praeterea *ἀληθές* corruptum. Forsan *οὐκ ἔστ', ἄλαστε, παραλογίζεσθ', οὐδ' ἔχειν ὀψάρι' ἄχρηστα.* E fragmentis incertarum fabularum Hermannus Praef. Trin. p. XXVI ad Philemonis fabulam cum aliqua veri specie refert fr. inc. CIII. CVII. CXI.

ΘΥΡΩΡΟΣ

(4, 12) 33

Ἐγὼ γὰρ ἐς τὴν χλαμύδα κατεθέμην ποτέ
καὶ τὸν πέτασον.

Pollux X 164: *τὸ δὲ τῶν ἐφήβων φόρημα πέτασος καὶ χλαμὺς Φιλήμων ἐν Θυρωρῷ Ἐγὼ γὰρ ἐς τὴν χλαμύδα κτλ.* In *ἐς τὴν* vitium latere videtur.

ΙΑΤΡΟΣ

I II (4, 12) 34. 35

Καὶ γύλιόν τιν' ἀργυρωμάτων.

Athenaeus VI p. 231 a de voce *ἀργυρώματα* disserens: *Φιλήμων Ἰατρῷ Καὶ γύλιόν τιν' ἀργυρωμάτων.* Libri *γυλίαν.* Casaubonus *γύλιον.* Antiatticista p. 104: *Κυδώνιον μῆλον. βραχέως. Φιλήμων Ἰατρῷ.*

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

36 (4, 13)

Πάντ' ἔστιν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

Stobaeus Floril. XXIX 28. Vs. 1 B et Trinc. *εὑρεῖν.*

ΚΟΙΝΩΝΟΙ

37 (4, 13)

Antiatticista p. 88 25: *Δεδράμηκα. Φιλήμων Κοινωνοῖς.* Cfr. Menandri Inc. fab. CCXX.

ΚΟΛΑΞ

Commemorat hanc fabulam auctor glossarum ad Hippocratis iusiurandum. Vide ad Menandri Colac. Fragm. VII.

ΚΟΡΙΝΘΙΑ

38. 39 I II (4, 13)

Εἰ τὰ παρὰ τοῖς ἄλλοισιν εἰδείης κακά,
ἄσμενος ἔχοις ἄν, Νικοφῶν, ἃ νῦν ἔχεις.

Stobaeus Floril. CVIII 7. Athenaeus III p. 123 e: *τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς — καὶ Φιλήμων ἐν Κορινθίᾳ.*

ΜΕΤΙΩΝ Η ΖΩΜΙΟΝ

40 I (4, 13)

Ἰχθὺς τί σοι
ἐφαίνεθ' οὑφθός; Β. μιαρὸς ἦν. ἀκήκοας;
ἅλμη τε λευκὴ καὶ παχεῖ' ὑπερβολῇ,
κοὐχὶ λοπάδος προσῶζεν οὐδ' ἡδυσμάτων·
ἐβόων ἅπαντες, ὡς ἀγαθὴν ἅλμην ποιεῖς.

Athenaeus IV p. 133 a: *ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστόμωσιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις — Φιλήμων δ' ἐν Μετιόντι ἢ Ζωμίῳ Ἰχθὺς τί σοι κτλ.* Vs. 1 *τί σοι* B et Bentleius. VL *τις σοί.* P *τίς σοι.* Vs. 2 libri *μικρός.* Correxit Bentleius. Ibid. Dobraeus *οὑφθός.* Libri *ἑφθός.* Vs. 5 malim *ἐβόων δ' ἅπαντες.*

41 II (4, 14)

Ἀγύρριος δὲ παρατεθέντος καράβου,
ὡς εἶδεν αὐτόν "χαῖρε πάππα φίλτατε"
εἶπας. Β. τί ἐποίει; Α. τὸν πατέρα κατήσθιεν.

Athenaeus VIII p. 340 d: *Φιλήμονος δὲ Μετιόντι εἰπόντος Ἀγύρριος δὲ — κατήσθιεν, Ἡρόδικος δ' ὁ Κρατήτειος ἐν τοῖς*

συμμίκτοις ὑπομνήμασι τοῦ Καλλιμέδοντος υἱὸν ἀπέδειξεν ὄντα τὸν Ἀγύρριον. Hinc petiit Eustath. p. 1283 37.

M O I X O Σ

(4, 14) 43

Ἔδει παρεῖναι, Παρμένων, αὐλητρίδ' ἢ
νάβλαν τίν'. B. ὁ δὲ νάβλας τί ἐστι; . .
A. . . . . οὐκ οἶδας, ἐμβρόντητε σύ;
B. μὰ Δία. A. τί φής; οὐκ οἶσθα νάβλαν; οὐδὲν οὖν
οἶσθας ἀγαθὸν σύγ'. οὐδὲ σαμβυκίστριαν;

Athenaeus IV p. 175 d de nabla disserens: *Φιλήμων ἐν Μοιχῷ Ἔδει παρεῖναι κτλ.* Pollux IV 61: *ἀλλὰ μὴν καὶ νάβλας μνημονεύει Φιλήμων Ἔδει — νάβλαν τινά.* Aliter versus distinxerunt Porsonus Adv. p. 73 et Seidlerus V. D. p. 398. In fine vs. 2 Casaubonus addebat *εἰπέ μοι.* Vs. 3 B *οἶδα.* Vs. 4 *μὰ Δία* ABP *μὰ Δί' οὔ* VL. Ibid. P *οὐδὲ νοῦν.* V *οὐδὲ νῦν.* Vs. 5 *οἶσθας* scripsi pro *οἶσθ'.* Tum *σύγ'* VL *σύ* ABP.

M Y P M I Δ O N E Σ

(4, 15) 43

Erotianus p. 170: *ἔστι δὲ ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως καὶ Εὔπολις καὶ Μένανδρος ἐν Ἐπιτρέπουσι καὶ Φιλήμων ἐν Μυρμιδόσι.* Cod. *Φιλήμων ὁ μυρμηδός.*

M Y Σ T I Σ

(4, 15) 44

Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακόν
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα πῶς ἔχει λέγειν.

Stobaeus Floril. C 5.

N E Α I P Α

(4, 15) 45

Ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
ἣν εἴδομεν ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
ἡμᾶς τι παρ' ἡμῶν ἀντιπέμψαι θηρίον.
B. τρυγέρανον· οὐ γὰρ γίνεται τοῦτ' αὐτόθι.

Athenaeus XIII p. 590 a: *εἰ ἔχομεν ἀρρενικῶς εἰρημένον τὸν τίγριν. Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκότα ἐν Νεαίρᾳ Ὥσπερ κτλ.* Vs. 2 *εἴδομεν* pro *ἴδομεν* Dindorfius. Vs. 3 *τι* quod libri ante *ἡμᾶς* habent transposuit Schweighaeuserus. At

fortasse delendum est. Vs. 4 *τρυγέρανον* AB *τριγέρανον* PVL. Hesychius, *Τρυγέρανος: φάσματι* (*φάσσῃ*?) *ἐοικώς.*

N E M O M E N O I

46 (4, 16)

Ἀπὸ στόματος ἅπαντ', ἐὰν βούλησθ', ἐρῶ.

Grammat. Bekkeri p. 436 et Suidas s. v. *ἀπὸ στόματος. Φιλήμων Νεμομένοις Ἀπὸ στόματος κτλ.*

N O Θ O Σ

47. 48 I II (4, 16)

Eustathius ad Hom. p. 880 30: *Αἴλιος δὲ Διονύσιος λέγει ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα* (*βουνὸς*) *ὡς βάρβαρον· λόφον γὰρ καλοῦσιν. ἕτεροι δὲ ὅτι βουνὸν Φιλήμων ἐν Νόθῳ ὡς σύνηθες τίθησιν, ἄλλοθι δὲ ὡς ξενικὸν ἐπισκώπτει.* Vide Fragm. inc. XXXIV a. Antialt. p. 112: *Πανοικία, ἀντὶ τοῦ πανοικί. Φιλήμων Νόθῳ.*

N Y Ξ

49 (4, 16)

Τὸ κανοῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων.

Photius et Suidas s. v. *τηνάλλως, μάτην. ὁ Φιλήμων Νυκτί Τὸ κανοῦν κτλ.* Praeterea huius fabulae memoria latet fortasse in corrupta glossa Hesychii, *Νησίγδα: ἐν νυκτί. ἀποδιδόασι μασημάτιον ποιόν.* Indicavit Dobraeus Adv. II p. 581.

Π A Γ K P A T I A Σ T H Σ

50 I (4, 16. 17)

Καὐτόν τι πράττειν, οὐ μόνον τὰς ἐλπίδας
ἐπὶ τῇ τύχῃ χρή, παιδίον, πάντως ἔχειν
ὧν βούλεταί τις. ἀλλὰ καὶ τῷ τῇ τύχῃ
συλλαμβάνεσθαι ῥᾷον ἡ τύχη ποιεῖ,
ἐὰν μεθ' ἑτέρου τοῦτο, μὴ μόνη, ποιῇ.

Stobaeus Ecl. phys. II 8 p. 338 ed. Heer. Vs. 1 ante Grotium *καὶ τόν τι* et vs. 2 *ἐπὶ τύχῃ*. Articulum ante *τύχῃ* addunt codd. Tum malim *πάντων*. Vs. 3 *τῷ* Grotius et codd. Vulgo *τό*. Vs. 5 vulgo *καὶ ἐὰν μεθ' ἑτέρου*. Recte cod. *καὶ* omittit. Sed ne sic quidem hos versus perpurgatos esse credo.

51 II (4, 17)

Δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου.

Suidas III p. 175: *πρὸ ἀντὶ τοῦ ἀντί. Φιλήμων Παγκρατιαστῇ Δοῦλος πρὸ δούλου κτλ.*

ΠΑΙΔΑΡΙΟΝ

(4, 17) 52

Antiatticista p. 97: *Ἕλλην γυνή. Φιλήμων Παιδαρίῳ. Ἕλλας ὁ ἀνήρ. Σοφοκλῆς Αἴαντι Λοκρῷ.*

ΠΑΙΔΕΣ

(4, 17) 53

Κακόν ἐστι δούλῳ δεσπότης πράττων κακῶς·
μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίνεται.

Stobaeus Floril. LXII 29 cum lemmate ex A *Φιλήμονος Παίδων*. Fort. *Παιδίῳ* vel *Παιδαρίῳ*.

ΠΑΛΑΜΗΔΗΣ

(4, 17) 54

Τοῦ γὰρ δικαίου κἂν βροτοῖσι καὶ θεοῖς
ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου.

Stobaeus Floril. IX 21. Cod. A *Παλαμη*, ultimae syllabae superscripto *δι*. Recte, puto, Grotius Philisco tragico hunc locum tribuit. Vs. 1 malim *κἂν* pro *καί*.

ΠΑΝΗΓΥΡΙΣ I (4, 18) 55

Τὴν πλατεῖάν σοι μόνον
ταύτην πεποίηκεν ὁ βασιλεύς;

Pollux IX 38 de voce *πλατεῖα* agens: *Φιλήμονος μὲν ἐν Πανηγύρει εἰπόντος Τὴν πλατεῖαν κτλ.* Bentleius *μόνῳ*

II (4, 18) 56

Αἰγύπτιος θοίμάτιον ἠρδάλωσέ μου.

Etymol. M. p. 436 41: *Ἤρδάλωσε. Φιλήμων Αἰγύπτιος κτλ. ἀντὶ τοῦ ἠσβόλησεν, ἐμόλυνεν.* Ad Panegyrin rettuli auctore Eroliano p. 98: *τὸ μολῦναι ἢ ῥυπᾶναι ἀρδαλῶσαι λέγεται . . . Φερεκράτης ἐν Θαλάττῃ καὶ Φιλήμων ἐν Πανηγύρει.*

ΠΑΡΕΙΣΙΩΝ I (4, 18) 57

Τοὺς ἐν τῇ πόλει
μάρτυρας ἔχω γάρ, ὅτι μόνος φύσκην ποιῶ,
κάνδαυλον, ᾠά, θρῖον, ἐν στενῷ. τί γάρ
τούτων διάπτωμ' ἐγένετ' ἢ 'μάρτημα τί;

Athenaeus XII p. 516 f: *μνημονεύει τοῦ κανδαύλου καὶ Φιλήμων ἐν Παρεισιόντι οὕτως Τοὺς ἐν κτλ.* Vs. 3 addidi *γάρ*.

59 II (4, 18)

Περὶ τοὐπτάνιον οὐ γίνεθ' ἡ σκευωρία·
τραπεζοποιός ἐστ' ἐπὶ τοῦ διακονεῖν.

Athenaeus IV p. 170 f: *ἐκάλουν δὲ τραπεζοποιὸν τὸν τραπεζῶν ἐπιμελητὴν καὶ τῆς ἄλλης εὐκοσμίας. Φιλήμων Παρεισιόντι Περὶ τοὐπτάνιον κτλ.*

ΠΙΤΤΟΚΟΠΟΥΜΕΝΟΣ

59 I (4, 19)

Ἰδοὺ πάρεστιν, ὡς ὁρᾷς· τριτημόρου
ἕκαστος ὑμῶν ἦλθεν· εἰς τοὺς τέτταρας
εἴληφεν ὑμῖν οὑτοσὶ τριώβολον.

Pollux IX 66: *ὅτι δὲ τοὺς ἓξ χαλκοῦς τριτημόριον ὠνόμαζον, ἔστιν εὑρεῖν ἐν τῷ Φιλήμονος Σαρδίῳ· — καὶ ἔτι σαφῶς ἐν τῷ Πιττοκοπουμένῳ Ἰδοὺ πάρεστιν κτλ.* Vs. 2 *τοὺς* addidit Clericus. Ib. libri *τέσσαρας*. Vs. 3 ante Hemst. *ἡμῖν* et *οὑτωσί*.

60 II (4, 19)

Ὀβολοῦ τὸ πρῶτον ἡμῖν ἐνέχεεν
καὶ τεττάρων χαλκῶν μετὰ ταῦτα. Β. καὶ μάλα
τρὶ' ἡμιωβόλι' ἐστί· χαλκοῦ θερμὸν ἦν.

Pollux IX 67: *ὅτι δὲ οἱ τέτταρες χαλκοῖ ἡμιωβόλιόν εἰσιν, ἐν τῷ αὐτῷ δράματι Φιλήμονός ἐστιν εἰρημένον· Ὀβολοῦ τὸ πρῶτον ἡμῖν ἐνεχθὲν καὶ τεττάρων χαλκῶν· μετὰ ταῦτα· καὶ μάλα τριημιωβολίαι' ἐστί· χαλκοῦ θερμὸν ἦν.* Postrema iterum apposuit IX 70: *τουτὶ μέντοι τὸ παρὰ τῷ Φιλήμονι "χαλκοῦ θερμὸν ἦν" — ἄντικρυς δηλοῖ τὴν τοῦ θερμοῦ πόσιν.* Adscripsi locum ut emendavi in editione prima. Versum secundum et tertium eodem modo emendavit Dobraeus.

ΠΤΕΡΥΓΙΟΝ

61 I (4, 20)

Τὸ τῆς Ἀμαλθαίας δοκεῖς εἶναι κέρας
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι· τοῦτ' ἐὰν ἔχῃς, λέγε
πρὸς τοῦτ' εἰ βούλει, πάντα σοι γενήσεται,
φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι.

Stobaeus Floril. XCI 13 cum lemmate *Φιλήμονος Πτέρυγες*. Idem locus apud Apostol. XIX 19. Vs. 1 *Ἀμαλθείας* B et Apost. *ἀμαθίας* Trinc. Vs. 3 *τοῦτ' ἐὰν* Apost. et Trinc. *τοῦτο δ' ἐὰν* ceteri. Tum cod. A *λέγει*. Vs. 4 pro *τοῦτ' εἰ* Gesnerus et

cod. B recentissimus multisque modis interpolatus *τοῦϑ' ὅ*. Melius Wakefieldius *τοῦϑ' ὅ τι*. Philemon forsan scripsit: *ἀργύριόν ἐστι τοῦτο. τοῦτ' ἐὰν ἔχῃς, | λέγ' εἴ τι βούλει· πάντα σοι γενήσεται.* Cfr. Menandri locum ad sententiam et orationem huic nostro simillimum Fragm. inc. fab. X 6: *εὖξ' εἴ τι βούλει· πάντα σοι γενήσεται.*

II (4, 20) 62

Νυνὶ δ' ὅταν λάβῃ τις εἰς τὴν οἰκίαν
τὰς Ἱππονίκας τάσδε καὶ Ναυσιστράτας
καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω.

Stephanus Byz. p. 15: *λέγεται (Ἀθηναία) καὶ ἐπὶ γυναικός, ὡς ἄλλοι μὲν πολλοί, Φιλήμων δὲ οὕτως ἐν Πτερυγίῳ Νυνὶ δ' ὅταν κτλ.* Idem locus apud Suidam s. v. *Ἀθηναία*, ubi pro *Ναυσιστράτας* fortasse rectius *Λυσιστράτας* legitur, sed male citatur *Φιλήμων ἐν Πτέρυγι.*

ΠΤΩΧΗ ΗΡΟΔΙΑ

I (4, 21) 63

Ἄρτεμι, φίλη δέσποινα, τοῦτόν σοι φέρω,
ὦ πότνι', ἀμφιφῶντα καὶ σπονδὴν ἅμα.

Athenaeus XIV p. 645 a: *Ἀμφιφῶν πλακοῦς Ἀρτέμιδι ἀνακείμενος, ἔχει δ' ἐν κύκλῳ καόμενα δᾴδια. Φιλήμων ἐν Πτωχῇ ἢ Ῥοδίᾳ Ἄρτεμι κτλ.* Vs. 2 libri *σπονδήσιμα*. Coraes *σπονδὰς ἅμα.*

II (4, 21) 64

Ἐξὸν ἀποσάττεσθαι δ' ὅλην τὴν ἡμέραν,
ποιοῦντα καὶ διδόντα ματτύας ἐκεῖ.

Athenaeus XIV p. 664 d: *ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο (ματτύη) Νικόστρατός φησιν — Φιλήμων ἐν Πτωχῇ Ἐξὸν ἀποσάττεσθαι κτλ.* Vs. 1 *δ' ὅλην* A *δι' ὅλην* PVL.

III (4, 21) 65

Εἰ πάντες ἀποθανούμεθ' οἷς μὴ γίνεται
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα.

Stobaeus Floril. CVIII 8 cum lemmate *Φιλήμονος Πτωχῆς ἢ Ῥοδίας.*

IV (4, 21) 66

Σπάϑην παραφαίνων δηλαδὴ χρυσένδετον.

Pollux X 145: *εἰ δὲ τοῦτο ἀμφίβολον (σπάϑην* dici pro *ξίφος), Φιλήμων ἐν Ῥοδίαις (Ῥοδίᾳ) σαφέστερον αὐτὸ ποιεῖ λέγων Σπάϑην παραφαίνων κτλ.*

Π Υ Ρ Ρ Ο Σ

67 (4, 22)

Οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦτό τ' αὐτοῖς πολὺς ἀναλοῦται χρόνος,
τί ἐστιν ἀγαθόν, κοὐδὲ εἷς εὕρηκέ πω
τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καί
λέγουσι πάντα μᾶλλον ἢ τί τἀγαθόν.
ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγώ
νῦν εὗρον· εἰρήνη 'στίν· ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου καὶ φιλανθρώπου θεοῦ.
γάμους, ἑορτάς, συγγενεῖς, παῖδας, φίλους,
πλοῦτον, ὑγίειαν, σῖτον, οἶνον, ἡδονήν,
αὕτη δίδωσι· ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

Stobaeus Floril. LV 5 cum lemmate *Φιλήμονος ἐκ Πύρρου.* Suspicabar *Φιλήμονος Ἐμπόρου.* Vs. 2 A et Voss. *τοῦτό θ' ἑαυτοῖς.* Atque ita etiam Trinc. Recepit Gaisfordus. B *τοῦ, τότ' αὐτοῖς.* Vs. 3 Brunckius *τί τἀγαθόν ἐστι.* Vs. 4 *τί* A B Voss. Grotius. Vulgo *τις.* Vs. 5 *πάντα* pro vulgato *ταῦτα* A B Voss. et Gesneri margo. Ibid. *λέγουσι* Brunckius; libri *πλέκουσι.* Vs. 10 libri *ὑγείαν.* Vs. 11 scribendum videtur *αὕτη δίδωσι ταῦτα πάνθ', ἂν ἐκλίπῃ* etc.

Π Υ Ρ Φ Ο Ρ Ο Σ

68 (4, 22)

Οὐκ ἔστιν οὔτε ζωγράφος, μὰ τοὺς θεούς,
οὔτ' ἀνδριαντοποιός, ὅστις ἂν πλάσαι
κάλλος τοιοῦτον, οἷον ἡ ἀλήθει' ἔχει.
οὔτ' ἀνδριάντος γὰρ καλῶς πεπλασμένου,
ἂν μὴ τὸν αἰσθησόμενον ἡ τέχνη λάβῃ.

Stobaeus Floril. LXV 5. Vs. 1 *μετὰ* pro *μὰ* cod. A. Vs. 2 *ὅστις* A et Grotius. Vulgo *τις.* Vs. 3 *τοσοῦτον* A. Vs. 4 possis *οὐδ' ἀνδριάντες γὰρ καλῶς πεπλασμένοι.* Sed nec hoc sufficit. Excidisse versum, cuius haec fere fuerit sententia: *οὔτ' ὄφελος οὐδὲν εὖ γεγραμμένης γραφῆς,* coniicit Porsonus.

Σ Α Ρ Δ Ι Ο Σ

69 I (4, 23)

Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα δόντες χρυσίον·
νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει

εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδόν,
ἐάν τε χλάῃς ἄν τε μή, πορεύεται.
τί οὖν ποιεῖς πλέον; οὐδέν· ἡ λύπη δ' ἔχει
ὥσπερ τὸ δένδρον τοῦτο καρπὸν τὸ δάκρυον.

Stobaeus Floril. CVIII 1 omisso fabulae titulo, quem addit CXXIV 18, ubi tres priores loci versus apponit. Tacito poetae nomine legitur apud Plutarch. Cons. Apoll. p. 105 f. Vs. 1 Stobaeus *ἡμῶν*, Plut. cod. Stobaei apud Brunck. P. E. p. 271 et ipse Stob. Serm. CXXIV *ἡμῖν*. Vs. 3 Stobaeus primo loco vulgo *ἀλλαττόμεσθ'*, ubi A et B et altero loco ipse Stobaeus *ἠλλαττόμεσθ'*. Ibid. B *χρυσίω*. Vs. 4 A *νυνί*. Vs. 5 omittit Stobaeus. Vs. 6 libri *χλαίης*. Tum Plutarchus *πορεύσεται*. Vs. 7 et 8 iterum habet Stobaeus CXXII 12. Vs. 7 *τί δὴ* Stobaeus utroque loco, *τί οὖν* Plutarchus, qui praeterea habet *τί οὖν πλέον ποιοῦμεν; οὐδέν·* etc. Cfr. Valcken. Diatr. p. 150. Vs. 8 Plutarchus *ὥσπερ τὰ δένδρα τοῦτο καρπὸν τὰ δάκρυα*, ubi omittunt *τοῦτο* codd. Wyttenbachii.

II (4, 24) 70

Χαλκοῦς ὀφείλεις πέντε μοι. μέμνησ'; Β. ἐγώ
σοὶ πέντε χαλκοῦς, σὺ δέ γ' ἐμοὶ τριτήμορον.
τοὺς ἓξ ἀποδοὺς τοὺς πέντε χαλκοῦς ἀπόλαβε.

Pollux IX 65: *ὅτι δὲ τοὺς ἓξ χαλκοῦς τριτημόριον ὠνόμαζον, ἔστιν εὑρεῖν ἐν τῷ Φιλήμονος Σαρδίῳ Χαλκοῦς ὀφείλεις κτλ.* Vs. 2 libri *σὺ δέ μοι τριτημόριον*. Correxit Salmasius. Fortasse tamen praestat *σὺ δὲ τριτημόριον ἐμοί*. Certe *τριτημόριον* h. l. legisse videtur non modo Pollux, sed etiam Harpocratio p. 178 11: *ὅτι τριτημόριόν ἐστιν ἓξ χαλκοῖ Φιλήμων ἐν ἀρχῇ τοῦ Σαρδίου διδάσκει*, et Photius p. 602: *τοὺς ἓξ χαλκοῦς εἴρηκεν Φιλήμων τοῦ ὀβολοῦ τριτημόριον*. Eadem Suidas et Zonaras. Hinc corrige Etym. M. p. 753 50: *τριτημόριον τοὺς ἓξ χαλκοῦς εἴρηκε Φιλόξενος*, lege *Φιλήμων*.

ΣΙΚΕΛΙΚΟΣ

I (4, 24) 71

Ἄλλῳ πονοῦντι ῥᾴδιον παραινέσαι
ἔστιν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.
τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγώ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας, εἶτ' ἐὰν πταίσωσί τι,
αὐτοὺς ποιοῦντας πάνθ' ὅσ' οὐκ εἴων τότε.
ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἐστ' ἴσως.

Stobaeus Floril. CII 4 et addito fabulae titulo inde a verbis *τοὺς ἰατροὺς οἶδ' ἐγώ* CXIV 1. Vs. 1 *ἄνθρωπον ὄντα* ante Bentleium. Vs. 5 codd. *ἐάν*, vulgo *ἐπάν*. Vs. 7 Brunckius *καὶ τὸ θεωρεῖν*.

72 II (4, 25)

Ἐγὼ πρότερον μὲν ᾠόμην τῇ Σικελίᾳ
ἓν τοῦτ' ἀπόταχτον αὐτὸ τοὺς τυροὺς ποιεῖν
καλούς· ἔτι ταῦτα προσετίθην ἀκηκοώς,
ἱμάτια ποικίλ' εἰ λέγοι τις Σικελικά.
σκεύη μὲν οὖν καὶ κτήματ' ᾠόμην φέρειν.

Athenaeus XIV p. 658 b: *Φιλήμων ἐν τῷ ἐπιγραφομένῳ Σικελικῷ Ἐγὼ πρότερον μὲν κτλ.* Vs. 1 libri *ᾤμην*. Correxit Bentleius. *τῇ Σικελίᾳ* pro *τὴν Σικελίαν* Dobraeus. Vs. 3 *τε* post *ἔτι* delevit Bentleius. Post *ἀκηκοὼς* quae in libris adduntur verba: *τυρὸς Σικελικὸς ὅτι κράτιστος ἦν αἵ τε περιστεραὶ Σικελικαί*, delevit Bentleius.

73 III (4, 25)

Τὸ δὴ λεγόμενον τοῦτο Μυσῶν ἔσχατον
νόμιζ' ὁρᾶν τὸν υἱὸν ἐκπλέονθ' ὁρῶν.

Schol. Eurip. Rhes. 248: *τῆς "ἔσχατος Μυσῶν" παροιμίας μέμνηται Φιλήμων ἐν σκελετῷ Τὸ δὴ λεγόμενον κτλ.* L. Dindorfius *Σικελῷ* vel *Σικελικῷ*. Vs. 2 codex *ἐνόμιζεν ὁρᾶν*, quod correxi.

74 IV (4, 25. 26)

Pollux IV 175: *ἔνιοι δὲ καὶ τῶν Ἀθήνησι κωμῳδούντων τῶν νέων, οἷον Φιλήμων ἐν Σικελικῷ — λίτρας μνημονεύουσι.* Idem IX 81: *ὅτι δὲ καὶ τῶν κωμῳδῶν τινες τῆς λίτρας μνημονεύουσιν, ἐν τοῖς περὶ στατικῆς προείρηται. οὐ γὰρ οἱ Δωριεῖς μόνον ἀλλὰ καὶ τῶν Ἀττικῶν τινες, ὡς Δίφιλος ἐν Σικελικῷ·*

Οἷον ἀγοράζειν πάντα, μηδὲ ἓν δ' ἔχειν,
εἰ μὴ κιχίννους ἀξίους λίτραιν δυοῖν.

Quum Pollux manifesto ad priora verba, ubi Philemonis *Σικελικὸν* laudavit, respiciat, non male opinor Diphilo Philemonem substituas. Dubitationem tamen iniicit Photii glossa p. 227: *λίτρα ἦν μὲν καὶ νόμισμά τι, ὡς Δίφιλος.* Ac fortasse scripserat Pollux: *ὡς Δίφιλος, καὶ Φιλήμων Σικελικῷ*. Bentleius rem ita componere conatus est, ut iam a veteribus dubitatum fuisse statuat, uter eius fabulae auctor habendus esset.

ΣΤΡΑΤΙΩΤΗΣ
(4, 26. 27) 75

Ὡς ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολόντι τοὔψον ὡς ἐσκεύασα.
νὴ τὴν Ἀθηνᾶν ἡδύ γ' ἔστ' εὐημερεῖν
ἐν ἅπασιν· ἰχθὺς ἁπαλὸς οἷος γέγονέ μοι
οἷον παρατέθεικ', οὐ πεφαρμακευμένον
τυροῖσιν, οὐδ' ἄνωθεν ἐξηνθισμένον,
ἀλλ' οἷος ἦν ζῶν, κὠπτὸς ὢν τοιοῦτος ἦν·
οὕτως ἁπαλὸν ἔδωκα καὶ πρᾷον τὸ πῦρ
ὀπτῶν τὸν ἰχθύν, οὐδὲ πιστευθήσομαι.
ὅμοιον ἐγένετ', ὄρνις ὁπόταν ἁρπάσῃ
τοῦ καταπιεῖν μεῖζόν τι· περιτρέχει κύκλῳ
τηροῦσα τοῦτο, καταπιεῖν δ' ἐσπούδακεν,
ἕτεραι διώκουσιν δὲ ταύτην. ταὐτὸν ἦν.
τὴν ἡδονὴν ὁ πρῶτος αὐτῶν καταμαθών
τῆς λοπάδος, ἀνεπήδησε κἄφευγεν κύκλῳ
τὴν λοπάδ' ἔχων, ἄλλοι δ' ἐδίωκον κατὰ πόδας.
ἐξῆν ὀλολύζειν· οἱ μὲν ἥρπασάν τι γάρ,
οἱ δ' οὐδέν, οἱ δὲ πάντα. καί τοι παρέλαβον
ἰχθῦς ποταμίους ἐσθίοντας βόρβορον·
εἰ δ' ἔλαβον ἀρτίως σκάρον, ἢ 'κ τῆς Ἀττικῆς
γλαυκίσκον, ὦ Ζεῦ σῶτερ, ἢ 'ξ Ἄργους κάπρον,
ἢ 'κ τῆς Σικυῶνος τῆς φίλης ὃν τοῖς θεοῖς
φέρει Ποσειδῶν γόγγρον εἰς τὸν οὐρανόν,
ἅπαντες οἱ φαγόντες ἐγένοντ' ἂν θεοί.
ἀθανασίαν εὕρηκα· τοὺς ἤδη νεκρούς,
ὅταν ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

Athenaeus VII p. 288 d: *Φιλήμων δέ, τῆς κωμῳδίας ὁ ποιητής, καὶ αὐτὸς μνημονεύων τῶν ἐν Σικυῶνι διαφόρων γόγγρων, ποιεῖ τινα μάγειρον ἐπὶ τέχνῃ τῇ ἑαυτοῦ σεμνυνόμενον καὶ λέγοντα ἐν τῷ ἐπιγραφομένῳ Στρατιώτῃ τάδε Ὡς ἵμερος κτλ.* Philemoni iuniori hanc fabulam vindicare studuit Schweighaeuserus. Vs. 1 cfr. Eurip. Med. 57, ex quo Koenius *ὥσθ'*. Pro *μ' ὑπῆλθε* forsan praestat *μοὐπῆλθε* i. e. *μοι ἐπῆλθε*. Vs. 5 pro *οἷον* C habet *τοῦτον*. Bentleius *τοῖον*. Tum *παρατέθεικ' οὐ* ABC *παρατέθει κοὐ* PVL. Vs. 7 *κὠπτὸς* scripsi pro *καὶ ὀπτός*. Vs. 12 *καταπιεῖν δ' ἐσπούδακεν* edidit ex mea emendatione Dindorfius. ABP *καταπιεῖν μεῖζόν τι περὶ* (*περι* BP) *δ' ἐσπούδακεν*. CVL *καταπιεῖν περὶ δ' ἐσπούδακεν*. Vs. 13 *ἕτεραι* AC *ἕτερα* B *ἑτέρα* PVL. Ibid. *διώκουσι*

δὲ ABP διώκουσα CVL. Vs. 17 Dobraeus ἐξῆλθ' ὀλολύζων. Vs. 20 δ' ἔλαβον L δὲ λαβὼν PV ἀρτίως Bentleius scripsit pro ἄρτι. Sed fortasse scribendum ἄρτι σάργον. Vs. 25 et 26 iterum habet Athen. p. 290 a, ubi pro εὕρηκα scribitur ηὕρηκα. Ibid. fortasse τοὺς ἤδη νεκροὺς ὄντας, ὅταν etc. Bentleius ὅταν μόνον, Porsonus ὅταπερ.

ΣΥΝΑΠΟΘΝΗΣΚΟΝΤΕΣ

76. (4, 28)

Ἠγόρασα νῆστιν κεστρέ' ὀπτὸν οὐ μέγαν.

Athenaeus VII p. 307 d: ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις, — φησὶ — Φιλήμων Συναποθνήσκουσιν Ἠγόρασα κτλ.

ΣΥΝΕΦΗΒΟΣ

77 (4, 29)

Ἱμάτια διαφαίνοντα καὶ πέδην τινὰ
χρυσῆν.

Clemens Alex. Paed. II p. 244: πέδας δὲ περισφυρίους τὴν περὶ τοὺς πόδας ἀκοσμίαν τῶν γυναικῶν Φιλήμων ἐν Συνεφήβῳ προσεῖπεν Ἱμάτια κτλ.

ΥΠΟΒΟΛΙΜΑΙΟΣ

78. 79 I II (4, 29)

Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος.

Stobaeus Floril. LVII 8. Cfr. Zonaras p. 1395 et Etym. M. p. 600 56. Photius Στοιχεῖον: ἡ σκιά. Φιλήμων Ὑποβολιμαίῳ. De loco Clem. Alex. Strom. VI p. 752 Pott. qui item hanc fabulam memorat, dixi Prolegg. ad Menandr. p. XLV.

ΦΑΣΜΑ

80 (4, 29)

Ἔπιεν ἡ Ῥόδη
κυμβίον ἀκράτου· κατασέσειχ' ὑμᾶς ἄνω.

Athenaeus XI p. 481 d: κυμβία, τὰ κοῖλα ποτήρια καὶ μικρά. — Φιλήμων Φάσματι Ἐπεὶ δὲ ἡ Ῥόδη κτλ. Ita libri, at cod. Par. Macrobii Saturn. V 21, ubi idem Philemonis locus servatus est, ἔπιεν ἡ Ῥόδη, verbis κατασέσειχ' ὑμᾶς ἄνω omissis. Vs. 2 post ἀκράτου incidi; pro ἄνω forsan κάτω, ut κατασείειν in eam sententiam accipiatur, quam habes apud Menandrum Adelph. fr. XI 2. ὑμᾶς codices, ὑμῖν VL.

Φ Ι Λ Ο Σ Ο Φ Ο Ι

(4, 29) 81

Φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ·
πεινῆν διδάσκει καὶ μαθητὰς λαμβάνει.
εἷς ἄρτος, ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ.

Clemens Alex. Strom. II p. 493 Pott.: *Ζήνωνι δὲ τῷ στωικῷ τὴν διδασκαλίαν μαρτυροῦσι καί τοι διασύροντες οἱ κωμικοὶ ὧδέ πως Φιλοσοφίαν κτλ.* Fabulae et poetae nomen addit Diog. Laert. VII 24, ubi versus tertius primum locum occupavit. Cfr. Suidas v. *Ζήνων*. Aliud huius fabulae fragmentum habemus fortasse in Incertis LIII.

Χ Η Ρ Α

(4, 30) 82

Athenaeus XI p. 497 f: *Σαννάκρα. Κράτης — ἔκπωμά φησιν εἶναι οὕτω καλούμενον. ἔστι δὲ περσικόν. Φιλήμων δ' ἐν Χήρᾳ βατιακῶν μνησθεὶς καὶ τῇ γελοιότητι τοῦ ὀνόματος προσπαίξας φησί Σαννάκρα ἱπποτραγέλαφοι βατιάκια σαννάκια.* Cod. B *βατιάκιν*.

INCERTARVM FABVLARVM FRAGMENTA

I (4, 30. 31) 83

Ὦ Κλέων, παῦσαι φλυαρῶν· ἂν ὀκνῇς τὸ μανθάνειν,
ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσει ποιῶν.
οὔτε γὰρ ναναγός, ἂν μὴ γῆς λάβηται φερόμενος,
οὔποτ' ἂν σώσειεν αὑτόν, οὔτ' ἀνὴρ πένης γεγώς
μὴ οὐ τέχνην μαθὼν δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον.
"ἀλλὰ χρήματ' ἐστὶν ἡμῖν." ἅ γε τάχιστ' ἀπόλλυται.
"κτήματ', οἰκίαι." τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον.
κἂν μὲν ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τὸν τῆς τέχνης,
ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα·
ἂν δ' ἀπαίδευτος μετάσχῃ πνεύματος φορούμενος,
τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.
ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις, νὴ Δία,
ἔρανον εἰσοίσουσιν. εὖχου μὴ λαβεῖν πεῖραν φίλων,
εἰ δὲ μή, γνώσει σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν.

Stobaeus Floril. XXX 4. Vs. 2 libri *λήσῃ* et vs. 15 *γνώσῃ*. Ibid. *πονῶν* B m p *ποῶν* Trinc. Vs. 9 *τέχνης* Bentleius. Libri *τύχης*. Vs. 10 *εἵνεκα* pro edito *εἵνεκεν* A. Praestat fortasse *οὕνεκα*. Vs. 11 ante Bentleium *ἀπαιδεύτου*. Vs. 13 *καὶ* om. A.

Ceterum recte, ut videtur, Kiddius versus 6. 7 et 8 post 12 collocavit.

84 II (4, 31)

Ὃν οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν,
οὐδ' αὖ ποιήσων, οὐδὲ πεποιηκὼς πάλαι,
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὗτός εἰμ' ἐγώ,
Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία.
ἐγὼ δ', ὃ θεοῦ 'στιν ἔργον, εἰμὶ πανταχοῦ,
ἐνταῦθ' ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,
ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις
πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστιν τόπος,
οὗ μή 'στιν Ἀήρ· ὁ δὲ παρὼν ἅπανταχοῦ
πάντ' ἐξ ἀνάγκης οἶδε πανταχοῦ παρών.

Stobaeus Eclog. phys. I p. 70 et 284 ed. Heer. Partem loci servavit Vita Arati vol. II p. 438: *οἱ δὲ Δία τὸν ἀέρα ἀκούσαντες φέρουσι μάρτυν Φιλήμονα τὸν κωμικόν· φησὶ γάρ Ὃν οὐδὲ εἷς λέληθεν οὔτε κακὸν οὔτε ἐσθλόν, οὗτός εἰμ' ἐγὼ ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία.* Schol. lat. Arati II p. 37 ed. Buhle: *Iovem dictum aera: et Crates quidem eiusdem est opinionis, testemque esse Philonem* (leg. *Philemonem) comicum Ὃν οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν, OYTo κακῶ OYTe τρες ΘΑΝΟΙceYMeieiω.* Ita enim haec leguntur in MS Dietziano. Editiones graecos versus omittunt, quorum secundus ita scribendus videtur: *οὔτε κακὸν οὔτ' ἄρ' ἐσθλόν, οὗτός εἰμ' ἐγώ,* ut legitur fere in vita Arati. Vs. 2 *αὖ* Wakefieldi emendatio est; libri *ἄν*. Versum quartum servavit etiam sed male Platoni comico tribuit Etymol. M. p. 389 38. Cobeti Observ. in Plat. p. 181 sententiam quam ob causam probare non possim alio loco exposui.

85 III (4, 32)

Τί ποτε Προμηθεύς, ὃν λέγουσ' ἡμᾶς πλάσαι
καὶ τἄλλα πάντα ζῷα, τοῖς μὲν θηρίοις
ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν;
ἅπαντες οἱ λεόντες εἰσιν ἄλκιμοι,
δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγοί.
οὐκ ἔστ' ἀλώπηξ ἣ μὲν εἴρων τῇ φύσει
ἡ δ' αὐθέκαστος, ἀλλ' ἐὰν τρισμυρίας
ἀλώπεκάς τις συναγάγῃ, μίαν φύσιν
ἁπαξαπασῶν ὄψεται τρόπον θ' ἕνα.
ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστὶ τὸν ἀριθμόν
καθ' ἑνός, τοσούτους ἔστι καὶ τρόπους ἰδεῖν.

Stobaeus Floril. II 27. Vs. 1 *ποτε* A *ποθ' ὁ* vulgo. Vs. 5 cod. A *λαγωοί*. Itaque malim *λαγῴ*. Vs. 8 erat *συναγάγοι*. Vs. 9 vulgo *ἅπαξάπασιν*. Correxi e cod. Marciano.

IV (4, 33) 86

Πολύ γ' ἐστὶ πάντων ζῷον ἀθλιώτατον
ἄνθρωπος, εἴ τις ἐξετάζοι κατὰ τρόπον·
τὸν γὰρ βίον περίεργον εἰς τὰ πάντ' ἔχων
ἀπορεῖ τὰ πλεῖστα διὰ τέλους πονεῖ τ' ἀεί.
καὶ τοῖς μὲν ἄλλοις πᾶσιν ἡ γῆ θηρίοις
ἐκοῦσα παρέχει τὴν καθ' ἡμέραν τροφήν,
αὐτὴ πορίζουσ', οὐ λαβοῦσα . . .
. . . . . πάνυ μόλις
ὥσπερ τὸ κατὰ χρέος κεφάλαιον ἐκτίνει
τὸ σπέρμα, τοὺς τόκους δ' ἀνευρίσκουσ' ἀεί
πρόφασίν τιν' αὐχμὸν ἢ πάχνην ἀποστερεῖ.
καὶ δὴ τυχὸν μὲν διὰ τὸ παρέχειν πράγματα
μόνους ἑαυτῇ καὶ ποιεῖν τἄνω κάτω
ταύτην παρ' ἡμῶν λαμβάνει τιμωρίαν.

Stobaeus Floril. XCVIII 17. Vs. 7 indicavi lacunam. Vs. 9 *ἐπτίνει* pro vulgato *ἐκτίει* codd. Gaisfordi, qui *ἐκτίει* reliquit. Ibid. malim *ὥσπερ τι κατάχρεων*. Vs. 10 *ἀνευρίσκουσ'* Gesnerus. Libri *εὑρίσκουσ'*. Vs. 13 *ἑαυτῇ* Grotius. Vulgo *ἐν αὐτῇ*. AB *ταύτῃ*.

V (4, 34) 87

Μείζω τὰ κακὰ ποιοῦσι πολλοί, δέσποτα,
αὐτοὶ δι' αὑτοὺς ἢ πέφυκε τῇ φύσει.
οἷον τέθνηκεν υἱὸς ἢ μήτηρ τινί,
ἢ νὴ Δί' ἄλλων τῶν ἀναγκαίων γέ τις·
ἂν μὲν λάβῃ τοῦτ' "ἀπέθαν', ἄνθρωπος γὰρ ἦν,"
τοσοῦτο γέγονε τὸ κακὸν ἡλίκον περ ἦν.
ἐὰν δ' "ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
ἀπόλωλ'," ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ, κακά
πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει.
ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν
τὸ κακὸν ἀφαιρεῖ τἀγαθὸν δὲ λαμβάνει.

Stobaeus Floril. CVIII 33. Vs. 5 ἂν scripsi pro *εἰ*. cod. A *ὁ*. Tum pro *λάβῃ* Bentleius *λαλῇ*. Vs. 6 ante Bentleium *τοσοῦτον*. Vs. 8 libri *ἀπόλωλεν*. Ibid. *κακὰ* ex fine sequentis versus, ubi vulgo legitur, huc retraxit Iacobsius et Tyrwhittus apud Gaisfordum. Vs. 9 libri *κακοῖς*. Correxit Iacobsius.

88 VI (4, 34. 35)

Ἤκουσα τούτων αὐτός, οὐδὲ φύεται
αὐτόματον ἀνθρώποισιν, ὦ βέλτιστε, νοῦς
ὥσπερ ἐν ἀγρῷ θύμος· ἐκ δὲ τοῦ λέγειν τε καί
ἑτέρων ἀκούειν καὶ θεωρῆσαί [τί που]
κατὰ μικρὸν ἀεί, φασί, φύονται φρένες.

Appendix Flor. Stobaei Gaisf. IV p. 402 Lips. Vs. 2 malim *αὐτόματος* et vs. 3 *θύμ'*. Vs. 4 addidi *τί που*.

89 VII (4, 35)

Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τ' ἐπήρειάν τε καὶ μῖσος πολύ,
πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας,
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών,
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτόν με μήτε πράγματα·
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

Stobaeus Floril. XCVII 19 cum lemmate *Φιλήτου*. Philemoni tribuit Grotius. Idem locus in Comp. Men. et Phil. p. 358. Vs. 2 ante Salmasium *φθόνον τε κἀπήρειαν καί*. Propius vero Comparatio *φθόνον τ' ἐπήριον καί*. Vs. 3 *καὶ ὀχλήσεις* ante Bentleium. Vs. 4 nescio an delendus sit. Vs. 5 libri *εἶτα*. Correxit Bentleius. Vs. 9 ante Bentleium *με πλοῦτον*. Hunc quoque versum delendum suspicor.

90 VIII (4, 36)

Ὦ τρισμακάρια πάντα καὶ τρισόλβια
τὰ θηρί', οἷς οὐκ ἔστι περὶ τούτων λόγος·
οὔτ' εἰς ἔλεγχον οὐδὲν αὐτῶν ἔρχεται,
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακόν
ἐπακτόν, ἢν δ' ἂν εἰσενέγκηται φύσιν
ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον·
δουλεύομεν δόξαισιν, εὑρόντες νόμους,
προγόνοισιν, ἐγγόνοισιν. οὐκ ἔστ' ἀποτυχεῖν
κακοῦ, πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.

Stobaeus Floril. XCVIII 14. Vs. 2 Trinc. *θηρίοις οὐκ ἔνεστιν*. Hoc *ἔνεστιν* etiam A. Vs. 3 libri *αὐτῶν οὐδέν*. Transposuit Grotius. Vs. 9 malim *ἐκγόνοισιν*.

IX (4, 36) 91

Νὴ τὸν Δία τὸν μέγιστον ὤμην, Σωσία,
ἐγὼ πρότερον μὲν τοὺς πένητας ζῆν μόνον
ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον
ἱλαρόν τιν' εἶναι καὶ φέρειν εὐθυμίαν·
νυνὶ δὲ διαφέροντα τοῖς καθ' ἡμέραν
δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον,
λύπας δ' ἔχοντας μείζονας τοὺς μείζονας.

Stobaeus Floril. XCVII 18. Vs. 2 post *πρότερον* addendum esse *μέν*, monui in edit. pr. Confirmat nunc cod. A, nisi quod is illam particulam post *τοὺς* habet; *μόνους* B pro *μόνον*. Vs. 5 ante Bentleium *νῦν*. Vs. 6 cod. B *γ' ὁρῶ*. Bentleius *δαπανήμασιν νὴ τὸν Δία διορῶ μόνον*, quo adiutus scripserim *δαπανήμασιν νὴ τὸν Δί' εἰσορῶ μόνον*.

X (4, 37) 92

Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται·
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως·
οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν
εἶναι δίκαιος κοὐ δοκεῖν εἶναι θέλει.

Stobaeus Floril. IX 22. Duo priores versus habet etiam Anton. Mel. XL p. 61 et Aldina sylloge gnom. monost. in. Philisco locum tribuebat Grotius, Christiano homini, quod mireris, Brunckius P. Eth. p. 194. Vs. 2 Antonius et Aldina sylloge *οὐ βούλεται*. Atque ita etiam A et B m sec. Vs. 3 *ἀπέσχετο* A B m sec et margo Gesneri. Vulgo *ὑπέσχετο*. Vs. 6 *διατηρεῖ μόνον* Grotius. Et sic duo codd. Schowii. A *διατηρεῖ μόνως*. Gesnerus *διαθηρώμενος*. Idem in marg. *διατηρούμενος*.

XI (4, 37) 93

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς,
τὸν δ' ἓν λέγοντα μὴ νόμιζ' εἶναι μακρόν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λαβέ·
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

Stobaeus Floril. XXXVI 18.

94 XII (4, 38)

Ἐγὼ τὸν ἀγρὸν ἰατρὸν ἐλελήθειν ἔχων·
τρέφει γὰρ οὗτος ὥσπερ ἀρρωστοῦντά με,
σιτάρια μικρὰ προσφέρων οἴνου θ᾽ ὅσον
ὀσμήν, λαχάνων τ᾽ ἀεί τι καὶ νὴ τὸν Δία
τὰ πετραῖα ταῦτ᾽ ὀψάρια, κάππαριν, θύμον,
ἀσπάραγον, αὐτὰ ταῦτα· καὶ δέδοικα μή
λίαν ἀπισχναίνων με ποιήσῃ νεκρόν.

Stobaeus Floril. LVII 6. Vs. 4 libri *λαχάνων ἄγει τι.* Correxit Dobraeus Adv. II p. 289. Vs. 5 *πετραῖα* ante Salmasium *πετραγεῖα.* Arsen. *πετράνη.* B *πετράγεια.* Vs. 6 *ἀσπάρατον* A. Vs. 7 Trinc. *ἐπισχναίνων.*

95 XIII (4, 38)

Ὅταν δὲ παρατηροῦντ᾽ ἴδω τίς ἔπταρεν
ἢ τίς ἐλάλησεν, ἢ τίς ἐστιν ὁ προϊών
σκοποῦντα, πωλῶ τοῦτον εὐθὺς ἐν ἀγορᾷ.
αὑτῷ βαδίζει καὶ λαλεῖ καὶ πτάρνυται
ἕκαστος ἡμῶν, οὐχὶ τοῖς ἐν τῇ πόλει.
τὰ πράγμαθ᾽ ὡς πέφυκεν οὕτως γίνεται.

Clemens Alex. Strom. VII p. 843 P.: *ὁ κωμικὸς δὲ Φιλήμων καὶ τὰ τοιαῦτα κωμῳδεῖ Ὅταν κτλ.* Idem locus apud Theodoretum vol. IV p. 163 c. Cfr. incertus Crameri Anecd. Ox. IV p. 250. Vs. 1 editur *ὅταν ἴδω παρατηροῦντα,* et vs. 4 *ἑαυτῷ.* Correxit Grotius.

96. 97 XIV a. b (4, 39)

Μὴ
λύπει σεαυτόν, τοῦτο γινώσκων ὅτι,
ὅταν πότ᾽ ἀνθρώποισιν ἡ τύχη γελᾷ,
πάντων ἀφορμὴ τῶν καλῶν εὑρίσκεται·
ὅταν δὲ δυστυχῇ τις, οὐδ᾽ εὐφραίνεται.
Ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη.

Compar. Men. et Phil. p. 357. Legebatur *λυπῇς σαυτόν.* Correxit etiam Dobraeus Adv. II p. 291. Vs. 5 cod. *δυστυχεῖ.* Vs. 6 Chaeremoni tribuitur apud Stobaeum Ecl. phys. I p. 200 ed. Heer. ubi alius item ei subiicitur versus: *οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.*

98. 99 XV a. b (4, 39)

Πρόσεστι δὲ τῷ πένητι ἀπιστία,
κἂν σοφὸς ὑπάρχῃ κἂν λέγῃ τι συμφέρον·
[δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς.

τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος.]
ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν ἀσφαλές.

Compar. Men. et Phil. p. 357. Vs. 1 fortasse *τῷ γὰρ πένητι μὲν πρόσεστ' ἀπιστία.* Vs. 2 malim *καὶ λέγῃ.* Vs. 3 delendus videtur cum Dobraeo ad Plut. 689. A quarto versu novum fragmentum inchoare statuit D. Heinsius. Mihi etiam hic versus reliquis male interpositus videtur. Ceterum si tragici poetae locus est (cuiusmodi plura in illam comparationem illata sunt), non male pro *ἀκούουσιν* versu ultimo legi possit *κλύουσιν.* Dobraeus pro *ἀσφαλὲς* tentat *σαφές.*

XVI (4, 39. 40) 100

Ἐγὼ λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεούς,
οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι,
ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν κακῶν
τῶν συμπεσόντων τοῦ τε συμβάντος πάθους
οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα,
προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος.

Schol. Ven. et Eustath. ad Hom. Iliad. *ω* 617: *Φιλήμων δὲ ὁ κωμικός φησιν Ἐγὼ λίθον μὲν κτλ.* Vs. 1 *ἐγὼ* Eust. omittit. Vs. 2 *πεισθήσομαι* Eustathius. Schol. *πείθομαι.* Cfr. Porsonus ad Euripid. Med. 139 IX.

XVII (4, 40) 101

Ὅταν ξενισθῇς ἐν πόλει πρὸς τὸν φίλον,
ἐν ταῖς περισσαῖς καὶ πυκναῖς ὁμιλίαις,
ἐὰν μεγίστην ὁ φίλος λέγει πόλιν,
σὺ τὴν ἑαυτοῦ πατρίδα μὴ συγκρίνῃς·
ἐχθροὺς ποιοῦσι τοὺς φίλους αἱ συγκρίσεις.

Compar. Men. et Phil. p. 363. Videntur versus esse politici. Vs. 3 *ἢν* addebat Grotius. Vs. 4 Bentleius *μὴ σύγκριν', ἐπεί.* Ibid. Grotius *σεαυτοῦ.*

XVIII a. b (4, 40) 102. 103

Καλῶς ποιήσας καλῶς ὠνείδισας,
ἔργον καθεῖλες πλουσίου πτωχὸς λόγῳ.
Καινχώμενος τὸ δῶρον ὃ δέδωκας φίλῳ
ἔργῳ στρατηγὸς γέγονας, ἐν λόγῳ φονεύς.

Compar. Men. et Phil. p. 360. Non videntur attici poetae esse. Vs. 1 e MS addidit Grotius, qui post *ποιήσας* (codex *πονήσας*) adiecit *οὐ.* Fortasse scribendum *καλῶς ποιήσας εἰ κακῶς ὠνείδισας.* Dobraeus Adv. II p. 290: *οὐ καλῶς ὀνει-*

δίσας. Vs. 2 *πλουσίου πτωχὸς λόγῳ* D. Heinsius. Codex *πλούσιον πτωχῶν λόγῳ.* A tertio versu novum incipit fragmentum, quod vidit Dobraeus, qui vs. 4 ita refinxit *λόγῳ στρατηγὸς γέγονας, ὧν ἔργῳ φονεύς.*

104 XIX (4, 41)

Ὡς εὐφυὲς ζῷον κοχλίας νὴ τὸν θεόν.
ὅταν πονηρῷ περιπέσῃ τῷ γείτονι,
τὸν οἶκον ἄρας εἰς ἕτερον πορεύεται,
νέμεται δ' ἀμέριμνος τοὺς κακοὺς φεύγων ἀεί.

Compar. Men. et Phil. p. 361. Vs. 1 ante Bentleium *ὁ κοχλίας.*

105 XX (4, 41)

Ὃ δεῖ παθεῖν σε μηδαμοῦ σκέψῃ φυγεῖν·
οὐ γὰρ δυνήσῃ φεύγειν ὅ σε δεῖ παθεῖν·
τὸ πεπρωμένον γὰρ οὐ μόνον βροτοῖς
ἄφευκτόν ἐστιν, ἀλλὰ καὶ τὸν οὐρανόν.

Compar. Men. et Phil. p. 361. Vs. 2 fortasse *οὐ γὰρ δύναι' ἂν ἐκφυγεῖν,* vel *οὐ γὰρ δυνήσει διαφυγεῖν.* Vs. 3 ante *βροτοῖς* fort. addendum *τοῖσιν.* Vs. 4 Grotius *καὶ κατ' οὐρανόν.* Fortasse *καὶ τοῖς οὐρανόν | ἔχουσι* vel *οἰκοῦσι.*

106 XXI (4, 41)

Εἴ' ποτέ τις ἡμῶν εἰς τὸν ἀγρὸν ἐξιών
μνήματα παρελθὼν καὶ τάφους ἀνθρωπίνους,
τούτων ἕκαστος ἔλεγεν "εἰς ὥρας ἐγώ
πλεύσω, φυτεύσω, τοῖχον ἄρας κτήσομαι."

Compar. Men. et Phil. p. 362. Neque haec attici poetae sunt. Vs. 2 Heinsius *παρέλθοι.* Non male, si versum excidisse statuas hac sententia: *rerum humanarum fragilitatis admonitus dicet.* Nam vs. 3 *τούτων* ad sepultos spectare videtur. Vs. 4 cod. *κτήσομαι τοῖχον ἄρας.* Transposuit Grotius: necdum tamen haec persanata sunt. Pro *κτήσομαι* possis *στήσομαι;* sequenti versu fortasse fuit *ἕτερον.*

107 XXII (4, 41. 42)

Ἂν γνῷς τί ἐστ' ἄνθρωπος, εὐδαίμων ἔσει.
τέθνηκέ τις, μὴ δεινὸν ἔστω τοῦτό σοι.
κεκύηκέ τις, οὐ κεκύηκέ τις· ἠτύχηκέ τις·
βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει
ἅπαντα ταῦτα. φεῦγε τὰς λύπας.

Stobaeus Floril. CVIII 39. Vs. 1 *ἂν γνῷς τί* Grotius pro *ἀγνὼς τίς.* Diphilus Stobaei Flor. XXI 3: *Ἂν γνῷς τί ἐστ'*

ἄνθρωπος ἡδίων ἔσει. Vs. 3 post *κεκύηκε* libri repetunt *μὴ δεινόν.* Delevit Grotius. Praeterea malim *κεκύηκεν, οὐ κεκύηκεν,* utroque *τις* omisso. Vs. 4 *δὲ* post *φέρει* delevit Grotius. Idem vs. 5 addidit *μόνον.*

XXIII (4, 42) 108

Ἄνθρωπος εἶ δήπουθεν, ὧν ἐστ' οὐδὲ εἷς
ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται,
ὃ ποιῶν δ' ἐλάχιστον τὸ γεγενημένον κακόν,
ἀμφότερον οὗτος εὐτυχεῖ τε καὶ φρονεῖ.

Stobaeus Floril. CVIII 50. Vs. 1 *ὧν* Bentleius: libri *οὐκ.* Vs. 3 Bentleius *ἐλαχίστου.* Ibid. *κακὸν* addidit Bentleius.

XXIV (4, 42) 109

Τί ποτ' ἐστὶν ἆρα διότι βούλεταί μ' ἰδεῖν;
ἢ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα,
τὸν ἰατρὸν ἂν ἴδωσιν, οὐκ ἀλγοῦσ' ἔτι,
οὕτως, ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἧττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ' ἴδῃ;

Stobaeus Floril. CXIII 10. Vs. 3 *οὐκ* om. Trinc. Vs. 5 A *παρόντα δεῖ.*

XXV a. b (4, 42) 110. 111

Ἆρ' ἐστὶ τοῖς νοσοῦσι χρήσιμος λόγος.
Ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθέν
τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος
εὔκαιρος εἰς τὰ σπλάγχνα κολληθεὶς φίλων
εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ.

Compar. Men. et Phil. p. 362. Tres priores versus sunt etiam apud Stobaeum Floril. LXXXI 2, ubi Trinc. *Φιλήμονος.* A *Φιλήτα.* Gesn. *Philemonis in Phileta.* Vs. 1 vulgo ita legitur *ἆρ' ἐστὶ λόγος τοῖς νοσοῦσι χρήσιμος.* Correxit Gaisfordus ex AB, nisi quod reliquit *ἄρ'* pro *ἆρ'.* Comparatio habet *πάρεστιν ὁ λόγος.* Vnde Grotius *ἆρ' ἐστὶν ὁ λόγος.* Idem primum versum a reliquis separavit. Vs. 4 Dobraeus Adv. II p. 287 *φίλου.*

XXVI (4, 43) 112

Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή·
πλεῖον γὰρ οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις.
εἴτ' ἔστιν εἴτ' οὐκ ἔστι μὴ βούλου μαθεῖν,
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

Stobaeus Ecl. phys. II p. 6 ed. Heer. et Compar. Men. et Phil. p. 359. Versum primum tertium et quartum omisso auctoris

nomine ex cod. Paris. edidit Boissonadius Anecd. I p. 120, ubi vs. 3 pro *βούλου* est *πειρῶ*. Vs. 4 malim *ὡς ὄντα δ' αὐτόν*. Stobaei codices Philetae tribuunt.

113 XXVII a (4, 43)

Σοὶ γὰρ τίς ἐστιν, εἰπέ μοι, παρρησία;
σὺ λαλεῖς ἐν ἀνθρώποισιν ὡς ἄνθρωπος ὤν,
τὸ δ' ὅλον περιπατεῖς, ἢ τὸν αὐτὸν ἀέρα
ἑτέροισιν ἕλκεις, εἰπέ μοι, τοιοῦτος ὤν;

Stobaeus Floril. VI 18. Vs. 1 correxit Gaisfordus ex Damasc. Vulgo *σὺ γὰρ τί ἐστιν*. Vs. 4 libri *ἑτέροις συνέλκεις*. Correxi in editione prima. Actum egit Dobraeus Adv. II p. 289.

114 XXVII b (4, 43. 44)

Πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν
λύπη· διὰ λύπην καὶ μανία γὰρ γίνεται
πολλοῖσι καὶ νοσήματ' οὐκ ἰάσιμα·
αὐτούς τ' ἀνῃρήκασι διὰ λύπην τινές,
ἐπὰν τὸ λυποῦν πλεῖον ᾖ τὸ σῶζον ᾖ.

Stobaeus Floril. XCIX 1. Tacito auctoris nomine et ultimo versu omisso habet Plutarchus Cons. Apoll. p. 102 B. Cfr. Menandr. inc. CXXIII. Menandro tribuit Trinc. Vs. 2 *λύπης* vulgo. *λύπην* A B margo Gesn.

115 XXVIII (4, 44)

Δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός·
ὧν ἡ φύσις δεῖται γὰρ ἐπιμελῶς φέρει,
πυρούς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι·
τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ εἰς τὸν βίον.

Stobaeus Floril. LVI 15. Postremos versus Socratem frequenti commemoratione usurpasse hallucinatur Diogenes Laert. II 25. Vs. 4 *τὰ δ' ἀργυρώματ'* Diogenes. *τἀργυρώματ'* libri Stobaei. Vs. 5 pro *τραγῳδοὺς* B *στρατηγούς*. Ibid. *εὔθετ'* Stobaeus. *χρήσιμ'* Diogenes et Clemens Alex. Paed. II p. 235: *πρὸς δὲ καὶ ἡ πορφύρα καὶ τὰ ἀργυρώματα, ὡς φησὶν ὁ κωμικός, εἰς τοὺς τραγῳδοὺς χρήσιμα, καὶ οὐκ εἰς τὸν βίον.*

116. 117 XXIX a. b (4, 44)

Πολλάκις ἔχων τις οὐδὲ τἀναγκαῖα νῦν
αὔριον ἐπλούτησ', ὥστε χἀτέρους τρέφειν.
Θησαυρὸν εὑρὼν σήμερόν τις αὔριον
ἅπαντα τἀκ τῆς οἰκίας ἀπώλεσεν.

Stobaeus Floril. CV 50. Distinxi haec in duo fragmenta. Vs. 3 *τις* pro *τῆς* Porsonus.

XXX (4, 44) 118

Σύρα, Σύρα. Β. τί ἐστι; Α. πῶς ἡμῖν ἔχεις;
Β. μηδέποτ' ἐρώτα τοῦτ', ἐπὰν γέροντ' ἴδῃς
ἢ γραῦν τιν'· ἴσθι δ' εὐθὺς ὅτι κακῶς ἔχει.

Stobaeus Floril. CXVI 17 et Antonius Mel. p. 240 48.

XXXI (4, 45) 119

Ἐξιών
γυναικὸς ἐξόπισθ' ἐλευθέρας βλέπω
μόνην θεράπαιναν κατόπιν ἀκολουθεῖν καλήν
ἐκ τοῦ Πλαταϊκοῦ, παρακολουθοῦντά τε
ταύτῃ κατιλλώπτειν τινά

Clemens Alex. Paed. III p. 296 Potter.: *ἐγὼ μὲν οὐδὲ τὰς θεραπαίνας ἀξιῶ ταῖς ἀρίσταις γυναιξὶ τὰς ἑπομένας αἰσχρολογεῖν ἢ αἰσχροεργεῖν, σωφρονίζεσθαι δὲ αὐτὰς πρὸς τῶν δεσποινῶν· σφόδρα γοῦν ἐπιτιμητικώτατα ὁ κωμικὸς Φιλήμων φησίν Ἐξιὼν γυναικός κτλ.* Vs. 1 *ἐξόν* ante Marklandum. Idem vs. 2 et 3 *βλέπω μόνην* pro *βλεπομένην*. Vs. 4 et 5 legebatur *ἐκ τοῦ Πλαταιικοῦ τε παρακολουθοῦντά τινα ταύτῃ κατιλλώπτειν*. Correxit Bentleius. Vs. 5 Dobraeus *μέγ' ἐγκατιλλώπτειν*. Lenius esset *ταύτῃ 'γκατιλλώπτειν*.

XXXII (4, 45) 120

Μῦς λευκός, ὅταν αὐτήν τις (ἀλλ' αἰσχύνομαι
λέγειν), κέκραγε τηλικοῦτον εὐθὺς ἡ
κατάρατος, ὥστ' οὐκ ἔστι πολλάκις λαθεῖν.

Aelianus Nat. An. XII 10: *ἔτι μᾶλλον τὸν θῆλυν (μῦν) ἔλεγον εἰς τὰ ἀφροδίσια εἶναι λυττητικόν. — Φιλήμων Μῦς λευκός κτλ.* Respicit Photius p. 282 3. Vs. 3 *μαστροπός*, quod libri post *κατάρατος* habent, delevit Bentleius.

XXXIII (4, 46) 121

Τὸν βολβόν, εἰ βούλει, σκόπει
ὅσα δαπανήσας εὐδοκιμεῖ, τυρόν, μέλι,
σήσαμον, ἔλαιον, κρόμμυον, ὄξος, σίλφιον·
αὐτὸς δ' ἐφ' αὑτοῦ 'στιν πονηρὸς καὶ πικρός.

Athenaeus II p. 64 e: *περὶ δὲ τῆς τῶν βολβῶν σκευασίας Φιλήμων φησί Τὸν βολβόν κτλ.* Vs. 3 praeeunte Schweighaeusero scripsi *κρόμμυον*. Libri *κρόμυον*. Vs. 4 libri *ἐπ' αὐτοῦ ἐστι*.

122 **XXXIV a (4, 46)**

Βουνὸν ἐπὶ ταύτῃ καταλαβὼν ἄνω τινά.
Β. τίς ἔσθ' ὁ βουνός; ἵνα σαφῶς σου μανθάνω.

Phrynichus Epit. p. 355. *Βουνός: ὀθνεία ἡ φωνὴ τῆς Ἀττικῆς· καὶ γὰρ αὐτὸς ὁ χρησάμενος τῷ ὀνόματι, συνεὶς ξένως (ξένῳ?) κεχρημένος, σημαίνεται ὡς ἀσαφῶς διαλεγόμενος· εἰπόντος γάρ τινος Βουνὸν — τινά, ὁ προσδιαλεγόμενος, οὐ συνεὶς τὸ ξένον τοῦ ὀνόματός φησι Τίς ἔσθ' ὁ βουνός κτλ.*

123 **XXXIV b (4, 46)**

Χαλεπόν γ' ἀκροατὴς ἀσύνετος καθήμενος·
ὑπὸ γὰρ ἀνοίας οὐχ ἑαυτὸν μέμφεται.

Theophil. ad Autol. III p. 385 d: *καθάπερ καὶ ὁ Φιλήμων Χαλεπόν γ' ἀκροατής κτλ.* Versu primo addidit *γ'* Dobraeus.

124 **XXXV (4, 46)**

Ἀλλ' ἐν Σάμῳ μὲν τοῦ λιθίνου ζῴου ποτέ
ἄνθρωπος ἠράσθη τις, εἶτ' εἰς τὸν νεὼν
κατέκλεισεν αὐτόν.

Athenaeus XIII p. 605 f: *Κλείσοφος — τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὐτὸν ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος· — καὶ Φιλήμων τοῦ αὐτοῦ μνημονεύων φησίν Ἀλλ' ἐν Σάμῳ κτλ.*

125 **XXXVI (4, 47)**

Ἐὰν γέρων γένηται πλούσιος γεγώς,
καλὸν τὸ γῆράς ἐστιν ἐπὶ τούτῳ μόνον.
ἔχει γὰρ χειραγωγὸν τὸν πλοῦτον ὁ γέρων.

Compar. Men. et Phil. p. 358. Vs. 1 fort. *ἐὰν γένηται πλούσιος γεγὼς γέρων.* Praeterea primus et secundus versus transponendi videntur. Dobraeus Adv. II p. 291 primum versum delendum esse, reliqua autem ita scribenda coniecit, *ἐπὶ τούτῳ μόνον, | τὸν πλοῦτον ἤν τις χειραγωγήσοντ' ἔχῃ.* Tertius versus aut graviter corruptus est, aut non sunt poetae verba.

126 **XXXVII (4, 47)**

Ὦ γέρον, ἐπὰν ἴδῃς γέροντα καὶ μόνον,
μηδὲν ἐπερώτα· πάντα γὰρ κακῶς ἔχει.
καλὸν τὸ θνήσκειν ἐστὶν ἐπὶ τούτῳ λέγειν.

Compar. Men. et Phil. p. 358. Vs. 2 forsan praestat *μηδέποτ' ἐρώτα*, ut XXX 2. Dobraeus: *μηδὲν ἔτ' ἐρώτα.* Idem vs. 3 delet. Si suo loco positus est, verterim: ***de hoc usurpare licet*** (*ἔστιν* pro *ἐστὶν*) "***lucrum est mori.***"

XXXVIII (4, 47) 127

Ἐπὰν ἐγγὺς θάνατος ἔλθῃ,
οὐδεὶς ἑαυτῷ ὃ θέλει βουλεύεται·
θνήσκει δ' ὁ θνήσκων κατ' ἰδίαν εἱμαρμένην.

Compar. Men. et Phil. p. 365. Locus adhuc frustra tentatus.

XXXIX (4, 47) 128

Κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει·
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτέ,
ἡ δ' αὖ τύχη τὸ σῶμα κατεδουλώσατο.

Compar. Men. et Phil. p. 361. Vs. 1 pro *ᾖ τις* erat *ἐστι*. Correxi edit. pr. allato Eurip. Orest. 1537: *κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν*. Nunc idem Dobraeus Adv. II p. 291.

XL a (4, 48) 129

Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον, ἄνδρες, ὡς φασίν τινες,
ἀπηγξάμην ἂν ὥσι' ἰδεῖν Εὐριπίδην.

Compar. Men. et Phil. p. 316. Anthol. Palat. IX 450 et Thomas Mag. Vita Eurip. p. 140 ed. West. cf. p. 137 sq.

XL b (4, 48) 130

Σφίγγ' ἄρρεν', οὐ μάγειρον εἰς τὴν οἰκίαν
εἴληφ'· ἁπλῶς γὰρ οὐδὲ ἕν, μὰ τοὺς θεούς,
ὥνπερ λέγει συνίημι· καινὰ ῥήματα
πεπορισμένος γάρ ἐστι.

Athenaeus XIV p. 659 b: *μάλιστα γὰρ εἰσάγονται οἱ μάγειροι σκωπτικοί τινες, ὡς παρὰ Μενάνδρῳ ἐν Ἐπιτρέπουσι. καὶ Φιλήμων δέ ποί φησι Σφίγγ' ἄρρεν', οὐ κτλ.* Eosdem versus, sed pluribus auctos e Stratonis Phoenicide iterum apposuit Athen. IX p. 382 c. Vs. 3 altero loco Athen. *ὅσ' ἂν λέγῃ* et vs. 4 *πάρεστι* pro *γάρ ἐστι*.

XL c (4, 48) 131

Ἐκ τῶν λόγων μὴ κρῖνε, Κλειτοφῶν, σοφόν
ἢ χρηστὸν ἄνδρα· τὸν βίον ἐξέταζ' ἀεί·
πολλοὶ γὰρ εὖ λέγουσιν ἀδικίας χάριν,
τὰ δ' ἔργ' ἔχουσι φαῦλα κοὐ φρονοῦσιν εὖ.

Appendix Floril. Stobaei Gaisf. vol. IV p. 382 Lips. cum lemmate *Τίωνος*, i. e. *Φιλιστίωνος* (*Φιλήμονος*), ut recte monuit Gaisfordus.

132 XLI (4, 49)

Ἂν οἷς ἔχομεν τούτοισι μηδὲ χρώμεθα,
ἃ δ' οὐκ ἔχομεν ζητῶμεν, ὧν μὲν διὰ τύχην
ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθ' ἐστερημένοι·
εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος
μηδὲν δ' ὅμως τι τῶν καλῶν πειράσεται,
ἐγὼ μὲν αὐτὸν οὔποτ' ὀλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.

Floril. Vat. MS apud Maium Coll. Script. vett. II p. XXVII. Tres priores versus habet Stobaeus Flor. XVI 1 et Anton. Mel. XLII p. 64. Vs. 1 Stobaeus *ἐὰν οἷς ἔχωμεν τοῖς γε*. Trinc. *γε* omittit. Antonius *ἐὰν οἷς ἔχωμεν τούτοις*. Hinc conieci in prima edit. *ἐὰν (ἂν) οἷς ἔχομεν τούτοισι*. Confirmat nunc Flor. Vat. ubi legitur *ἐὰν οἷς ἔχομεν τούτοις*. Vs. 2 *ζητῶμεν* Flor. Vat. ut scripsi in edit. pr. *ζητοῦμεν* Stobaeus.

133 XLII (4, 49)

Τί ζῆν ὄφελος ᾧ μή 'στι τὸ ζῆν εἰδέναι;
B. ἀλλ' οἶνος ἦν· οὐδεὶς δὲ μεθύων, ἂν σκοπῇς,
ὃς οἰχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι·
ὅσα μ' οὗτος ἠνάγκαζεν, ἐποίουν ταῦτ' ἐγώ.
ὁ πονηρὸς οἶνος οὗτός ἐστι, Νικοφῶν.

Stobaeus Floril. XVIII 6 7. Vs. 1 libri *τί δὴ ζῆν*. Correxit Grotius. Fortasse tamen praestat *τί δή | ζῆν ὄφελος ᾧ μή 'στιν τί τὸ ζῆν εἰδέναι*. Vs. 5 fortasse *πονηρὸς οἶνος ὁ πολύς ἐστι*. Versus hic fortasse alteri interlocutori tribuendus, nisi potius a reliquis separandus est.

134 XLIII (4, 50)

Ὁ φθόνος ἐν ἑαυτῷ τοῦθ' ἓν ἐπιεικῶς ποιεῖ·
τὸν αἱρετιστὴν ὄντα τῶν αὐτοῦ τρόπων
λυμαίνεται μάλιστα διὰ παντὸς συνών.

Stobaeus Floril. XXXVIII 1. Vs. 1 Bentleius *ἐν αὑτῷ* et *ἔχει* pro *ποιεῖ*. Fortasse sufficit *ὁ φθόνος ἑαυτῷ*. Vs. 2 libri *ἐρεθιστήν*. Correxit Gesnerus.

135 XLIV (4, 50)

Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρὸς ἀλλ' ὑπήκοον·
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα.

Stobaeus Floril. LXXIV 20. Vs. 1 B post *ἀγαθῆς* inserit *δέ*. Vs. 2 Gesnerus *κρεῖττον*.

XLV (4, 50) 136

Οὐκ ἂν δύναιο μὴ γενέσθαι, δέσποτα,
ἄνθρωπος ὢν ἄνθρωπος· ἄλλως οὖν βοᾷς.
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶν κακά.

Stobaeus Floril. XCVIII 5.

XLVI a (4, 50) 137

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν εὖ σκοπῇς,
τοὺς αὐτὸς αὑτοῦ βούλεθ' ὑγιαίνειν φίλους,
οὔτε στρατιώτης πόλιν ὁρᾶν ἄνευ κακοῦ.

Stobaeus Floril. CII 5. Vs. 1 *ἂν σκοπῇς* sine *εὖ* Voss. *ἄνευ κόπου* B ex interpolatione. *ἂν κοπεῖς* A. Fort. igitur *ἐὰν σκοπῇς*. Vs. 2 *αὑτοῦ αὐτὸς* A et Voss.

XLVI b (4, 51) 138

Οὕτως ἄνανδρος γέγονας; οὐκ εὐψυχία
τοῦτ' ἐστὶν ὃ ποιεῖς νῦν γάρ, ἀλλ' ἀνανδρία
τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον.

Stobaeus Floril. CVIII 34. Gesneri margo: ***Diphili alias Philemonis.*** Philemoni tribuit Grotius et Gaisfordus ex A.

XLVII (4, 51) 139

Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολήν
ἐπὶ τοῖς παροῦσιν, ἐν δὲ τῇ λύπῃ φρονῶ.
τοῦτο τό με τηροῦν ἐστι κἄνθρωπον ποιοῦν.

Stobaeus Floril. CVIII 2. Vs. 3 ita Grotius pro *τοῦτό με τηροῦν*. B *καὶ τοῦτό με τηροῦν*. Gaisfordus *τοῦτό με τὸ τηροῦν*.

XLVIII (4, 51) 140

Οὐκ ἔστιν ἡμῖν οὐδεμία τύχη θεός,
οὐκ ἔστιν, ἀλλὰ ταυτόματον, ὃ γίνεται
ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται τύχη.

Clemens Alex. Strom. V p. 276 Pott.: *καλῶς οὖν καὶ Φιλήμων ὁ κωμικὸς — Οὐκ ἔστιν ἡμῖν κτλ.* Eadem sunt apud Euseb. P. E. XIII p. 402 et Theodoret. Therap. T. IV p. 852.

XLIX (4, 51) 141

Ὁρῶσι πάντες πρῶτον, εἶτ' ἐθαύμασαν,
ἔπειτ' ἐπεθεώρησαν, εἶτ' εἰς ἐλπίδα
ἐνέπεσον· οὕτω γίνετ' ἐκ τούτων ἔρως.

Clemens Alex. Strom. VI p. 750 Pott.: *Φιλήμων ὁ κωμικὸς γράφει Ὁρῶσι πάντες κτλ.* Vs. 2 vulgatur *εἶτ' ἐπεθεώρησαν*. Correxit Bentleius. Vs. 3 *ἐνέπεσον* Bentleius. Vulgo *ἐνέπεσαν*.

142 L (4, 51)

Παρὰ τοῖ βασιλέως γράμμαθ' ἥκει σοι Μάγα.
B. Μάγας, κακόδαιμον, γράμματ' οὐκ ἐπίσταται.

Plutarchus de Ira cohib. p. 458 a: *δημοσίᾳ* (*Μάγας*) *ὑπ' αὐτοῦ* (*Φιλήμονος*) *κωμῳδηθεὶς ἐν θεάτρῳ Παρὰ τοῦ βασιλέως κτλ. λαβὼν ὑπὸ χειμῶνος εἰς Παραιτόνιον ἐξενεχθέντα στρατιώτῃ μὲν ἐκέλευσε γυμνῇ τῇ μαχαίρᾳ θιγεῖν τοῦ τραχήλου μόνον, εἶτα κοσμίως ἀπελθεῖν.* Eadem tradit de Virt. mor. p. 449 e sed omissis illis versibus, quorum alter ita vulgo editur: *Μάγα κακόδαιμον, γράμματ' οὐκ ἐπίστασαι.* Correxit Clericus.

143 LI a (4, 52)

Οὐ τοὺς ἀώρους εἶπά σοι, μαστιγία,
πόδας πρίασθαι; σὺ δὲ φέρεις ὀπισθίους.

Grammat. Bekkeri p. 476 14: *Ἄωροι πόδες, οἱ ἐμπρόσθιοι.* — *καὶ Φιλήμων Οὐ τοὺς ἀώρους κτλ.* Habet etiam Eustath. p. 1715 23 et schol. Odyss. XII 89, ubi *κομίζειν* legitur pro *πρίασθαι*.

144 LI b (4, 52)

Ἐκ τοῦ παθεῖν γίνωσκε καὶ τὸ συμπαθεῖν·
καὶ σοὶ γὰρ ἄλλος συμπαθήσεται παθών.

Maximus Conf. LVIII p. 93 6 ubi Philistioni tribuitur. Post *γίνωσκε* addidi *καί*, ut legitur ib. CXXXIV p. 210 7.

145 LI c (4, 52)

Τῇ γῇ δανείζειν κρεῖττόν ἐστιν ἢ βροτοῖς,
ἥτις τόκους δίδωσιν οὐ λυπουμένη.

Maximus Conf. LVIII p. 95 44. Huic etiam, ut sequentibus quattuor fragmentis, Philistionis nomen adscriptum est. Eidem tribuitur in App. Flor. Stobaei Gaisf. p. 400 Lips. ubi vs. 2 est *δίδωσι μὴ λυπουμένη*.

146 LI d (4, 53)

Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

Maximus Conf. LXXIX p. 137 50. Vs. 2 editur *συνειδὼς αὐτῷ*. Correxi e Stobaeo Flor. XXIV 1, ubi Diphilo tribuitur.

147 LII a (4, 53)

Μαθημάτων φρόντιζε μᾶλλον χρημάτων·
τὰ γὰρ μαθήματ' εὐπορεῖ τὰ χρήματα.

Maximus Conf. CXXXIV p. 210 4. Versu primo editur *μᾶλλον ἢ χρημάτων*. Correxit Buttmannus.

LII b (4, 53) 148

Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου·
ἔλπιζε δ' αὐτὸν πάλιν ἂν εἶναί σου φίλον.

Maximus Conf. CXXXVII p. 217 33. Vs. 1 fort. *μὴ 'κφήνῃς*. In gnomis monost. Men. 418 *μὴ 'κφάνῃς*. Vs. 2 addidi *ἄν*. Idem versus est in Menandri monost. 406.

LII c (4, 53) 149

Λύουσιν ἡμῶν συμφοραὶ τὰς συμφοράς,
παρηγοροῦσαι τὰ κακὰ δι' ἑτέρων κακῶν.

Maximus Conf. CXLVIII p. 237 12. Cfr. Menandri Inc. fab. XIX 5.

LIII (4, 53) 150

Καὶ τοῦ θέρους μὲν εἶχεν ἱμάτιον δασύ,
ἵν' ἐγκρατὴς ᾖ, τοῦ δὲ χειμῶνος ῥάκος.

Diogenes Laert. VI 87 de Cratete cynico: *αὐτὸν δὲ καρτερῶς οὕτω φιλοσοφεῖν, ὥστε καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι· φησὶ γοῦν Καὶ τοῦ θέρους μὲν κτλ.* Locus fortasse ad Philosophos referendus.

LIV (4, 54) 151

Μὴ νουθέτει γέρονθ' ἁμαρτάνοντά τι·
δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον.

Compar. Men. et Phil. p. 358. Vs. 1 ante Grotium pro *τί* erat *ποτε*.

LV (4, 54) 152

Ὦ Πάμφιλ', ὁ χρόνος οὐ μόνον τὰ σώματα
αὔξει βαδίζων, ἀλλὰ καὶ τὰ πράγματα.

Stobaeus Ecl. phys. I p. 224 ed. Heer.

LVI (4, 54) 153

Ὅσαι τέχναι γεγόνασι, ταύτας, ὦ Λάχης,
πάσας ἐδίδαξεν ὁ χρόνος, οὐχ ὁ διδάσκαλος.

Stobaeus Ecl. phys. I p. 238 ed. Heer.

LVII (4, 54) 154

Ὅσα διὰ τοὺς πράττοντας αὐτοὺς γίνεται,
οὐδενὶ πρόσεστιν οὐδὲ κοινωνεῖ τύχη.

Stobaeus Ecl. eth. II p. 334 ed. Heer.

155 **LVIII (4, 54)**

Ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκώς τινι,
οὐκ ἔστ' ἀκούειν οὐδὲν αὐτὸν οὐδ' ὁρᾶν.

Stobaeus Floril. IV 41. Vs. 2 libri *οὐθέν*. Ibid. Gesnerus *αὐτῷ*. Trinc. *τούτων*. Scaliger *αὐτόν*.

156. 157 **LIX a. b (4, 54)**

Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.
Τὸ γὰρ κατασχεῖν ἐστι τὴν ὀργὴν πόνος.

Stobaeus Floril. XX 4 et Anton. Mel. 77 p. 133 20, qui vs. 2 habet *τῆς ὀργῆς πόνος μέγας*. Ex quibus *τῆς ὀργῆς* habet etiam Stobaeus Gesneri, qui in margine *τὴν ὀργήν*. Confirmant codd. Schowii. Duo fragmenta esse vidit H. Stephanus C. Gr. 384. Cfr. Menandri Fragm. inc. CCLXXXV.

158 **LX (4, 55)**

Τὸ γνῶθι σαυτὸν οὐ μάτην εὖ ἴσθ' ὅτι
τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει.

Stobaeus Floril. XXII 4. Grotius operarum errore *οἶσθ' ὅτι*.

159 **LXI (4, 55)**

Ὡς ἡδέως μοι γέγονε τὰ πρότερον κακά·
εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Stobaeus Floril. XXIX 30. Vs. 1 vulgo *πρότερα*. A et B m s. *πρότερον*, ut coniecerant Porsonus et Seidlerus.

160 **LXII (4, 55)**

Πολλά με διδάσκεις ἀφθόνως διὰ φθόνον,
ὅπως ἀκούων πολλὰ μηδὲν μάθω.

Stobaeus Floril. XXXVIII 24 et Apostol. XVI 50.

161 **LXIII a (4, 55)**

Στρατιῶτα, κοὐκ ἄνθρωπε, καὶ σιτούμενε
ὥσπερ ἱερεῖον, ἵν' ὅταν ᾖ καιρὸς τυθῇς.

Stobaeus Floril. LIII 8. Vs. 2 libri *ὡς τὰ ἱερεῖα*. Correxit Porsonus Adv. p. 296. Cfr. Fragm. inc. CXXVII.

162 **LXIII b (4, 55)**

Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν,
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

Stobaeus Floril. LXII 7. Gesnerus ***Eiusdem*** (sc. Menandri) ***alias ad Philemonem refertur.*** Vide Menandri Inc. CLXXIX.

LXIV (4, 55) 163

Ἔτεκές με, μῆτερ, καὶ γένοιτό σοι τέκνων
ὄνησις, ὥσπερ καὶ δίκαιόν ἐστί σοι.

Stobaeus Floril. LXXIX 8. Gesnerus *μήτηρ*. B *μῆτερ*.

LXV (4, 56) 164

Τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου, γύναι,
εὐφραινόμεσθ' ἔλαττον ἢ λυπούμεθα.

Stobaeus Floril. XCVIII 3. Gesnerus *εὐφραινόμεθ'*.

LXVI (4, 56) 165

Πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις κακά,
ἃ καλῶς ὅταν ἐνέγκῃς ἀγαθὰ γενήσεται.

Stobaeus Floril. CVIII 35. Versu secundo *ὅταν* pro *ἐάν* scripsi cum Hermanno Opusc. IV p. 374.

LXVII (4, 56) 166

Ἐνταῦθ' ἀνὴρ γάρ ἐστιν ἀνδρὸς διάφορος,
ἐν τῷ τό τε κακὸν εὖ φέρειν καὶ τἀγαθόν.

Stobaeus Floril. CVIII 37. Vs. 1 *γὰρ* om. A et B. Versu altero possis *ἐν τῷ τε τὸ κακόν*, cll. Reisigio Coni. in Arist. I p. 134. Sed non opus. Pro *εὖ φέρειν* A habet *εὐφραίνειν*.

LXVIII (4, 56) 167

Αἰτῶ δ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν,
τρίτον δὲ χαίρειν, εἶτ' ὀφείλειν μηδενί.

Lucianus de lapsu inter salut. I p. 336 Amst.: *πολὺ δ' ἂν εἴροις τὸ ὑγιαίνειν πρῶτον λεγόμενον. καὶ ὁ Φιλήμων Αἰτῶ δ' ὑγίειαν κτλ.* V. Anaxandr. fragm. 17.

LXIX (4, 56) 168

Ὅστις πένης ὢν ζῆν παρ' ὃ ζῆν βούλεται·
ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

Stobaeus Floril. XCVI 6. Gesnerus *ζῇ, παραζῆν βούλεται*. Salmasius *ζῆν παρ' ὃ ζῇ βούλεται*, quod qui probant, versum excidisse statuere debebunt. Bentleius vere correxisse videtur: *πᾶς τις πένης ὢν ζῆν παρ' ὃ ζῇ βούλεται*. Alterum versum cum priore coniunxit Grotius.

LXX (4, 56) 169

Οὕτως, ὅταν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος,
κἀκ τοῦ καθεύδειν οὗτος οὐκ ἐξέρχεται.

Stobaeus Floril. XCIX 5. Vs. 2 Bentleius *κἀν τῷ καθεύδειν*.

170 **LXXI (4, 57)**

Ἀγαθὴ γὰρ ἡ λύπη καθ' αὑτῆς ἀναπλάσαι
ἀτεχνῶς διπλάσια τῆς ἀληθείας κακά.

Stobaeus Floril. XCIX 22. Omittit Trincavellus.

171 **LXXII (4, 57)**

Μὴ λέγ' ὅτι δώσεις· οὐ δίδωσι γὰρ λέγων,
καὶ τὴν ἀπ' ἄλλων ἐμποδίζεται δόσιν.

Compar. Men. et Phil. p. 316. Vs. 1 legebatur *μὴ λέγε τί.*

172 **LXXIII (4, 57)**

Πονηρὸς ἂν ᾖ δοῦλος εὑρήσει δίκην·
σὺ μὴ γενηθῇς τῆς δίκης προηγέτης.

Compar. Men. et Phil. p. 360. Vs. 2 cod. *ἂν εἰ δοῦλος εὑρήσῃ.* Correxit Grotius. Idem vs. 2 *σὺ δὲ μή* κτλ.

173 **LXXIV (4, 57)**

Μηδέποτε μέμφου τὴν τύχην, εἰδὼς ὅτι
καιρῷ πονηρῷ καὶ τὰ θεῖα δυστυχεῖ.

Compar. Men. et Phil. p. 357.

174 **LXXV (4, 57)**

Ἅπαν διδόμενον δῶρον, εἰ καὶ μικρὸν ᾖ,
μέγιστόν ἐστι μετ' εὐνοίας διδόμενον.

Compar. Men. et Phil. p. 360. Vs. 1 fort. *ἂν* pro *εἰ*. Vs. 2 Grotius *ἐστιν εἰ (ἂν) μετ' εὐνοίας διδῷς.*

175 **LXXVI (4, 57)**

Ἐὰν γυνὴ γυναικὶ κατ' ἰδίαν ὁμιλεῖ,
μεγάλων κακῶν θησαυρὸς ἐξορύσσεται.

Compar. Men. et Phil. p. 360. Vs. 1 fortasse *ἐὰν γυνὴ γυνῇ προσομιλῇ κατ' ἰδίαν.* Nisi pro *ὁμιλεῖ* legendum *συνῇ.*

176 **LXXVII (4, 58)**

Σαπρὰν γυναῖκα δ' ὁ τρόπος εὔμορφον ποιεῖ.
πολύ γε διαφέρει σεμνότης εὐμορφίας.

Compar. Men. et Phil. p. 363. Sunt fortasse duo fragmenta. Vs. 1 addidi *δ'*. Lobeckius ad Phryn. p. 378: *σαπρὰς γυναῖκας* et *εὐμόρφους*. Vs. 2 adieci *γέ*.

177 **LXXVIII (4, 58)**

Γνώμην πονηρὰν τῇ γυναικὶ μὴ δίδου·
ἐλαφρὸν τὸ γένος γάρ ἐστι καὶ λίαν κακόν.

Compar. Men. et Phil. p. 364. Vs. 2 erat *ἐλαφρὸν γάρ ἐστι τὸ γένος*. Fortasse ex Aetolo. V. supra fr. 6.

LXXIX (4, 58) 178

Ὅταν τινὰ τάφον στεφανοῖς κόσμῳ ποικίλῳ,
τὸ ζῆν τὸ σαυτοῦ στεφάνοις παρηγόρει.

Compar. Men. et Phil. p. 364. Non videtur Philemonis esse, ut nec duo sequentia. Vs. 1 Dobraeus Adv. II p. 292: *μάτην τάφον στεφάνοισι κοσμεῖς ποικίλοις*. Grotius *ὦ 'τὰν τάφον στεφάνῳ τί κοσμεῖς ποικίλῳ;* Vs. 2 Heinsius *στέμμασιν* pro *στεφάνοις*. Dobraeus: *τὸν ζῶντα σαυτὸν τοῖς στεφάνοις παρηγόρει*.

LXXX (4, 58) 179

Ζῶν γὰρ ἀσκοῦ σαυτῷ στεφάνων καὶ μύρα·
χρήσῃ γὰρ αὐτοῖς αἰσθόμενος μεθ' ἡδονῆς.

Compar. Men. et Phil. p. 364. In verbis *γὰρ ἀσκοῦ* latere opinor *παράσχου*. Possis *Ζῶν γὰρ παράσχου στέφανον αὐτῷ καὶ μύρα*. Vs. 2 ante Heinsium *μεθ' ἡδονῆς αἰσθόμενος*.

LXXXI (4, 58) 180

Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.

Compar. Men. et Phil. p. 364. Versu primo Dobraeus Adv. II p. 292: *κἂν τὴν ὀφρὺν μέχρι τῶν νεφέων*.

LXXXII (4, 59) 181

Μὴ λέγε ἐκφυγὼν θάνατον ὅτι καὶ φεύξομαι πάλιν·
ὡς γὰρ πέφευγας προσδόκα καὶ μὴ φυγεῖν.

Compar. Men. et Phil. p. 364. Heinsius *φυγὼν θάνατον μὴ λέγ' ὅτι φεύξομαι πάλιν*.

LXXXIII (4, 59) 182

Ἐὰν ὁρῶν πένητα γυμνὸν ἐνδύσῃς,
μᾶλλον ἀπέδυσας αὐτόν, ἂν ὀνειδίσῃς.

Compar. Men. et Phil. p. 365. Probabiliter Seidlerus V. D. II p. 396: *ἐὰν πένητα γυμνὸν ἐνδύσῃς ὁρῶν*. Vs. 2 *ἂν* scripsi pro *ἐάν*.

LXXXIV a. b (4, 59) 183. 184

Μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.
Πρὸς τὴν παροῦσαν πάντοθ' ἁρμόζου τύχην.

Compar. Men. et Phil. p. 365. Versu primo legebatur *μὴ λέγε πρότερον τίς ἦς, ἀλλὰ νῦν τίς ἦ*. Tum *ἁρμόζου* pro *ὁρμάζου* dedit Rutgersius. Duo fragmenta esse monuit Buttmannus.

185 LXXXV (4, 59)

Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικώς, βούλεται πάλιν πεσεῖν.

Compar. Men. et Phil. p. 365. Vs. 2 cod. *πεζεῖν* et in fine *πιδεῖν*. Pro *πάλιν* fortasse *πάντως*.

186 LXXXVI (4, 59)

Τί ἐστιν ὁ θεὸς οὐ θέλει σε μανθάνειν·
ἀσεβεῖς τὸν οὐ θέλοντα μανθάνειν θέλων.

Compar. Men. et Phil. p. 359. Primus versus, qui Philemonis nomine adscripto est etiam apud Stobaeum Ecl. phys. II p. 6, sed male cum alio fragm. (supra Fragm. XXVI) coniunctus, in Comparatione ita legitur: *τίς ἐστιν ὁ θεὸς οὐ θέλῃς σὺ μανθάνειν*. Sequutus sum Stobaeum. Similis Philistionis versus a Boissonadio Anecd. I p. 148 editus *οὐ γὰρ θέλω* (sic) *σε μανθάνειν τί δὴ θεός*.

187 LXXXVII (4, 60)

Ὁ γῆρας αἰτῶν παρὰ θεῶν ἁμαρτάνει·
τὸ γὰρ πολὺ γῆρας ἐσχάτων πολλῶν γέμει.

Compar. Men. et Phil. p. 366.

188 LXXXVIII (4, 60)

Γέρων γενόμενος μὴ φρόνει νεώτερα,
μηδ' εἰς ὄνειδος ἕλκε τὴν σεμνὴν πολιάν.

Compar. Men. et Phil. p. 366. Vs. 2 fortasse *σεμνὴν τρίχα*. Tum ἕλκε pro ἕλκυε Grotius Exc. p. 917.

189 LXXXIX (4, 60)

Οὐχ ἡ πόλις σου τὸ γένος εὐγενὲς ποιεῖ,
σὺ δ' εὐγενίζεις τὴν πόλιν πράσσων καλῶς.

Compar. Men. et Phil. p. 366. Vs. 1 cod. *εὐγενῆ* sine *ποιεῖ*. Correxerunt Heinsius et Grotius.

190 XC (4, 60)

Οἱ γὰρ θεὸν σέβοντες ἐλπίδας καλὰς
ἔχουσιν εἰς σωτηρίαν.

Theophilus ad Autol. III p. 385: *τίνι οὖν αὐτῶν πιστεύσωμεν; Φιλήμονι τῷ κωμικῷ λέγοντι Οἱ γὰρ θεόν κτλ.* Epiphanius in Ancyr. p. 512 30: *ὁ δ' ἐφ' ἡμῶν* (Casaub. *ὁ δὲ Φιλήμων*) *ἕτερος κωμικός φησιν, οἱ ἕνα θεὸν σέβοντες ἐλπίδας ἔχουσι καλὰς εἰς σωτηρίαν*.

XCI (4, 60) 191

Δύ' εἰ λάβοι
τάλαντα, χρυσοῦς ἓξ ἔχων ἀποίσεται.

Etymol. M. p. 744 38: *τὸ τάλαντον κατὰ τοὺς παλαιοὺς χρυσοῦς εἶχε τρεῖς· διὸ καὶ Φιλήμων ὁ κωμικός φησι Δύ' εἰ κτλ.* Ita Petitus pro *ἔχων ἕξ*.

XCII (4, 60) 192

Νόμῳ τεθαύμακ', οὐκ ἐπεί
πέπλευκεν, ἀλλ' εἰ δὶς πέπλευκεν.

Diodorus Sic. XII 14: *Φιλήμονος τοῦ κωμῳδιογράφου γράφοντος τοὺς πολλάκις ναυτιλλομένους καὶ εἰπόντος Νόμῳ κτλ. τὸ παραπλήσιον ἄν τις ἀποφαίνοιτο κτλ.* Nicephorus Greg. Hist. Byz. XII 6 p. 297: *καὶ ταῦτα τῶν πάλαι σοφῶν θαυμάζοντος ἀκούων τινός, οὐχ ὅτι πέπλευκέ τις ἀλλ' ὅτι πέπλευκε δίς.* Pro *νόμῳ* Wesselingius *οἴμοι*. Fortasse *ὅμως*.

XCIII (4, 61) 193

Ὄνος βαδίζεις εἰς ἄχυρα τραγημάτων.

Athenaeus II p. 52 e: *Ὄνος κτλ. φησί που Φιλήμων.*

XCIV (4, 61) 194

Κροίσῳ λαλῶ σοι καὶ Μίδᾳ καὶ Ταντάλῳ.

Eustathius p. 1701 6: *Ταντάλου τάλαντα, ἐπεὶ πλούσιός ποτε ἦν, ὡς δηλοῖ, φασί, Φιλήμων εἰπών Κροίσῳ κτλ.*

XCV (4, 61) 195

Σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, γύναι.

Photius p. 502 21: *Σαυτὴν — ποτέ. παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο, ὡς παρὰ Φιλήμονι.* Proverbium a multis usurpatum.

XCVI (4, 61) 196

Χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ.

Stobaeus Ecl. phys. I p. 236 ed. Heer.

XCVII (4, 61) 197

Χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει.

Stobaeus Ecl. phys. I p. 234 ed. Heer. Fortasse *πρὸς τὸ φῶς ἄγει*, vel *πάντ' ἂν εἰς τὸ φῶς ἄγοι*, vel denique *πάντ' εἰς φῶς ἄγει*, ut initio aliquid omissum sit. Similis versus in Menandri Gnom. mon. 459. 592.

198 XCVIII (4, 62)

Ἄλλος κατ᾽ ἄλλην δαιμονίζεται τύχην.

Stobaeus Ecl. phys. I p. 196. In his *δαιμονίζεσθαι* est a diis regi.

199. 200 XCIX C (4, 62)

Ἅπας πονηρὸς οἶνος ὁ πολύς ἐστ᾽ ἀεί.
Ἐμέθυον· ἱκανὴ πρόφασις εἰς ἁμαρτάνειν.

Stobaeus Floril. XVIII 8. 9. Cfr. Fragm. XLII. Pro *ἅπας* fortasse *ὦ παῖ.*

201 CI (4, 62)

Ἄνθρωπος ὢν τοῦτ᾽ ἴσθι καὶ μέμνησ᾽ ἀεί.

Stobaeus Floril. XXI 1 et Anton. Mel. p. 138, ubi editur *μένεις ἀεί.*

202 CII (4, 62)

Ἐκ τοῦ φιλοπονεῖν γίνεθ᾽ ὧν θέλεις κρατεῖν.

Stobaeus Floril. XXIX 29. Deest lemma in A. Philemoni tribuit Grotius.

203 CIII (4, 62)

Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

Stobaeus Floril. LXVIII 3. Ad Thesaurum rettulit Hermannus propter Plautum Trin. I 2 17: ***Eho, tua uxor quid agit? immortalis est.***

204 CIV (4, 62)

Τὸν δὲ μόνον ὄντα καὶ κακὴ τύχη τρέφει.

Stobaeus Floril. LXVIII 16 et apud Boissonadum Anecd. I p. 115. *Τὸν δὲ μόνον* Gesnerus. Libri *τὸν μόνον.* Apud Boisson. *κἂν μόνον.*

205 CV (4, 62)

Γαμεῖν ὃς ἐθέλει εἰς μετάνοιαν ἔρχεται.

Stobaeus Floril. LXVIII 23. Recte in Menandri Gnomis monost. 91 legitur *γαμεῖν ὁ μέλλων.*

206 CVI (4, 62)

Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.

Stobaeus Floril. LXVIII 20 ubi A *Φϊλῖτα.* Trinc. *Φιλήτου.* Menandro tribuitur apud Boissonadum Anecd. gr. I p. 159. Idem versus in Gnom. mon. 78. Pro *ἔχῃς* in edit. prima conieci *λάβῃς.* Idem ex Wakefieldi schedis enotavit nunc Gaisfordus. Possis etiam *τρέφῃς.*

CVII (4, 63) 207

Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἐχειν.

Stobaeus Floril. LXXIX 30 et in Menandri monost. 72. Ad Thesaurum refert Hermannus Praef. Plauti Trin. p. XXVII. Stob. *γονεῖς πρώτιστον.*

CVIII (4, 63) 208

Ἡδύ γε πατὴρ τέκνοισιν εἰ στοργὴν ἔχοι.

Stobaeus Floril. LXXXIII 9.

CIX (4, 63) 209

Θανεῖν ἄριστόν ἐστιν ἢ ζῆν ἀθλίως.

Stobaeus Floril. CXXI 8. Philemoni tribuunt A et Voss. Sophocli Gesnerus. Pro *ἄριστον* A et Voss. *κράτιστον.*

CX (4, 63) 210

Νόσον πολὺ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν.

Stobaeus Floril. XCIX 6. Deest lemma in libris. Philemoni tribuit Apostol. Cent. XVII 79.

CXI a. b (4, 63) 211. 212

Κρίσει δικαίᾳ καὶ δίδου καὶ λάμβανε.

Εἰς χεῖρα δοῦλον δεσπότῃ μὴ συμβάλῃς.

Compar. Men. et Phil. p. 360. Primum versum ad Thesaurum rettulit Hermannus Praef. Plauti Trin. p. XXVII.

CXII (4, 63) 213

Ψυχῆς πόνος γὰρ ὑπὸ λόγου κουφίζεται.

Compar. Men. et Phil. p. 362. Ante Rutgersium *γὰρ πόνος.* Versum hunc a reliquis quibus subiicitur (Fragm. XXV) separandum esse indicavi iam in editione prima. Moneo propter Dobraeum Adv. II p. 287.

CXIII (4, 64) 214

Πλοῦτον μεταλήψεϑ' ἕτερον οὐχὶ τὸν τρόπον.

Teles Stobaei Flor. XCVII 31: *οὐκ ἀηδῶς γὰρ ὁ Φιλήμων Πλοῦτον κτλ.* Codd. Paris. *μεταλήψεσϑ'.*

CXIV (4, 64) 215

Ἡ μὲν χελιδὼν τὸ ϑέρος, ὦ γύναι, λαλεῖ.

Schol. Aristoph. Av. 39: *παρὰ τοῦτο καὶ Φιλήμων Ἡ μὲν χελιδὼν αὐτὸ ϑέρος ὦ γύναι λαλεῖ.* Correxit Bentleius. Dobraeus *ἡ μὲν χελιδὼν αὐτὸ τὸ ϑέρος ὦ γύναι | λαλεῖ.*

216 CXV (4, 64)

Μεθύει, διαγραμμίζει, κυβεύει.

Eustathius p. 633 fin.: *χρῆσις τοῦ παιγνίου τοῦδε (τοῦ διαγραμμισμοῦ) παρὰ Φιλήμονι ἐν τῷ Μεθύει κτλ.*

217 CXVI (4, 64)

Μεμίσθωταί με δείλης πρωίας.

Eustathius p. 1142 52: *πρωὶ λέγεται καὶ τὸ ἕως ἕκτης ὥρας· Φιλήμων οὖν φησι Μεμίσθωται κτλ.* Est etiam apud schol. Vict. ad Iliad. XVIII 277.

218 CXVII (4, 64)

Πάνθ' ὁ χρόνος ὁ μέγας μαραίνει.

Stobaeus Ecl. phys. I p. 234 ed. Heer. Videntur Sophoclis verba esse ex Aiace 700: *πάνθ' ὁ μέγας χρόνος μαραίνει τε καὶ φλέγει.*

219 CXVIII (4, 64)

Ἀλλ' ἀπόλλυμαι
κατὰ μυὸς ὄλεθρον.

Append. Vatic. II 93 (emendata a Bastio Epist. cr. p. 90 ex cod. Par.): *Μυὸς ὄλεθρος: οἱ μύες ἀπορρεόντων αὐτοῖς τῶν μελῶν κατὰ βραχὺ φθείρονται. ὅθεν καὶ Φιλήμων φησίν Ἀλλ' ἀπόλλυμαι κτλ.*

220 CXIX (4, 65)

Athenaeus XIII p. 594 d: *ὅτι Μένανδρος — ὁ ποιητὴς ἦρα Γλυκέρας, κοινόν. ἐνεμεσήθη δέ· Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος, καὶ χρηστὴν (Χρήστην?) ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος, ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς.*

221. 222 CXX a. b (4, 65)

Grammat. Crameri An. Ox. II p. 492 4. *Βολεῶνες: οἱ δεχόμενοι τόποι τὴν κόπρον οὕτω καλοῦνται. οὕτω Δείναρχος καὶ Φιλήμων.* cf. Harpocr. p. 45. Io. Alex. de acc. p. 25 4: *συνεκλείπει τῇ εὐθείᾳ ἡ αἰτιατική. εἰ δὲ ἅπαξ που παρ' Εὐριπίδῃ εὕρηται τὸ σεαυτό . . . . καὶ παρὰ Φιλήμονι τὸ σαυτό* etc.

223—225 CXXI—CXXIII (4, 65)

Antiattic. p. 102: *Φιλήμων κυρίαν.* Grammat. Bekkeri p. 1196: *σεσημείωται παρὰ Φιλήμονι τῷ κωμικῷ οἱ εὔνους.* Cfr. Etymol. M. p. 606 25. Choeroboscus Bekkeri p. 1406: *τινὲς μὲν ὄρτυγος φασὶ διὰ τοῦ γ, Φιλήμων δὲ διὰ τοῦ κ φησὶν ὄρτυκος.*

CXXIV CXXV (4, 66) 226. 227

Stephanus Byz. s. v. *Κραστός. ἔχει δὲ ἡ πόλις εὐπρεπεστάτας γυναῖκας, ὡς Φιλήμων.* Photius, *Θύρσον: τὸ ὅπλον. Φιλήμων.* Nisi forte grammaticus intellegendus est.

CXXVI (4, 66) 228

Photius, *Ὀκτώπηχυς καὶ ὀκτώπους: Φιλήμων. Ὀκτώπαν ποταμόν: Αἰσχύλος διαπέπλευκε Νεανίσκοις. Ὀκτώπας: ἤτοι ὁ σκορπίος. Ὀκτώπους: ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν.* Has quattuor glossas Hermannus Opusc. V p. 27 probabiliter ita coniunctas emendavit: *Ὀκτώπηχυς καὶ ὀκτώπους. Αἰσχύλος Νεανίσκοις. Φιλήμων ὀκτάπουν "Ποταμὸν διαπέπλευκεν ὀκτάπους". ἤτοι ὁ σκορπίος ὁ ὀκτώπους, ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν.*

CXXVII (4, 66) 229

Pseudo-Plutarchus V p. 617 Wytt. ed. mai. *τῶν εὐγενῶν οἰκεῖον, ὃ Φιλήμων λέγει, πρὸς τὸν πόλεμον καὶ θάνατον ὀρούειν, ὡς ἱερεῖα.* Cfr. Fragm. LXIII a.

CXXVIII (4, 66) 230

Athenaeus XI p. 476 f: *κισσύβιον, τὸ μόνωτον ποτήριον. Φιλήμων.* Etiam hic fortasse grammaticus intellegendus est. De Eustathii errore Philemonem comicum pro grammatico nominantis vide edit. pr. p. 431.

CXXIX CXXX (4, 66) 231. 232

Suidas v. *ἄσχολος: Φιλήμων δὲ καὶ ἀσχολεῖ.* Eadem habet Grammaticus Bekk. p. 457 20. Eustathius p. 1964 7: *Φιλήμων δέ, φασί, βασίλεια οἶδε σῖτα, ἐξ ὧν αἱ βασιλίδες ἰσχάδες.*

CXXXI a. b (4, 66) 233. 234

Plinius N. H. 37 31 de sardonyche: *Hac certe apud Menandrum et Philemonem fabulae superbiunt.* Schol. Soph. Oed. Col. 42: *Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων.* Eadem Suidas.

Alia fragmenta, quae dubium est utrum Menandro an Philemoni aliisve poetis attribuenda sint, exhibui in Menandreis.

PHILEMONIS SPVRIA

I (4, 67) 1

Οἴει σὺ τοὺς θανόντας, ὦ Νικήρατε,
τρυφῆς ἁπάσης μεταλαβόντας ἐν βίῳ
καὶ γῆν καλύψειν, ὡς ἀπὸ τοῦ πάντ' εἰς χρόνον
πεφευγέναι τὸ θεῖον ὡς λεληθότας;

ἔστιν Δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ·
καὶ γὰρ καθ' Ἅιδην δύο τρίβους νομίζομεν,
μίαν δικαίων χἀτέραν ἀσεβῶν ὁδόν·
εἰ γὰρ δίκαιος κἀσεβὴς ἔξουσιν ἕν,
ἅρπαζ' ἀπελθών, κλέπτ', ἀποστέρει, κύκα.
μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις
ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης,
οὗ τοὔνομα φοβερόν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ,
ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίου
δίδωσι.

Haec Iustinus de Mon. p. 38 d et Eusebius Praep. Ev. XIII p. 400 Philemoni, Clemens Alex. autem Strom. V p. 721 Pott. et Theodoret. IV p. 854 Hal. Diphilo tribuunt. Lectionum mira varietas est, quam indicavi in edit. pr.

2 II (4, 67)

Θεὸν δὲ ποῖον εἰπέ μοι νοητέον;
B. τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον.

Servavit Clemens Alex. p. 59 P., qui Euripidi, et Iustinus de Monarch. p. 37 d, qui Philemoni tribuit. Christiani hominis quin versus sint non dubitandum videtur. Aliud fragmentum itidem fortasse spuriis accensendum vide supra Fragm. inc. fab. XC. Plura eiusdem generis leguntur in iis quae ex Compar. M. et Phil. attuli, alia videbimus in Menandreis.

PHILEMO IVNIOR

1 I (4, 68)

Ἐάσαθ' οὕτως ὡς ἔχει. τὸ πῦρ μόνον
ποιεῖτε τοῖς ὀπτοῖσι μήτ' ἀνειμένον,
τὸ γὰρ τοιοῦτ' οὐκ ὀπτὸν ἀλλ' ἑφθὸν ποιεῖ·
μήτ' ὀξύ, κατακάει γὰρ ὅσ' ἂν ἔξω λάβῃ
τοῦτο πάλιν, εἰς τὴν σάρκα δ' οὐκ ἐνδύεται.
μάγειρός ἐστιν οὐκ ἐὰν ζωμήρυσιν
ἔχων τις ἔλθῃ καὶ μάχαιραν πρός τινα,
οὐδ' ἄν τις εἰς τὰς λοπάδας ἰχθῦς ἐμβάλῃ·
ἀλλ' ἔστι τις φρόνησις ἐν τῷ πράγματι.

Athenaeus VII p. 291 d: *ὁ δὲ παρὰ τῷ νεωτέρῳ Φιλήμονι μάγειρος διδασκαλικός τις εἶναι θέλει τοιαῦτά τινα λαλῶν Ἐάσαθ' οὕτως κτλ.* Vs. 1 libri *οὕτως ἔχειν*. Correxit Bentleius. Ceterum vide supra Phil. fr. 75.

II III (4, 68) 2. 3

Τίς οὗτός ἐστ'; B. ἰατρός. A. ὡς κακῶς ἔχει
ἅπας ἰατρός, ἂν κακῶς μηδεὶς ἔχῃ.
Μόνῳ δ' ἰατρῷ τοῦτο καὶ συνηγόρῳ
ἔξεστ', ἀποκτείνειν μὲν ἀποθνήσκειν δὲ μή.

Stobaeus Floril. CII 6 cum lemmate *Φιλήμονος νεωτέρου.* Vs. 1 *οὗτός ἐστιν* AB, *ἐστιν οὗτος* vulgo. Vs. 4 cod. B *ἀποκτεῖναι.* Ib. Bentleius *ἔξεστ'.* Vulgo *ἔξεστιν.*

MENANDER

ΑΔΕΛΦΟΙ

Latine hanc fabulam expressit Terentius, sed ita expressit, ut nonnihil ex Diphili Commorientibus assumeret, id quod ipse testatur in prologo. Ea de re accurate exposuit G. H. Grauertus in Analectis histor. et philol. p. 116 sqq. et qui eandem quaestionem subtiliter tractavit Guilelmus Ihne Quaest. Terent. p. 25 sqq. In fragmentis disponendis latinae fabulae ordinem sequutus sum.

I (4, 69) 1

Ὦ μακάριόν μ' ὅστις γυναῖκ' οὐ λαμβάνω.

Micio apud Terent. I 1 18: *et quod fortunatum isti putant, uxorem nunquam habui.* Donatus "dicit autem Romanis ita videri, quos spectatores habet. Menander: *Ὦ μακάριόν με γυναῖκα οὐ λαμβάνω.*" Correxit Dacierius. Clericus *μ' ὅσπερ*, Bentleius *μ' ὅτι᾽ή*, Grauertus *μ' ἐπεί.*

II (4, 69) 2

Οὐ λυποῦντα δεῖ
παιδάριον ὀρθοῦν, ἀλλὰ καὶ πείθοντά τι.

Stobaeus Floril. LXXXIII 12 omisso fabulae nomine. Ad Adelphos incerta coniectura rettuli propter Terent. I 1 32: *Pudore et liberalitate liberos Retinere satius esse credo quam metu.* Ante *δεῖ* codices Paris. inserunt *μάλα.*

III (4, 70) 3

Υἱῷ προθύμως τἀξιούμενον ποιῶν
κηδεμόν' ἀληθῶς, οὐκ ἔφεδρον ἔξεις βίου.

Servavit Stobaeus Floril. LXXXIII 5. Neque hic fabulae nomen additum. At Terentius I 1 47: *Ille quem beneficio adiungas*

ex animo facit, Studet par referre; praesens absensque idem erit. Hoc patrium est, potius consuefacere filium Sua sponte recte facere, quam alieno metu. Vide tamen Ihnium l. l. p. 28.

4 IV (4, 70)

Terentius II 1 45: *Homini misero plus quingentos colaphos infregit mihi.* Vbi Donatus "secundum illud Menandri *Αιγος τη ποιων τοιγοερπα το γρωνον οικετην λαβων.*"

5 V (4, 70)

Εἰ δ' ἔστιν οὗτος τὴν κόρην διεφθορώς.

Eustathius ad Iliad. p. 191 25 de *διέφθαρται* et *διέφθορεν* agens: *παραφέρουσι καὶ χρῆσιν ὁμοίαν ἐκ Μενάνδρου τὸ Εἰ δ' ἔστιν οὗτος κτλ.* Eadem fabulae nomine addito Ammonius p. 41, qui *οὗτος* omittit. Valckenarius comparat Terent. III 1 9. Non minus recte compares III 2 10: *cui miserae indigne per vim vitium obtulerat.*

6 VI (4, 71)

Τί πολλὰ τηρεῖν πολλὰ δεῖ δεδοικότα;

Stobaeus Floril. VIII 8: *Μένανδρος Ἀδελφοῖς.* Non abhorrere mihi haec a Micionis ingenio videbantur. Vide tamen Ihnium l. l. p. 30. *δεῖ τὸν δεδοικότα* A et Trinc.

7 VII (4, 71)

Ἔργον εὑρεῖν συγγενῆ
πένητός ἐστιν· οὐδὲ εἷς γὰρ ὁμολογεῖ
αὐτῷ προσήκειν τὸν βοηθείας τινός
δεόμενον· αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ.

Servavit Stobaeus Floril. X 24: *Μενάνδρου Ἀδελφοῖς.* Ad haec cfr. Terent. III 2 55.

8 VIII (4, 70)

Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν,
ἀλλ' ἀντιτάττεσθ'· εἰ δὲ μή, τἄνω κάτω
ἡμῶν ὁ βίος λήσει μεταστραφεὶς ὅλος.

Stobaeus Floril. XLIV 3: *Μενάνδρου Ἀδελφοῖς.* Habet etiam Compar. Men. et Phil. p. 360, sed corrupte scripta. Ad Terent. III 4 post v. 8 aut 54 refert Ihnius l. l. p. 29. Vs. 2 Bernhardius ad Dionys. p. 937 *μή γ', ἄνω κάτω.*

9 IX (4, 71)

Πρὸς ἅπαντα δειλὸν ὁ πένης ἐστὶ γάρ
καὶ πάντας αὐτοῦ καταφρονεῖν ὑπολαμβάνει·

ὁ γὰρ μετρίως πράττων περισκελέστερον
ἅπαντα τἀνιαρά, Λαμπρία, φέρει.

Stobaeus Floril. XCVI 11 cum lemmate *Μενάνδρου*. Ad Adelphos haec referenda esse docet locus Terentii IV 3 14, ubi Hegio ad Micionem haec dicit: ***Omnes, quibus res sunt minus secundae, magis sunt nescio quomodo Suspiciosi: ad contumeliam omnia accipiunt magis, Propter suam impotentiam se semper credunt ludier.*** Hinc intellegitur apud Menandrum Micioni Lampriae nomen fuisse.

X (4, 71)

Ad Terent. IV 5 59: ***quid credebas? dormienti haec tibi confecturos deos?*** hoc scholion est in codice Bembino: "***Menandri v . . sus est in illo loco que . . . γυμνατεραν . . . ταλον*** abet h . . ."

XI (4, 72)

Ὀκτώ τις ὑποχεῖν ἀνεβόα καὶ δώδεκα
κνάθους, ἕως κατέσεισε φιλοτιμούμενος.

Athenaeus X p. 431 c: *Μένανδρος Ἀδελφοῖς Ὀκτώ τις κτλ. κατασείειν δὲ ἔλεγον ἐπὶ τῶν ἐν τοῖς πότοις προπινόντων, τὴν μεταφορὰν λαμβάνοντες ἀπὸ τῶν τοὺς καρποὺς κατασειόντων.* Non male Grauertus haec ad epulas a Terent. V 1 et 2 memoratas refert. Benfeius autem apud Athenaeum *Ἁλιεῦσι* suspicabatur. Vs. 2 Dindorfius *κατέσεισε*. Tum Schweighaeuserus *φιλοτιμούμενον*.

XII (4, 72)

Micio Terentii V 3 17: ***nam vetus verbum hoc quidem est communia esse amicorum inter se omnia.*** Schol. Platonis Bekk. p. 319: *κοινὰ τὰ τῶν φίλων, ἐπὶ τῶν εὐμεταδότων — καὶ Μένανδρος ἐν Ἀδελφοῖς β'*. In his *β'* unus Bekkeri codex omittit, alius habet *ἐν B*. Cf. Ritschel. Parerg. I, p. 270. Suidas, *Κοινὰ τὰ τῶν φίλων — κέχρηται τῇ παροιμίᾳ Μένανδρος Ἀδελφοῖς.*

XIII (4, 72)

Ἐγὼ δ' ἀγροῖκος, ἐργάτης, σκυθρός, πικρός,
φειδωλός.

Photius, *Σκυθρός: αὐθέκαστος, αὐστηρός. Μένανδρος Ἐγὼ δ' ἀγροῖκος κτλ.* Ad Adelphos referenda esse docet Terent. V 4 12, ubi Demea haec dicit: ***Ego ille agrestis, saevus, tristis, parcus, truculentus, tenax, duxi uxorem.***

14 XIV (4, 72)

Θεός ἐστι τοῖς χρηστοῖς ἀεί
ὁ νοῦς γάρ, ὡς ἔοικεν, ὦ σοφώτατοι.

Iustinus Mart. de Monarch. p. 41 e: *ὁ αὐτὸς ἐν Ἀδελφοῖς Θεός ἐστι κτλ.* Ante Bentleium *οἱ σοφώτατοι.*

Praeterea Donatus Menandrum his locis commemorat. Ad I 2 1: ***ehem, opportune, te ipsum quaerito***, Donatus "Melius quam Menander, quum hic illum ad iurgium promptiorem quam ad resalutandum faciat." Ad II 4 10: ***tam ob parvolam rem paene e patria? turpe dictu!*** Donatus "Menander mori illum voluisse fingit, Terentius fugere." Vid. Grauertus l. l. p. 133. Ad III 2 53 Donatus "Apud Menandrum Sostratae frater inducitur." Is Terentio amicus est mariti Sostratae. Denique ad V 8 15 Donatus "Apud Menandrum senex de nuptiis non gravatur: ergo Terentius *εὑρητικῶς*." De hoc loco vide Ihnium p. 31. Aliud fragmentum fortasse ad eandem hanc fabulam referendum vide infra in Fragm. fab. inc. CLXXIII. Nec male qui in Gnomis monost. legitur versus *οἶμοι, τὸ γὰρ ἄφρω δυστυχεῖν μανίαν ποιεῖ*, interpretes Terentii compararunt cum II 1 43: ***minime miror qui insanire occipiunt ex iniuria.*** Denique Varronem Terentianae fabulae initium Menandreo exordio praelulisse auctor est Suetonius in vita Terentii. Cfr. edit. pr. p. 2.

Α Λ Α Ε Ι Σ

(4, 73)

Stephanus Byz. s. v. *Ἅλαι Ἀραφηνίδες. δασύνεται δὲ τὸ Ἅλαί, ὡς καὶ ἐν τῷ δράματι Μενάνδρου, ἀπὸ τοῦ Ἀραφηνίσιν Ἅλαῖς διακεῖσθαι τὰ πράγματα.* Fabulae titulum non *Ἅλαὶ Ἀραφηνίδες*, sed *Ἅλαεῖς* fuisse, Praef. ad Menandr. p. XV monui ex Man. Moschopuli Opusc. a Titzio editis p. 33: *ἁλεσούριον δὲ δασύνεται, τὸ κοχλίδιον, καὶ Ἅλκεῖς* (leg. *Ἅλαεῖς*) *δρᾶμα Μενάνδρου.* Cfr. Crameri Anecd. Par. I p. 397. Probabile est unum alterumque eorum, quae ex sequenti fabula afferuntur, ex Halaensibus derivatum esse.

Α Λ Ι Ε Ι Σ

15–17 I—III (4, 74)

Παχὺς γὰρ ὑς ἔκειτ' ἐπὶ στόμα.
Ἔτρύφησεν ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.
Ἴδιον ἐπιθυμῶν μόνος μοι θάνατος οὗτος φαίνεται
εὐθάνατος, ἔχοντα πολλὰς χολλάδας κεῖσθαι παχύν,

ὕπτιον, μόλις λαλοῦντα καὶ τὸ πνεῦμ' ἔχοντ' ἄνω,
ἐσθίοντα καὶ λέγοντα "σήπομ' ὑπὸ τῆς ἡδονῆς."

Athenaeus XII p. 549 c: *μνημονεύει δ' αὐτοῦ* (Dionysii Heracleotae) *καὶ Μένανδρος ἥκιστά γ' ὢν λοίδορος ἐν τοῖς Ἁλιεῦσι, τὸν μῦθον ὑποστησάμενος ὑπέρ τινων φυγάδων ἐξ Ἡρακλείας Παχὺς γὰρ ὢς ἔκειτ' ἐπὶ στόμα. καὶ πάλιν Ἐτρύφησεν — χρόνον. καὶ ἔτι Ἴδιον ἐπιθυμῶν κτλ.* Vs. 3 nonnihil corruptum videtur. Vs. 4 cod. B *ἔχοντι*. Tum *χολλάδας* pro *χολάδας* ex mea coniectura scripsit Dindorfius.

IV (4, 74) 18

Εὐποροῦμεν, οὐδὲ μετρίως· ἐκ Κυΐνδων χρυσίον,
Περσικαὶ στολαὶ δ' ἐκεῖναι πορφυραῖ, τορεύματα
ἔνδον ἔστ', ἄνδρες, ποτηρίδια, τορεύματα,
κἀκτυπωμάτων πρόσωπα, τραγέλαφοι, λαβρώνια.

Athenaeus XI p. 484 c: *Λαβρώνια, ἐκπώματος Περσικοῦ εἶδος, ἀπὸ τῆς ἐν τῷ πίνειν λαβρότητος ὠνομασμένον. πλατὺ δ' ἐστὶ τῇ κατασκευῇ καὶ μέγα· ἔχει δὲ καὶ ὦτα μεγάλα. Μένανδρος Ἁλιεῖ Εὐποροῦμεν κτλ.* Vs. 1 ante Bentleium *εὐποροῦμένου δέ*. Tum AB *ἐκ κυλίνδων*. Correxi *ἐκ Κυΐνδων*. Recepit Dindorfius. Vs. 2 Bentleius *πορφυρᾶ τε στρώματα*, et vs. 3 *ποτηρίδιά τε καὶ τορεύματα*. At recte monet Dindorfius *τορεύματα* in tertio potius versu corruptum esse quam secundo. Vs. 4 Dobraeus *κἀκτυπώματ' εὐπρόσωπα*. Non credo aliquid mutandum esse. Sequentia iterum apposuit Athenaeus XI p. 500 c *τραγέλαφος· Μένανδρος δ' ἐν Ἁλιεῖ φησι Τραγέλαφοι, λαβρώνιοι*. Alterum Photius, *Λαβρώνιον: εἶδος ποτηρίου πλατὺ τῇ κατασκευῇ, καὶ μεγάλα ὦτα ἔχον. οὕτως Μένανδρος.*

V (4, 75) 19

Ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην
πολλοὺς ἐποίησεν ἀθλίους· ἁπλοῦν γὰρ ἦν
τὸν μὴ δυνάμενον ζῆν ἀλύπως ἀποθανεῖν.

Stobaeus Floril. LXI 1 cum lemmate *Μενάνδρου Ἁλιέως.*

VI (4, 76) 20

Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

Stobaeus Floril. LXXVII 6 cum lemmate *Μενάνδρου Ἁλιεύς*, i. e. *Ἁλιεῦσι*. Cf. mon. 750. Respicere videtur Hesychius, *Οὐκ εὐδιάθετος: οὐ δυναμένη εὐχερῶς γήμασθαι.* Ex quo suspiceris Menandrum scripsisse *κοὐκ εὐδιάθετος.*

21 VII (4, 76)

Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.

Stobaeus Floril. XCI 5 cum lemmate *Μένανδρος Ἁλιεῖ.* Est etiam in Gnomis monost. 120.

22 VIII (4, 76)

Χαῖρ' ὦ φίλη γῆ, διὰ χρόνου πολλοῦ σ' ἰδὼν
ἀσπάζομαι· τουτὶ γὰρ οὐ πᾶσαν ποιῶ
τὴν γῆν, ὅταν δὲ τοὐμὸν ἐσίδω χωρίον·
τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.

Stobaeus Floril. LVI 3 cum lemmate *Μενάνδρου Ἀδελφῶν,* quod ex *Ἁλιέων* corruptum esse vidit Grauertus Anal. hist. et philol. p. 143. Iustinus de Monarch. p. 40 b: *ἐν Μισουμένῳ δὲ πάλιν ἀποφαίνων τῶν εἰς θεοὺς παραλαμβανομένων τὰς γνώμας, μᾶλλον δὲ ἐλέγχων ὡς οὐκ ὄντας ὁ αὐτὸς Μένανδρος — ἐν Ἁλιεῦσι Τὸ γὰρ τρέφον με τοῦτ' ἐγὼ κρίνω θεόν.*

23 IX (4, 76)

Ὡς δὲ τὴν ἄκραν
κάμπτοντας ἡμᾶς εἶδον, ἐμβάντες ταχὺ
ἀνηγάγοντο.

Grammat. Bekkeri p. 402. *Ἀνηγάγοντο: ἀνήχθησαν. — Μένανδρος Ἁλιεῦσιν Ὡς δὲ τὴν ἄκραν κτλ.* Cod. *κάμπτοντες.* Correxit in notis Bekkerus.

24 X (4, 77)

Ἐκλελάκτικεν
ὁ χρηστὸς ἡμῖν μοιχός, ἀλλ' ἀντάλλαγος.

Suidas, *Ἀντάλλαγον καλοῦσι τὸν ἀντὶ ἄλλου ἠλλαγμένον. Μένανδρος Ἁλιεῖ Ἐκλελάκτικεν κτλ.* Respicit Suidas, *Ἐκλελάκτικεν: ἀποβέβηκεν, ἀπέφυγεν,* et Grammat. Bekk. p. 410: *Ἀνταλλαῖος* (leg. *ἀντάλλαγος*) *ἀντὶ τοῦ ἄνταλλος.*

25 XI (4, 77)

Δύ' οἰκίας
φηλοῦν γερόντων, ὡς λέγεις, ἀβελτέρων.

Suidas, *Φηλοῦν: ἀπατᾶν. Μένανδρος Ἁλιεῖ Δύ' οἰκίας κτλ.* Photius, *Φηλοῦν: ἀπατᾶν. Μένανδρος Ἁλιεῖ Δύ' οἰκίας φίλων* (sic) *γερόντων κτλ.* Schol. Aristoph. Pac. 1165: *Μένανδρος Ἁλιεῖ Δύ' οἰκίας φηλῶν γερόντων.*

XII (4, 77) 26

Καὶ θάλαττα βορβορώδης, ἣ τρέφει θύννον μέγαν.

Athenaeus VII p. 303 c: *μνημονεύει δὲ τοῦ θύννου καὶ — Μένανδρος Ἁλιεῦσι Καὶ θάλαττα κτλ.* Menandri nomen supplevit Dalecampius; *καὶ* quod post *θάλαττα* (libri *θάλασσα*) legebatur delevit Bentleius.

XIII (4, 77) 27

Καὶ χρυσολαβὲς καλὸν πάνυ
ἐγχειρίδιον.

Pollux X 145: *Εὐριπίδης μὲν ἐν Παλαμήδει λέγει κώπην χρυσόκολλον, Μένανδρος δὲ ἐν Ἁλιεῦσι Καὶ χρυσολαβές κτλ.*

XIV (4, 77) 28

Ἀναπετῶ τουτὶ προσελθὼν κοὐκ ἀνέξομ' οὐκέτι.

Suidas, *Ἀναπετῶ*: *ἀναπετάσω. Μένανδρος Ἁλιεῦσιν Ἀναπετῶ κτλ.* Eadem habet Zonaras p. 204. Pro *Ἁλιεῦσι* vulgo *ἄλλοις*. Correxit Kusterus. Ad *τουτὶ* Dobraeus recte intellegit *τὸ θύριον*.

XV—XVII (4, 78) 29–31

Pollux X 132: *Μένανδρος ἔφη ἐν Ἁλιεῖ ἀμφιβλήστρῳ περιβάλλεται*. Fuisse videtur *περιβάλληται* vel *περιβέβληται*, numeris anapaesticis. Photius, *Ἡδυλισμός: εἶδός τι κολακείας. καὶ Μένανδρος ἐν Ἁλιεῖ κέχρηται τῷ ἡδυλίζειν*. Cfr. Eustathius p. 1417 21. Pollux X 52: *ἡ λαμπήνη . . . καὶ ἐν τοῖς Μενάνδρου Ἁλιεῦσιν*. Cfr. Photius s. v. *λαμπήνη*.

ΑΝΑΤΙΘΕΜΕΝΗ Η ΜΕΣΣΗΝΙΑ

Prologum fabulae commemorat Demetrius de Elocut. §. 153: *ἡ δὲ τοιαύτη ἀνακολουθία καλεῖται γρῖφος, ὥσπερ ὁ παρὰ Σώφρονι ῥητορεύων Βουλίας· οὐδὲν γὰρ ἀκόλουθον αὐτῷ λέγει· καὶ παρὰ Μενάνδρῳ δὲ ὁ πρόλογος τῆς Μεσσηνίας.*

I (4, 78) 32

Οἱ δ' ἁρπάσαντες τοὺς κάδους τοὺς στρογγύλους
ὕδρευον ἀνδρειότατα κηπουροὶ πάλιν.

Grammat. Bekkeri p. 411: *Ἀντλιαντλητῆρα. Μένανδρος Μεσσηνίᾳ Οἱ δ' ἁρπάσαντες κτλ.* Secundo versu legebatur *κηπ . . . πάλιν*, quod correxi.

II (4, 79) 33

Τίθημ' ἔχειν χολήν σε καλλιωνύμου
πλείω.

Aelianus A. N. XIII 4: *καὶ ὁ Μένανδρος ἐν τῇ Μεσσηνίᾳ οἶμαι λέγων Τίθημ' ἔχειν κτλ.* Cfr. Plinius N. H. XXXII 24.

34 III (4, 79)

Ἡγεῖταί μ' ὅλως
ἐπικόπανόν τι.

Pollux X 101: *τράπεζα μαγειρική, ἣν οἱ νεώτεροι ἐπικόπανον. ἔστι δὲ τοὔνομα παρὰ Μενάνδρῳ ἐν Μεσσηνίᾳ Ἡγεῖται κτλ.* Ante Bentleium *ἡγεῖται μὲν ὅλως.* Respicit Pollux VI 90: *ἐπίξηνον, ὃ ἡ νέα κωμῳδία ἐπικόπανον καλεῖ.*

35 IV (4, 79)

Suidas, *Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ: παροιμία ἐπὶ τῶν ἀληθῶν μέν, οὐ πιστευομένων δέ. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ.* Cfr. Zenobius II 17 et Apostol. II 42.

36 V (4, 79)

Ἀράβιον ἆρ' ἐγὼ κεκίνηκ' ἄγγελον.

Apostolius IV 22. *Ἀράβιος αὐλητής: τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων . . . Μένανδρος Μεσσηνίᾳ Ἀράβιον ἆρ' ἐγὼ κεκίνηκ' αὐλόν.* Pro *αὐλὸν* scribendum esse *ἄγγελον* conieci in edit. pr. duce Suida, *Ἀράβιος ἄγγελος: Μένανδρος Ἀνατιθεμένῃ ἢ Μεσσηνίᾳ, παρὰ τὴν παροιμίαν Ἀράβιος αὐλητής.* Confirmant Proverbia Coisl. 40 p. 124: *ἀπὸ τούτου ἐλήφθη ἡ παροιμία (Ἀράβιος αὐλητὴς), ἣν μεταλλάξας Μένανδρος Ἀράβιον, φησίν, ἐξεύρηκα σύμβουλον, καί Ἀράβιον ἐγὼ κεκίνηκ' ἄγγελον.* Ceterum Suidae locus omnium unus est, ex quo de pleno fabulae titulo constat, reliquis scriptoribus eam aut *Ἀνατιθεμένην* aut *Μεσσηνίαν* vocantibus. Ac fortasse diversae fuerunt fabulae, cui coniecturae favent quodammodo proverbia Coislinensia, quae duo proverbii exempla ex Menandro afferunt, quorum alterum ex *Ἀνατιθεμένῃ* alterum ex Messenia petitum videri potest. Cf. inc. DII.

37 VI (4, 80)

Photius, *Ἴσσα: ἐπίφθεγμα ἐπὶ τῶν ἀπολαχόντων καὶ ὅλως δυσπραγούντων. ἔστι καὶ ἐν Μεσσηνίᾳ Μενάνδρου καὶ ἑτέρωθι.* Eadem Suidas, nisi quod *ἐπὶ τῶν ζ λαχόντων* scriptum habet, i. e. *ἀπολαχόντων.*

38 VII (4, 80)

Harpocrat. p. 127: *Μένανδρος ἐν Ἀνατιθεμένῃ καὶ ἐν Διδύμαις πρὸς ταῖς ιβ' δραχμαῖς καὶ τριώβολόν φησι τούτους* (i. e. *μετοίκους*) *τελεῖν.* Cfr. Photium et Suidam.

VIII (4, 80) 39

Photius, *Ψύλλα καὶ ψύλλαι: θηλυκῶς· παρὰ δὲ Ἡροδότῳ Ψύλλοι, ἔθνος Λιβύης, καὶ τὸ ἐν τῇ Μεσσηνίᾳ Μενάνδρου κύριον ὄνομα.* Eadem Suidas. Psyllus lenonis nomen est in Anthol. Palat. VII 403. Cfr. Arcadius p. 53 16.

A N Δ P I A

Menander fecit Andriam et Perinthiam: qui utramvis recte norit, ambas noverit; non ita dissimili sunt argumento, at tamen dissimili oratione sunt factae et stilo. quae convenere in Andriam ex Perinthia fatetur transtulisse atque usum pro suis. Sunt Terentii verba Prol. Andr. vs. 9 sqq. Donatus ad vs. 10: ***prima scena Perinthiae pene iisdem verbis, quibus Andria, scripta est; cetera dissimilia sunt, exceptis duobus locis, altero ad versus XI, altero ad versus XX, qui in utraque fabula positi sunt.*** Idem ad vs. 13: ***Conscius sibi est*** (Terentius), ***primam scenam de Perinthia esse translatam, ubi senex ita cum uxore loquitur, ut apud Terentium cum liberto: at in Andria Menandri solus senex est.*** V. Grauerti Anal. hist. et philol. p. 173 sqq. et Ihnii Quaest. Terent. p. 5 sqq.

I (4, 81) 40

Τὸ δ' ἐρᾶν ἐπισκοτεῖ
ἅπασιν, ὡς ἔοικε, καὶ τοῖς εὐλόγως
καὶ τοῖς κακῶς ἔχουσιν.

Stobaeus Floril. LXIV 15. Scripsi vs. 3 cum Clerico *κακῶς* pro *καλῶς*. Grauertus comparat Terent. I 3 12: ***Audireque eorum est operae pretium audaciam: Nam inceptio est amentium haud amantium.***

II (4, 81) 41

Καὶ τεττάρων ὡῶν μετὰ τοῦτο, φιλτάτη,
τὸ νεοττίον.

Photius et Suidas, *Νεοττός: ἡ τοῦ ὠοῦ λέκιθος καὶ τὸ πυρρόν. Μένανδρος Ἀνδρίᾳ Καὶ τεττάρων κτλ.* Recte haec referunt ad praecepta obstetricis cll. Terent. III 2 3 sqq. ***Nunc primum fac istaec lavet: post deinde Quod iussi ei dari bibere et quantum imperavi, Date.*** Scripsi *τὸ νεοττίον*. Vulgo *τὸν νεοττόν*. At possis etiam *τὸν νοττόν*.

III (4, 82) 42

Οὐδέν με λανθάνοις ἄν.

Terentius Andr. I 2 33: ***nihil me fallis.*** Donatus "*νινῦ*

καὶ οὐδὲν λέληθάς με ἄν." Haec paullo post rectius ita scripta apponuntur *οὐδέν με λανθάνοις ἄν*, prioribus verbis *νινῦ καὶ* omissis, quae H. Iacobi ex *ἑλληνικῶς* corrupta esse suspicatur.

43 IV (4, 82)

Εὑρετικὸν εἶναί φασι τὴν ἐρημίαν
οἱ τὰς ὀφρῦς αἴροντες.

Terentius Andr. II 4 3: *Venit meditatus alicunde ex solo loco, Orationem sperat invenisse se.* Donatus "Menander *εὑρετικὸν εἶναι — αἴροντες.*" Vulgo *εὑρετικήν*. Correxit Bentleius.

44 V (4, 82)

Terentius III 1 15: *Iuno Lucina fer opem.* Donatus "Obstetriciam potestatem Iunoni attribuit, quamquam Menander illam Dianam appellet." Eugraphius "Hanc (Iunonem) quidam tamen potius Dianam esse dixerunt: nam ita Menander ipsam vocat quum dicit *Ἄρτεμιν.*" Scholiasta Theocriti II 66: *καὶ παρὰ Μενάνδρῳ· "Αἱ κνίσκουσαι ἐπικαλεῖσθε τὴν Ἄρτεμιν, ἀξιοῦσθαι συγγνώμης ὅτι διεκορήθητε.*" Quae ita scribenda videntur: *καὶ παρὰ Μενάνδρῳ αἱ κνίσκουσαι ἐπικαλοῦνται τὴν Ἄρτεμιν ἀξιοῦσθαι συγγνώμης ὅτι διεκορήθησαν.*

45 VI (4, 83)

Λούσατ' αὐτὴν αὐτίκα.

Terentius III 2 3: *nunc primum fac istaec lavet.* Donatus "*λούσατ' αὐτὴν ὅδιστα.*" Correxit Bentleius. Casaubonus *τάχιστα.* Possis etiam *ὅτι τάχιστα*, vel cum Grauerto *ὡς τάχιστα.*

46 VII (4, 83)

Terentius III 3 11: *ne me obsecra.* Donatus "*τῷ ἑλληνισμὸν* (Iacobsius *ἑλληνισμῷ*) *μὴ λιτάνευε* mnmcor." Corrigunt *τῷ ἑλληνισμῷ "μὴ λιτάνευε μὴ μάχου.*"

47 VIII (4, 83)

Terentius III 4 13: *quidnam audio?* ubi Donatus etiam *audiam* legi scribit; sic enim Menandrum *τί δή ποτ' ἀκούσω;*

48 IX (4, 83)

Ἐνθένδ' ἀποφυγὼν οὐκ ἂν ἀπολοίμην ποτέ.

Terentius III 5 5: *Posthac incolumem sat scio fore me, nunc si hoc devito malum.* Donatus e Menandro affert: *ἂν θεὸς φεύγει οὐκ ἂν απολυμπτε* (sic). Quorum verborum sensum esse: *tam difficile est hinc evadere, ut qui hinc evaserit,*

videatur immortalis futurus. Casaubonus *ἔνθεν ἀποφεύγων οὐκ ἂν ἀπολοίμην ποτέ.* Quod leniter correctum adscivi.

X (4, 83) 49

Terentius IV 3 11: *ex ara hinc sume verbenas tibi.* Donatus: *κοκεξιας σὺ μυρρίνας χχϛδιεττεινε.* Respexit ad hunc Menandri locum Servius ad Virg. Aen. XII 120: *abusive verbenas iam vocamus omnes herbas sacratas, ut est laurus, oliva et myrtus. Terentius "ex ara hinc sume verbenas tibi." nam myrtum fuisse Menander testatur, de quo Terentius transvertit.* Bentleius *ἀπὸ δεξιᾶς σὺ μυρρίνης κλάδους λάβε.* Iacobsius: *ἀφ' ἑστίας σὺ μυρρίνας δέχου, Δυστηνέ.* Aram illam apud Menandrum Apollinis fuisse annotavit ad eundem locum Donatus "ex ara, scilicet Apollinis, quem *Δήλιον* Menander vocat." Vbi pro *Δήλιον* veteres editt. et duos codices habere *cassion* annotavit Dübnerus, in quo latet fortasse *Λοξίας,* ut Menander scripsisse videatur: *ἀπὸ Λοξία σὺ μυρρίνας τασδὶ λαβὼν | ὑπότεινε.*

XI (4, 84) 50

Terentius IV 4 55: *Paullum interesse censes, ex animo omnia Ut fert natura, facias, an de industria?* Donatus "Haec sententia a Terentio *ἐρωτηματικῶς* prolata est, quam Menander *ἐπιδεικτικῶς* posuit."

XII (4, 84) 51

Terentius V 4 16: *sic Crito est hic.* Donatus "Menander *οὕτως αὐτός ἐστι.*" Buttmannus *οὗτος* pro *αὐτός.*

XIII (4, 84) 52

Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.

Legitur hic versus in gnomis Menandri monostichis vs. 190 et omisso auctoris nomine apud Suidam II p. 13. Fuit versus proverbialis, ut docet locus Platonis Hipp. mai. p. 301 c: *τοιαῦτα τὰ ἡμέτερά ἐστιν οὐχ οἷα βούλεταί τις, φασὶν ἄνθρωποι ἑκάστοτε παροιμιαζόμενοι, ἀλλ' οἷα δύναται.* Recte eum Terentii interpretes adhibuerunt ad Andr. IV 5 10: *ut quimus, aiunt, quando ut volumus non licet.*

Praeterea Menandrum Donatus commemorat ad II 1 in. "has personas (Charinum et Byrrhiam dicit) Terentius addidit fabulae; nam non sunt apud Menandrum, ne *τραγικώτερον* fieret, Philumenam spretam relinquere sine sponso, Pamphilo aliam ducente." Ad IV 5 6, ubi ad Mysidis verba: *estne hic Crito, sobrinus Chrysidis?* haec adnotat "Sobrini sunt consobrinorum filii: nam sic dicit Menander." Ad V 3 20: *domus, uxor, liberi inventi*

invito patre, Donatus "mira gravitate sensus elatus est: nec de Menandro, sed proprium Terentii." De tribus aliis Andriae Terentianae locis probabiliter ad Menandri exemplum factis dixi in edit. pr.

ΑΝΔΡΟΓΥΝΟΣ Η ΚΡΗΣ

53. 54 I II (4, 85)

Hanc plenam fabulae inscriptionem servavit Athen. VI p. 243 b: *μνημονεύει δ' αὐτοῦ* (Chaerephontem dicit) *Μένανδρος καὶ ἐν Ἀνδρογύνῳ ἢ Κρητί.* Alteram tituli partem apud unum habemus scholiastam Aristoph. Lys. 378: *περὶ γαμηλίων λουτρῶν Μένανδρος ἐν Κρητί φησι.*

55 III (4, 85)

Τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον.

Stobaeus Floril. XLIV 5 *Μενάνδρου Ἀνδρογύνῳ.* Cfr. Antonius Meliss. CII p. 168.

56 IV (4, 85)

Τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ
ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν.

Stobaeus Floril. CVIII 38 *Μενάνδρου Ἀνδρογύνου.*

57 V (4, 85)

Πλήσας γὰρ ἔφερεν ἐκ παρατάξεώς ποθεν
τὰς ἐν Λαμίᾳ πάσας.

Photius s. v. *Λάμια. ἔστι δὲ καὶ πόλις Θεσσαλίας ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ τὸν Ἀλεξάνδρου θάνατον, Ἀθηναίων ἡγουμένων, τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν. Μένανδρος Ἀνδρογύνῳ Πλήσας γὰρ ἔφερεν κτλ.* Eadem Suidas, ubi editur *πλήξας γὰρ ἔφθειρ'*. Arsenius Ion. p. 332: *πάσας γὰρ ἔφθειρεν.* Neque hoc neque illud intellego.

58 VI (4, 85)

Μαρτύρομαι τὸν φίλιον, ὦ Κράτων, Δία.

Photius et Suidas s. v. *Φίλιος Ζεύς, ὁ τὰ περὶ τὰς φιλίας ἐπισκοπῶν. Μένανδρος Ἀνδρογύνῳ Μαρτύρομαι κτλ.*

59 VII (4, 86)

Schol. Platon. Bekk. p. 367: *Μυσῶν ἔσχατος ἐπὶ τῶν εὐτελεστάτων . . . Μένανδρος Ἀνδρογύνῳ Μυσῶν ἔσχατος πολέμιος.* Cfr. Append. Vat. I 64.

A N E Ψ I O I

I (4, 86) 60

Φύσει γάρ ἐστ' ἔρως
τοῦ νουθετοῦντος κωφόν· ἅμα δ' οὐ ῥᾴδιον
νεότητα νικᾶν ἐστι καὶ θεὸν λόγῳ.

Stobaeus Floril. LXIV 17: *Μενάνδρου Ἀνεψιός* (*Ἀνεψιοῖς*). Vs. 2 codd. A B et Trinc. *νομοθετοῦντος*.

II (4, 86) 61

Εὐδαιμονία τοῦτ' ἔστιν υἱὸς νοῦν ἔχων·
ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.

Stobaeus Floril. LXXVII 4 et 5. Primo versui *Μενάνδρου*, alteri *Μενάνδρου Ἀνεψιοῖς* adscriptum est. Recte Grotius utrumque versum ad unum fragmentum coniunxit. Vs. 1 *εὐδαιμονία* pro *εὐδαιμονίας* H. Stephanus.

III (4, 87) 62

Τὰ κακῶς τρέφοντα χωρὶ' ἀνδρείους ποιεῖ.

Stobaeus Floril. LVI 7 *Μενάνδρου Ἀνεψιοί*.

IV V (4, 87) 63. 64

Ὁ φανός ἐστι μεστὸς ὕδατος οὑτοσί,
δεῖ τ' οὐχὶ σείειν, ἀλλ' ἀποσείειν αὐτόθεν.
Οἷσ' εἰσιών
πανόν, λύχνον, λυχνοῦχον, ὅ τι πάρεστι· φῶς
μόνον πολὺ ποίει.

Athenaeus XV p. 700b: *ἄλλοι δ' ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα· οἱ δὲ τὴν ἔκ τινων ξύλων τετμημένην δέσμην. Μένανδρος Ἀνεψιοῖς* (AB *ἀνεψιὸς*) *Ὁ φανός κτλ. πανὸς δ' ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ συνδεδεμένον· τούτῳ δ' ἐχρῶντο λαμπάδι. Μένανδρος Ἀνεψιοῖς Οἷσ' εἰσιών κτλ.* Ad vs. 1 respexit Photius s. v. *Φανός* et Eustathius p. 1571 3. Vs. 2 ante Bentleium legebatur *ἀλλὰ ποδιεῖν αὐτόν*. In altero fragmento *οἷσε* addidit Dobraeus. Vs. 3 *ποίει* pro *ποιεῖ* Dalecampius. *φῶς ποιεῖν* dixit inc. Anth. Pal. IX 381 4.

A Π I Σ T O Σ

(4, 87) 65

Ὤιμην, εἰ τὸ χρυσίον λάβοι
ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγορασμένην
ἅβραν ἔσεσθαι.

Suidas, *Ἅβρα*: *οὔτε ἡ ἁπλῶς θεράπαινα οὔτε ἡ εὔμορφος θεράπαινα λέγεται, ἀλλ' οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος,*

εἴτε οἰκογενὴς εἴτε μή. Μένανδρος Σικυωνίῳ — Ἀπίστῳ Ὤιμην κτλ. Respexisse videtur ad hanc fabulam Alciphron Epist. II 4.50: *πάντα μετέωρα νῦν ἐστι βουλόμενα ἰδεῖν Μένανδρον καὶ ἀκοῦσαι φιλαργύρων καὶ ἐρώντων καὶ δεισιδαιμόνων καὶ ἀπίστων.* Dobraeus pro *Ἀπίστῳ* scribebat *ἄπιστον* (vel *ἄπιστά γ'*) et hoc fragmentum cum eo, quod Suidas l. l. ex Sicyonio attulit, coniungendum existimabat, ita quidem ut verba *ἄπιστον· ὤμην* etc. alteri interlocutori tribueret.

ΑΡΡΗΦΟΡΟΣ Η ΑΥΛΗΤΡΙΣ

66 I (4, 88)

Οὐ γαμεῖς, ἂν νοῦν ἔχῃς,
τοῦτον καταλιπὼν τὸν βίον· γεγάμηκα γάρ
αὐτός· διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.
Β. δεδογμένον τὸ πρᾶγμ'· ἀνερρίφθω κύβος.
Α. πέραινε. σωθείης δὲ νῦν· ἀληθινόν
εἰς πέλαγος αὐτὸν ἐμβαλεῖς γὰρ πραγμάτων,
οὐ Λιβυκόν, οὐδ' Αἰγαῖον . . .
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γῆμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.

Athenaeus XIII p. 559 c: *Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι Οὐ γαμεῖς κτλ.* Vs. 1 *ἂν νοῦν* Dindorfius. *ἐὰν νοῦν* PV *ἐάν γε νοῦν* L. Vs. 5 *νῦν* Iacobsius cum sequentibus coniunxit.

67 II (4, 88)

Πάντας μεθύσους τοὺς ἐμπόρους
ποιεῖ τὸ Βυζάντιον· ὅλην ἐπίνομεν
τὴν νύκτα διὰ σὲ καὶ σφόδρ' ἄκρατόν μοι δοκῶ·
ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων.

Athenaeus X p. 442 d: *Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι Πάντας μεθύσους κτλ.* Ex Athenaeo profecit Eustathius ad Hom. p. 1504 63 et ad Dionys. Perieg. 803: *κωμῳδοῦνται δὲ εἰς μέθην οἱ παλαιοὶ Βυζάντιοι.* Cfr. Aelian. VH III 14 et Nicetas Acomin. Hist. p. 251. Respexit etiam Pollux VI 25: *ὁ μέθυσος ἐπὶ ἀνδρῶν Μενάνδρῳ δεδόσθω.* Vs. 3 cod. B *δοκῆ.*

68 III (4, 89)

Ἐὰν δὲ κινήσῃ μόνον τὴν Μυρτίλην
ταύτην τις ἢ τιτθὴν καλῇ, πέρας οὐ ποιεῖ
λαλιᾶς· τὸ Δωδωναῖον ἄν τις χαλκίον,
ὃ λέγουσιν ἠχεῖν, ἂν παράψηθ' ὁ παριών,

5 *τὴν ἡμέραν ὅλην, καταπαύσαι ϑᾶττον ἢ*
ταύτην λαλοῦσαν· νύκτα γὰρ προσλαμβάνει.

Stephanus Byz. s. v. *Δωδώνη. μέμνηται αὐτῆς* (proverbii *τὸ Δωδωναῖον χαλκίον*) *Μένανδρος ἐν Ἀρρηφόρῳ Ἐὰν δὲ κινήσῃ κτλ.* Respiciunt Suidas s. v. *Δωδωναῖον χαλκίον* et Zenob. VI 5. Lectionis varietatem indicavi ad locum Stephani.

IV (4, 89. 90) 69

Τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε
ἀλλότρια, σώζει δ' αὐτά που τὰ σώματα·
βίου δ' ἔνεστιν ἀσφάλει' ἐν ταῖς τέχναις.

Stobaeus Floril. LX 5 *Μενάνδρου Αὐλητρίδος.* Vs. 1 Grotius *τὰ γὰρ πατρῷα.* Vs. 2 pro *σώζει* expectabam *δουλοῖ* vel simile quid. Vs. 3 cod. A *ἔνεστι μία.* Trinc. et Gesn. 1 *ἔνεστι μι'.* Recte *μι'* vel *μία* om. Gesn. 3.

V (4, 90) 70

Ἐλλέβορον ἤδη πώποτ' ἔπιες Σωσία;
πάλιν πάλιν νῦν πῖϑι· μαίνει γὰρ κακῶς.

Athenaeus X p. 446 d: *Μένανδρος Αὐλητρίδι* (libri *Αὐλητρίσι*) *Ἐλλέβορον κτλ.* Vs. 1 libri *βάλλ'* (BP *βάλ'*) *ἐς χόρον ἤδη πώποτ' ἔπιες Σωσίλα.* Correxit Heringa. Vs. 2 *πᾶσι πάλι νυν* cod. B, *πᾶσι νῦν* vulgo. Scripsi *πάλιν πάλιν νῦν.* Praeterea vs. 1 malim *εἰ δὴ* pro *ἤδη*, *si unquam bibisti*, *nunc iterum iterumque bibe.*

VI (4, 90) 71

Πάντ' ἐστὶ τῷ καλῷ λόγῳ
ἱερόν· ὁ νοῦς γάρ ἐστιν ὁ λαλήσων ϑεός.

Iustinus de Mon. p. 40 b: *καὶ ἐν Αὐλητρίσι* (*Αὐλητρίδι*) *Μένανδρος Πάντ' ἐστὶ κτλ.* Bentleius *πανταχῇ ἐστι* coniecit. Lenius corrigas *πάντη 'στί*, ut monui iam in edit. pr. Nunc idem Dobraeus Adv. II p. 271.

VII (4, 90) 72

Ὦ τρισκατάρατε, ζωπύρει τοὺς ἄνθρακας.

Etymol. Gudian. p. 234: *Ζωπυρεῖν κυρίως τὸ τοὺς ἄνθρακας φυσᾶν, ὡς τὸ τρισκατάρατε ἀναζωπύρει τοὺς ἄνθρακας, Μένανδρος ἐν Ἀρρηφόρῳ.* Correxi ut supra adscripsi in edit. prima. Nunc confirmatum video ab Etymol. M. p. 413 6, ubi versus ille non nominato auctore affertur.

73 VIII (4, 91)

Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

Orion Gnomol. I 11 cum lemmate *ἐξ Ἀρρηφόρου Μενάνδρου*. Tacito fabulae titulo idem versus legitur in Stobaei App. Flor. p. 69 23. Cfr. Gnomas monost. 26 et infra Heautontimor. Fragm. IV.

74 IX (4, 91)

Pollux X 176: *ὁλκεῖον, ἀγγεῖον ὑγρῶν τε καὶ ξηρῶν ὡς ἐπὶ τὸ πολὺ χαλκοῦν, ὡς ἐν Ἀρρηφόρῳ Μενάνδρου Ἡ χαλκοῦν μέγα ὁλκεῖον.*

Α Σ Π Ι Σ

75 I (4, 91)

Ἔχων τὴν ἀσπίδα
ἔκειτο συντετριμμένην.

Schol. Aristoph. Acharn. 284: *τῷ δὲ συντριβείη* (leg. *συντρίβειν*) *καὶ Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ καὶ ἐν Ἀσπίδι Ἔχων τὴν ἀσπίδα ἔκειτο συντετριμμένην.* Ex eadem fabulae parte sequens fragmentum petitum videtur.

76 II (4, 91)

Πολλοὶ γὰρ ἐκλελοιπότες
τὸν χάρακα τὰς κώμας ἐπόρθουν.

Harpocratio p. 183 16: *Χάρακα τὸ χαράκωμα ὃ περιεβάλλοντό τινες στρατοπέδῳ ἐπὶ σωτηρίᾳ. Μένανδρος Ἀσπίδι Πολλοὶ γάρ κτλ.* Habent etiam Suidas et Zonaras. Male haec Menandro historico tribuit Niebuhrius p. 443.

77 III (4, 91)

Στρατιώτην, Σμικρίνη, σωτηρίας
ἔστ' ἔργον εὑρεῖν πρόφασιν, ὀλέθρου δ' εὔπορον.

Stobaeus Floril. LIII 5. Pro *Σμικρίνη*, quae Bentleii emendatio est, vulgo *σμικρὸν ἦ*. Firmat lectio cod. A *σμικρὴν ἦ*.

78 IV (4, 92)

Ὃ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν
ἀλόγιστός ἐστι τῆς ἀληθείας κριτής.

Stobaeus Floril. XXIII 4. Vs. 2 A et B m s *ἔσται*.

79 V (4, 92)

Ὦ τρισάθλιοι,
τί πλέον ἔχουσι τῶν ἄλλων; βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια

τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι,
εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως
ἐγχειρίδιον ἔχοντας αὐτοῖς προσιέναι·
οἵαν δίκην διδόασιν.

Stobaeus Floril. XLIX 8 in titulo de vituperio tyrannidis. Vs. 2 Bentleius *τί δῆτα πλέον*, aut *τί πλέον ἔχουσι δημοτῶν ἄλλων*, quod placet. Nisi forte *τῶν γὰρ ἄλλων; τὸν βίον* scribendum. Pro *βίον* Trinc. *βίων*. Vs. 3 A post *οἰκτρὸν* addit *οἱ*. Vs. 4 forsan *ἢ τάς*. Vs. 5 Porsonus *οὗτοι* pro *οὕτω*.

VI—VIII (4, 92) 80–82

Stephanus Byz. v. *Ἰβηρίαι*: *ἀπὸ τοῦ Ἴβηρος γενικῆς Ἰβηρὶς τὸ θηλυκόν. "Ἕλληνίς, οὐκ Ἰβηρίς" Μένανδρος Ἀσπίδι.* Erotianus gloss. Hippocr. p. 144. *Ἔμυξεν: ἐστέναξεν. — Μένανδρος ἐν Ἀσπίδι.* Pollux X 137: *καυδύταλις, οὗ μέμνηται καὶ Μένανδρος ἐν Ἀσπίδι.*

ΑΥΤΟΝ ΠΕΝΘΩΝ

I (4, 93) 83

Τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς
τοὺς ἐμβλέποντας εἰς ἑαυτὸν δεικνύει.

Stobaeus Floril. XCIII 21. Ante Bentleium *τυφλοὺς ἐμβλέποντες εἰς αὐτόν*. Cfr. Antiphanis fragm. 290.

II (4, 93) 84

Harpocr. p. 169 25: *τὸ στεφανοῦν* (i. e. *τιμᾶν*) *ὡς παρά τε Θεοπόμπῳ ἐν ζ' καὶ Μενάνδρῳ ἐν Αὐτὸν πενθοῦντι.*

ΑΦΡΟΔΙΣΙΑ

I (4, 93) 85

Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τἀνόητον οὗτος ἔψεται;

Stobaeus Floril. LXIV 2: *Μενάνδρου Ἀφροδισίων*. De titulo cfr. Hist. com. p. 239. 324. Vs. 2 vulgo *ἀνώνητον*. A *τἀνόνητον*. B *ἀνόητά γ'*. Grotius *τὸ ἀνόητον*.

II (4, 93) 86

Ἐκφυγοῦσα δ' ἣν εἶχεν νόσον
οὐκ ἔσχε τοὺς ῥηθέντας ἀναθέσθαι λόγους.

Suidas, *Ἀναθέσθαι: τὸ μεταθέσθαι, ἀπὸ τῶν πεττευόντων καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούντων. — Μένανδρος ἐν Ἀφροδισίῳ Ἐκφυγοῦσα κτλ.*

87 III (4, 94)

Εἰ τὰς ἀληθείας ἁπλῶς τίς σοι λέγοι.

Suidas et Grammat. Bekk. p. 376: *Ἀληθῆ καὶ τὰς ἀληθείας πληθυντικῶς λέγουσι. Μένανδρος Ἀφροδισίῳ Εἰ τὰς ἀληθείας κτλ.*

B O I Ω T I A

88 I (4, 94)

Οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρ' ᾖ
ψευδής· ἐπίστανθ' αὐξάνειν αὐτὴν τινες,
δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' ὀρθῶς ἔχει.

Stobaeus Floril. XLII 1: *Μενάνδρου Βοιωτίας.*

89 II (4, 94)

Πολλὰ δύσκολα
εὕροις ἂν ἐν τοῖς πᾶσιν· ἀλλ' εἰ πλείονα
τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν.

Stobaeus Floril. CVIII 42: *Μενάνδρου ἐκ Βοιωτίας.*

90 III (4, 94)

Πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.

Stobaeus Floril. XCI 19: *Μενάνδρου Βοιωτίᾳ.* Corrupte Antonius Mel. p. 222.

91 IV (4, 94)

Οὐκ ἔστιν ἑκτεὺς τοῦτο, μὰ τὸν Ἀσκληπιόν.

Erotianus p. 178: *Ἡμιεκτέα, τὸ ἥμισυ τοῦ ἑκτέου (ἑκτέως)· ἑκτεὺς δὲ λέγεται ἀττικὸν μέτρον, ἔχον χοίνικας ὀκτώ, ὥς φησι Μένανδρος ἐν Βοιωτίᾳ Οὐκ ἔστιν κτλ.* Ante Bentleium *τουτί.*

92 V (4, 95)

Πεντεκτένους μὲν καὶ περίνησα πορφυρᾶ.

Photius, *Περίνησα: περιβόλαια περιφερῆ καὶ νησοειδῆ, ὅμοια ταῖς ὑπὸ Ῥωμαίων καλουμέναις χλαίναις* (fort. *λαίναις*)· *Μένανδρος Βοιωτίᾳ Πεντεκτένους κτλ.* Idem, *Πεντέκτενοι: περιπόρφυροι, διὰ τὸ ἐνυφάνθαι παρὰ τὰς ὤας πέντε κτένας πορφυροῦς. Πορφυρᾶ* Hermannus et Porsonus. Cod. *πορφυρά.*

Γ E Ω P Γ O Σ

Obiter huius fabulae meminit Quintilianus XI 3 91: ***cum mihi comoedi quoque pessime facere videantur, qui, etiamsi iuvenem agant, cum tamen in expositione aut senis sermo, ut in Hydriae prologo, aut mulieris, ut in Georgo, incidit, tremula vel effeminata voce pronuntiant.*** Respicit etiam Fronto Anth. Pal.

XII 233 fortasse etiam, si Gorgiae (fr. II et III) primae partes fuere, Lucianus Dial. meretr. 8.

I (4, 96) 93

Ὁ δ' ἠδικηκὼς ὅστις ἔσθ' οὗτός ποτε
τὴν ὑμετέραν πενίαν, κακοδαίμων ἔσθ', ὅτι
τοῦτ' ἠδίκηκεν, οὗ τυχὸν μεταλήψεται·
εἰ καὶ σφόδρ' εὐπορεῖ γάρ, ἀβεβαίως τρυφᾷ·
τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

Stobaeus Floril. CV 28. Vs. 2 *ἡμετέραν* Voss. et Ars. Vs. 3 *τυχὼν* N. Vs. 4 *εὖ ποιεῖ* Ars. Postremus versus est etiam apud Cramerum An. Ox. I p. 333, Etymol. M. p. 685 38 et schol. Sophoclis Oed. T. 1191.

II (4, 96) 94

Βὐκαταφρόνητόν ἐστι, Γοργία, πένης,
κἂν πάνυ λέγῃ δίκαια· τούτου γὰρ λέγειν
ἕνεκα μόνου νομίζεθ' οὗτος τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ.

Stobaeus Floril. XCVI 5.

III (4, 96) 95

Οὗτος κράτιστός ἐστ' ἀνήρ, ὦ Γοργία,
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται' ἐγκρατῶς·
τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δεῖγμ' ἔστιν εὐθὺς πᾶσι μικροψυχίας.

Orion Gnomol. VII 9. Duos priores versus habet Stobaeus Flor. V 1, duos posteriores idem XX 22. Vs. 2 *ἐπίστατ' ἐγκρατῶς* Orion. Vitiose Stobaeus *ἐπίσταται βροτῶν.*

IV (4, 97) 96

Ἀγρὸν εὐσεβέστερον γεωργεῖν οὐδένα
οἶμαι· φέρει γὰρ ὅσα θεοῖς ἄνθη καλά,
κιττόν, δάφνην· κριθὰς δ' ἐὰν σπείρω, πάνυ
δίκαιος ὢν ἀπέδωχ' ὅσας ἂν καταβάλω.

Stobaeus Floril. LVII 5. Vs. 3 δ' *ἐὰν* Grotius. δ' *ἂν* AB. Vulgo *τε ἄν.* Vs. 4 *δίκαιος ὢν* ante Porsonum iam Zedelius. Vulgo *δικαίως.* Ib. *ὅσας* pro *ὅσα* Porsonus. Respexisse locum videri potest Pollux I 227: *Μένανδρος δίκαιον γῄδιον καλεῖ ὃ μηδὲν πλέον τοῦ σπέρματος ἐνφέρει.* Adde Quintil. XII 10 25. Cfr. praeterea inc. fab. fr. DV.

97 V (4, 97)

Εἰμὶ μὲν ἄγροικος, καὐτὸς οὐκ ἄλλως ἐρῶ,
καὶ τῶν κατ' ἄστυ πραγμάτων οὐ παντελῶς
ἔμπειρος, ὁ δὲ χρόνος τί μ' εἰδέναι ποιεῖ
πλέον.

Orion Gnomol. I 19. Vs. 1 *ἄλλως* Schneidewinus. cod. *ἄλλος*.

98 VI (4, 97)

Ἐμβεβρόντησαι; γελοῖον, ὃς κόρης ἐλευθέρας
εἰς ἔρωθ' ἥκων σιωπᾷς καὶ μάτην ποθουμένους
περιορᾷς γάμους σεαυτῷ.

Maximus Planudes ad Hermog. in Walzii Rhet. V p. 525 trochaicorum tetrametrorum exempla afferens: *καὶ παρὰ τῷ Μενάνδρῳ ἐν Γεωργῷ Ἐμβεβρόντησαι κτλ.* Vs. 2 vulgo *ποιουμένους*. Ioh. Siceliota *ποθουμένης*, reliquis omissis. Hinc scripsi *ποθουμένους*. Heringa *πονουμένους*.

99 VII (4, 98)

Βουβὼν ἐπήρθη τῷ γέροντι, θέρμα τε
ἐπέλαβεν αὐτόν.

Zonaras p. 1030: *Θέρμη καὶ θέρμα — Μένανδρος Βουβὼν ἐπήρθη κτλ.* Partem loci additō fabulae titulo habet Etymol. M. p. 206 57: *Μένανδρος ἐν τῷ Γεωργῷ Βουβὼν ἐπήρθη τῷ γέροντι.* Eadem omisso auctoris nomine Suidas v. *βουβών*. Respicit eundem locum Phrynichus Epit. p. 331.

100 VIII (4, 98)

Choeroboscus Bekkeri p. 1380 (Crameri An. Ox. IV p. 363): *ἔχομεν τὴν χρῆσιν τοῦ "ἦν ἐγώ" παρὰ Ἀριστοφάνει — καὶ παρὰ Μενάνδρῳ ἐν τῷ Γεωργῷ Ἦν δ' οὐ πονηρὸς οὐδ' ἀδόκουν.*

101 IX (4, 98)

Schol. Aristoph. Plut. 652: *ἀκριβῶς δὲ δεδήλωκεν ὅτι ἐπὶ κακῷ ἔλεγον οἱ Ἀθηναῖοι τὰ πράγματα, καὶ Μένανδρος δὲ ἐν Γεωργῷ ἐν πράγμασιν, ἐν μάχαις.* Postrema *καὶ Μένανδρος — μάχαις* omittit Rav. et Ven., habet Θ et Suidas v. *πράγματα*. *ἐν μάχαις* scholiastae esse suspicatur Dobraeus.

Aliud incerti comici fragmentum, haud improbabili coniectura a Toupio ad Menandri Georgum relatum, apud Plutarchum de Curios. p. 519 a inter anonymorum comicorum fragmenta (293 a) exhibui.

Δ Α Κ Τ Υ Λ Ι Ο Σ

I (4, 99) 102

Ἐπὶ τοῦδ' αὖθις οὑτοσὶ κακοδαίμων ἔφη,
ὡς οὐκ ἂν ἐκδοίη γε θυγατέρ' ἄσμενος,
καὶ ταῦτα πεντήκοντα παιδίσκας ἔχων.

Ammonius p. 110: *παιδίσκη καὶ παῖς διαφέρει· παιδίσκη μὲν γὰρ ἡ ἐλευθέρα παρ' Ἀττικοῖς, παῖς δὲ ἡ δούλη. Μένανδρος ἐν Δακτυλίῳ Ἐπὶ τοῦδ' αὖθις κτλ.* Vs. 1 Aldus et cod. Par. *ἄν τις* et *ἔφυ* pro *αὖθις* et *ἔφη*. Coniicias *ἔπειτα δ' αὖθις τοῦθ' ὁ κακοδαίμων ἔφη*. Dobraeus *ἐπεὶ οὐδὲ εἷς οὕτως γε κακοδαίμων ἔφυ*. Vs. 2 Aldus *ἐκδείη θυγατέρας μένος*. Correxit Scaliger, quamquam rectius fortasse Pauwius *ἐκδοίη θυγατέρ' ἄν*.

II (4, 99) 103

Οἰκόσιτον νυμφίον
οὐδὲν δεόμενον προικὸς ἐξευρήκαμεν.

Athenaeus VI p. 247 f: *καλεῖται οἰκόσιτος ὁ μὴ μισθοῦ ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν. — Μένανδρος Δακτυλίῳ Οἰκόσιτον κτλ.*

III IV (4, 99) 104. 105

Photius et Suidas, *Ὑπηνέμια: λέγουσιν ὡς ἡμεῖς — καὶ Μένανδρος Δακτυλίῳ ἀνεμιαῖον ἐγένετο.* Harpocratio s. v. *αὐτολήκυθοι: τὸ ὄνομα καὶ παρὰ Μενάνδρῳ ἔν τε Ἡνιόχῳ καὶ Δακτυλίῳ.*

Δ Α Ρ Δ Α Ν Ο Σ

I (4, 100) 106

Καὶ λαιμὰ βαχχεύει λαβὼν τὰ χρήματα.

Schol. Aristoph. Av. 1563: *παραπεποίηκε (τὸ λαῖμα) παρὰ τὸ λαιμόν. ἔστι καὶ παρὰ Μενάνδρῳ ἐν Δαρδάνῳ Καὶ λαῖμα βαχχεύει λαβὼν τὰ χρήματα. — ἔτι μέντοι τῶν περὶ τὴν Ἀσίαν τινὲς ἐπὶ τῶν ἀναιδῶν καὶ εὐτόλμων οὕτω λέγουσιν. ὅπερ συμφωνότερόν ἐστι τῷ παρὰ Μενάνδρῳ.* Recte Bentleius *λαιμὰ* correxit. Cod. Rav. *λῆμα*.

II III (4, 100) 107. 108

Erotianus p. 172. *Ἠδύσμασι: τοῖς χλωροῖς καὶ ξηροῖς ἀρτύμασιν. ἀττικὴ δὲ ἡ λέξις, ὡς καὶ — Μένανδρος ἐν Δαρδάνῳ.* Priscianus VI p. 253: *Menander quoque in Dardano Δρία παῖ dixit pro Δρίαν.* De alio huius fabulae fragm. vide ad Xenologum.

ΔΕΙΣΙΔΑΙΜΩΝ

Nobilissimam hanc fabulam Caecilius apud Porphyrium Eusebii Praep. Evang. X 2 p. 273 totam ex Antiphanis Oeonista expressam fuisse dicit, quod quid sit indicavi Hist. crit. p. 32. Multa ex ea haud dubie in suum de superstitione libellum derivavit Plutarchus. Obiter eam memorat Alciphro Epist. II 4 50.

109 I (4, 100. 101)

Εἰ μέν τι κακὸν ἀληθὲς εἶχες, Φειδία,
ζητεῖν ἀληθὲς φάρμακον τούτου σ' ἔδει·
νῦν δ' οὐκ ἔχεις· τὸ φάρμακον εὕρηκας κενόν
πρὸς τὸ κενόν· οἰήθητι δ' ὠφελεῖν τί σε.
περιμαξάτωσάν σ' αἱ γυναῖκες ἐν κύκλῳ
καὶ περιθεωσάτωσαν, ἀπὸ κρουνῶν τριῶν
ὕδατι περίρραν' ἐμβαλὼν ἅλας, φακούς.

Clemens Alex. Strom. VII p. 844 Pott. *εὖ γὰρ καὶ ὁ Μένανδρος Εἰ μέν τι κακόν κτλ.* Vs. 1 et 2 *Φειδία, ζητεῖν* Grotius. Libri *φιλιάζειν.* Vs. 3 *τὸ φάρμακον εὕρηκας κενὸν* cod. Par. Vulgo *κενὸν εὕρηκας τὸ φ.* Vs. 6 libri *περιτέθωσαν.* Cotrexit Bentleius, nisi quod scripsit *περιθειωσάτωσαν.* Vs. 7 *περίρραν'* Sylburgius. Libri *περίρραναι.*

110 II (4, 101)

Ἀγαθόν τί μοι γένοιτο, πολύτιμοι θεοί·
ὑποδούμενος τὸν ἱμάντα γὰρ τῆς δεξιᾶς
ἐμβάδος ἀπέρρηξ'. Β. εἰκότως, ὦ φλήναφε,
σαπρὸς γὰρ ἦν, σὺ δὲ μικρολόγος ἄρ' οὐ θέλων
καινὰς πρίασθαι.

Theodoretus Therap. vol. IV p. 852: *ὁ Μένανδρος δ' ἐν Δεισιδαίμονι παραπλησίως τοὺς τὰ τοιαῦτα παρατηροῦντας γελᾷ λέγων ὧδί Ἀγαθόν τί μοι κτλ.* Eadem servavit Clemens Alex. Strom. VII p. 842 Pott. ex quo profecit scriptor incertus apud Cramerum An. Par. IV p. 250. Vs. 2 et 3 vulgo *ὑποδούμενος τὸν ἱμάντα τῆς δεξιᾶς ἐμβάδος διέρρηξα,* quod correxi. Vs. 4 libri *σὺ δὲ σμικρολόγος οὐκ ἐθέλων.* Hoc etiam correxi.

111 III (4, 102)

Οὐ δεῖ γὰρ ἀδικεῖν τοὺς ἱκέτας, ἄλλως τε καί
ὅταν μετ' εὐνοίας τι μὴ πονηρίᾳ
πταίσωσιν· αἰσχρόν ἐστι τοῦτο γὰρ πάνυ.

Stobaeus Floril. IX 11: *Μενάνδρου Δεισιδαίμονι.* Vs. 2

vulgo *μετ' εὐνοίας τινὸς μὴ πονηρᾶς*, quod correxi in editione prima. Idem nunc Dobraeus Adv. II p. 272. Bentleius *μετ' εὐνοίας τινὸς οὐ πονηρίᾳ*. Praeterea Pflugkius Sched. crit. p. 19 *ἀγνοίας* pro *εὐνοίας*. Vs. 3 libri *τοῦτο γάρ ἐστιν πάνυ*. Transposuit Dobraeus.

IV (4, 102) 112

Παράδειγμα τοὺς Σύρους λαβέ·
ὅταν φάγωσ' ἰχθὺν ἐκεῖνοι, διά τινα
αὐτῶν ἀκρασίαν τοὺς πόδας καὶ γαστέρα
οἰδοῦσιν, ἔλαβον σαχίον, εἶτ' εἰς τὴν ὁδόν
ἐκάθισαν αὐτοὺς ἐπὶ κόπρου, καὶ τὴν θεόν
ἐξιλάσαντο τῷ τεταπεινῶσθαι σφόδρα.

Porphyrius de Abstin. IV p. 347: *τὸ μέντοι τῶν ἰχθύων ἀπέχεσθαι ἄχρι τῶν Μενάνδρου χρόνων τοῦ κωμικοῦ διέμεινε· λέγει γάρ Παράδειγμα τοὺς Σύρους λαβέ κτλ.* Ad *Δεισιδαίμονα* referenda esse vidit Clericus. Vs. 4 pro *σαχκίον* scripsi *σαχίον*. Praeterea *εἶτ'*, quod libri ante *ἔλαβον* habent, delevi. Vs. 5 *αὐτοὺς* Toupius pro *αὐτοί*. Vs. 6 *τεταπεινῶσθαι* Heringa. Libri *ταπεινῶσαι*.

V VI (4, 103) 113. 114

Schol. Platon. Bekk. p. 372: *καὶ τυφλῷ δῆλον —, μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι.* Photius, *Ὀλόλους: τοὺς δεισιδαίμονας ἐκάλουν οἰωνιζόμενοι. Μένανδρος Δεισιδαίμονι.*

Δ Η Μ Ι Ο Υ Ρ Γ Ο Σ

I (4, 103) 115

Τί τοῦτο, παῖ; διακονικῶς γὰρ νὴ Δία
προελήλυθας. Β. ναί· πλάττομεν γὰρ πλάσματα,
τὴν νύκτα τ' ἠγρυπνήκαμεν· καὶ νῦν ἔτι
ἀποίητα πάμπολλ' ἐστὶν ἡμῖν.

Athenaeus IV p. 172 c: *ὅτι δὲ ἐκεχώριστο τὰ τῆς ὑπουργίας, πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ τῶν μαγείρων, διεσάφησεν — Μένανδρος Δημιουργῷ Τί τοῦτο κτλ.* Quae sunt ipsius *δημιουργοῦ* verba. Fallitur schol. Aristoph. Equit. 650 et Suidas v. *δημιουργός*. Vs. 2 forsan *πέμματα*, quamquam Schol. Arist. Ach. 1092 *ἰτρία δὲ καπυρώδη πλάσματα*.

II (4, 103) 116

Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει·
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.

Stobaeus Floril. CIII 7 et Antonius Mel. CXI p. 231. Idem fragmentum duobus senariis auctum e Menagyrta Menandri laudatur a Stobaeo XCIV 7, cuius erroris originem in edit. pr. explicui. Primum versum servavit etiam Plutarchus de aud. poet. p. 34 c. Cfr. Democritus in Galei Opusc. Mythol. p. 16.

117. 118 III IV (4, 104)

Pollux X 102: *Μένανδρος δὲ ἐν Δημιουργῷ ληνὸν εἴρηκε τὴν κάρδοπον.* Antiatticista p. 83. *Βίος: ἐπὶ συνουσίας* (leg. *οὐσίας*) *Ἡρόδοτος, Μένανδρος Δημιουργῷ.*

Δ I Δ Y M A I

119. 120 I II (4, 104)

Συμπεριπατήσεις γὰρ τρίβων' ἔχουσ' ἐμοί,
ὥσπερ Κράτητι τῷ κυνικῷ ποθ' ἡ γυνή.

Diogenes Laert. VI 93: *μέμνηται αὐτοῦ* (Cratetem dicit) *καὶ Μένανδρος ἐν Διδύμοις* (sic) *οὕτως Συμπεριπατήσεις κτλ. καὶ θυγατέρα ἐξέδωκε μαθηταῖς αὑτοῦ, ἐκείνοις ἐπὶ πείρᾳ δοὺς τριάκονθ' ἡμέρας, ὡς ὁ αὐτὸς ἔφη.*

121. 122 III IV (4, 104)

Athenaeus IX p. 373 d: *Μένανδρος Διδύμαις Ὄρνεις φέρων ἐλήλυθα. καὶ ἑξῆς Ὄρνιθας ἀποστέλλει.* Postrema fortasse anapaestici versus reliquiae sunt.

123. 124 V VI (4, 104)

Harpocratio p. 127 9: *Μένανδρος ἐν Διδύμαις πρὸς ταῖς δώδεκα δραχμαῖς καὶ τριώβολόν φησι τούτους (τοὺς μετοίκους) τελεῖν.* Idem p. 156 20: *ἐκωμῳδοῦντο (οἱ Ποτάμιοι) ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράπτους, ὡς ἄλλοι τε δηλοῦσι καὶ Μένανδρος ἐν Διδύμαις.*

Δ I Σ E Ξ A Π A T Ω N

Respexit Martialis Epigr. XIV 214, ubi de pueris comoedis "Non erit in turba quisquam *Μισούμενος* ista, Sed poterit quivis esse *Δὶς ἐξαπατῶν*." Ex hac fabula Plauti Bacchides expressas esse vidit Ritschelius Parerg. Plaut. I p. 405 sqq.

125 I (4, 105)

Βουληφόρως
τὴν ἡμετέραν, ὦ Δημέα, προκατέλαβες
ὅρασιν.

Fulgentius Mythol. III 1 p. 199: ***Bellerophonta posuerunt, quasi** βουληφοροῦντα — nam et Menander similiter in Disexa-*

patente comoedia ita ait: Βουληφόρως — ὅρασιν, id est: consiliarie nostram, Demea, praeoccupavisti visionem.

II (4, 105) 126

Ἐμοὶ παράστα· τὴν θύραν κόψας ἐγώ
καλῶ τιν' αὐτῶν.

Suidas s. v. *Ἀπόστα. οὐ μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ ἀπόσταν. — Μένανδρος Δὶς ἐξαπατῶντι Ἐμοὶ παράστα κτλ.* Eadem Grammat. Bekk. p. 436, ubi vitiose *καλῶς τιν' αὐτόν.*

III (4, 105) 127

Οὐ Μεγάβυζος ἦν,
ὅστις γένοιτο ζάκορος.

Photius, *Ζάκορος: νεωκόρος. Μένανδρος Δὶς ἐξαπατῶντι Οὐ Μεγάβυζος κτλ.* Eadem Suidas v. *ζάκορος.* V. Ritschelium p. 407.

IV (4, 105) 128

Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.

Plutarchus Cons. ad Apoll. p. 119 e: *προαμαρτυρήσας τῷ καλῶς ὑπὸ Μενάνδρου ῥηθέντι τούτῳ Ὃν οἱ θεοὶ κτλ.* Idem versus legitur apud Clement. Alex. Str. VI p. 746 Pott., in schol. Odyss. XV 246, Eustathium p. 1781 3, mon. 425 et Stobaeum Flor. CXX 8, cuius auctoritate ad Disexapatonta relatus est. Latine reddidit Plautus Bacch. IV 7 18: *quem di diligunt adulescens moritur.*

ΔΥΣΚΟΛΟΣ

Quale fuerit huius fabulae argumentum, quodammodo suspicari licet ex Iuliani verbis Misopog. p. 342: *οὕτω μὲν οὖν ἐγὼ ἐν Κελτοῖς, κατὰ τὸν τοῦ Μενάνδρου Δύσκολον, αὐτὸς ἐμαυτῷ πόνους προσετίθουν*, et ibid. p. 349 c: *πόλει γὰρ προσιὼν ἐλευθέρᾳ, τὸν αὐχμὸν τῶν τριχῶν οὐκ ἀνεχομένῃ, ὥσπερ οἱ κουρέων ἀπορροῦντες ἄκαρτος καὶ βαθυγένειος εἰσέδραμον. ἐνόμισας ἂν Σμικρίνην ὁρᾶν ἢ Θρασυλέοντα, δύσκολον πρεσβύτην ἢ στρατιώτην ἀνόητον.* Rem conficit Alciphro Epist. III 43: *ἐν τούτῳ δὲ ἱλαρότητος καὶ εὐφροσύνης διακειμένου τοῦ συμποσίου ἐπέστη ποθὲν Σμικρίνης ὁ δύστροπος καὶ δύσκολος.* Praeterea fabulam respexit Agathias Anth. Pal. V 218. Fortasse etiam scholiasta Hermog. p. 72: *ἠθικῆς παράδειγμα οἱ φιλάργυροι καὶ οἱ δύσκολοι καὶ οἱ γεωργοί.* Neque ex alia fabula Libanius vol. IV p. 148 suam *δυσκάλου* imaginem videtur expressisse.

129 I (4, 106)

Τῆς Ἀττικῆς νομίζετ' εἶναι τὸν τόπον
Φυλήν, τὸ Νυμφαῖον δ' ὅθεν προέρχομαι
Φυλασίων.

Harpocratio p. 183. *Φυλή: δῆμός ἐστι φυλῆς τῆς Οἰνηίδος· Μένανδρος Δυσκόλῳ Τῆς Ἀττικῆς κτλ.* Apertum est haec ex ipso fabulae prologo derivata esse. Eadem schol. Aristoph. Acharn. 1023. *ἀπὸ Φυλῆς: ὄνομα δήμου· καὶ Μένανδρος Δυσκόλῳ Τῆς Ἀττικῆς κτλ.* Male Etymol. M. p. 802 22: *ὁ δὲ Μένανδρος τόπον νομίζει εἶναι Φυλήν.*

130 II (4, 107)

Περὶ χρημάτων λαλεῖς, ἀβεβαίου πράγματος·
εἰ μὲν γὰρ οἶσθα ταῦτα παραμενοῦντά σοι
ἅπαντα τὸν χρόνον, φύλαττε μηδενί
ἄλλῳ μεταδιδούς, αὐτὸς ὢν δὲ κύριος·
εἰ μὴ δὲ σαυτοῦ, τῆς τύχης δὲ πάντ' ἔχεις,
τί ἂν φθονοίης, ὦ πάτερ, τούτων τινί;
αὐτὴ γὰρ ἄλλῳ τυχὸν ἀναξίῳ τινί
παρελομένη σου πάντα προσθήσει πάλιν.
διόπερ ἐγώ σέ φημι δεῖν, ὅσον χρόνον
εἶ κύριος, χρῆσθαί σε γενναίως, πάτερ,
αὐτόν, ἐπικουρεῖν πᾶσιν, εὐπόρους ποιεῖν
οὓς ἂν δύνῃ πλείστους διὰ σαυτοῦ· τοῦτο γάρ
ἀθάνατόν ἐστι, κἄν ποτε πταίσας τύχῃς,
ἐκεῖθεν ἔσται ταὐτὸ τοῦτό σοι πάλιν.
πολλῷ δὲ κρεῖττόν ἐστιν ἐμφανὴς φίλος
ἢ πλοῦτος ἀφανής, ὃν σὺ κατορύξας ἔχεις.

Stobaeus Floril. XVI 13: *Μενάνδρου ἐκ Δυσκόλου.* Vs. 3 ante Bentleium *πάντα.* Vs. 5 *εἰ δὲ μὴ σεαυτοῦ* cod. A, sed ita ut super *μὴ* scriptum sit *οὐ. εἰ δ' οὐ σεαυτοῦ* B m sec. et duo codd. Schowii. Porsonus *ἃ δὲ μὴ σεαυτοῦ*, Bentleius *εἰ δ' οὐδὲν αὑτοῦ.* Mihi *εἰ μὴ δὲ σαυτοῦ* verum visum est, cll. Timocle Dracont. vs. 13: *ἵνα μὴ δὲ πολλὰ μακρολογῶ.* Vs. 9 Tyrwhittus *ἔγωγέ φημι.* Vs. 11 Gaisfordus *αὐτὸν ἐπικουρεῖν.* Vs. 12 vulgo *ὡς ἄν.* Cod. Schowii *οὓς ἄν.* AB *ὡς ἄν*, sed *οὓς* super *ὡς.* Vs. 15 et 16 male incerto poetae tribuit Grotius, sequente Gaisfordo.

131 III (4, 108)

Ὡς θύουσι δ' οἱ τοιχωρύχοι,
κοίτας φέροντες, σταμνί', οὐχὶ τῶν θεῶν

ἕνεχ', ἀλλ' ἑαυτῶν· ὁ λιβανώτὸς εὐσεβές,
καὶ τὸ πόπανον τοῦτ' ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ
ἅπαν ἐπιτεθέν· οἱ δὲ τὴν ὀσφὺν ἄκραν
καὶ τὴν χολὴν ὀστᾶ τ' ἄβρωτα τοῖς θεοῖς
ἐπιθέντες, αὐτοὶ τἄλλα καταπίνουσ' ἀεί.

Athenaeus IV p. 146 e: *Μένανδρος δ' ἐν Μέθῃ τοῦ μεγίστου δείπνου δαπάνημα τάλαντον τίθησι — καὶ ἐν Δυσκόλῳ δέ φησιν οὕτως Ὡς θύουσι δ' οἱ κτλ.* Vs. 3 forsan praestat *εὐσεβής*. Porphyrius de Abst. II p. 131: *καὶ Μένανδρος ἐν Δυσκόλῳ Ὁ λιβανωτὸς εὐσεβὴς καὶ τὸ πόπανον· τοῦτ' ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ ἅπαν τεθέν.* Ad vs. 5 et 6 confer Clement. Alex. Strom. VII p. 847 Pott.: *Μένανδρός τε τὴν ὀσφὺν ἄκραν πεποίηκεν, τὴν χολήν, ὀστέα τ' ἄβρωτα, φησί, τοῖς θεοῖς ἐπιτιθέντες αὐτοὶ τὰ ἄλλα ἀναλίσκουσιν.* Adde Etymol. M. p. 468 28: *Μένανδρος Οἱ δὲ τὴν ὀσφὺν ἄκραν θύσαντες.* Vs. 7 *ἀεὶ* addidit Bentleius. Dobraeus *αὐτοὶ πάντα τἄλλα κατέπιον.*

IV (4, 108) 132

Οὐδὲ εἷς
μάγειρον ἀδικήσας ἀθῴως διέφυγεν·
ἱεροπρεπής πώς ἐστιν ἡμῖν ἡ τέχνη.

Athenaeus IX p. 383 f: *μὴ καί τις αὐτῶν τὰ ἐκ Δυσκόλου Μενάνδρου βρενθυόμενος λαρυγγίσῃ τάδε Οὐδὲ εἷς κτλ.* Vs. 3 *ἡμῶν*?

V a. b (4, 109) 133, 134

Οὐδενὸς χρὴ πράγματος
τὸν εὖ πονοῦνθ' ὅλως ἀπογνῶναί ποτε.
Ἁλωτὰ γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ
ἅπαντα.

Stobaeus Floril. XXIX 45 46. Vs. 2 ante Grotium *ποιοῦνθ'*. Ad alterum fragmentum nihil lemmatis adscriptum est. Itaque dubitari potest num recte ad Menandrum et ad hanc ipsam fabulam relatum sit. Cod. A post *ἁλωτὰ* addit *γάρ*. Suspiceris igitur *Ἁλωτὰ γάρ | ἅπαντα γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ.*

VI (4, 109) 135

Ammonius p. 62: *ὁ οὖν ἐναλλάσσων* (*εὐθὺς* et *εὐθὺ*) *ἁμαρτάνει, καθὰ Μένανδρος ἐν Δυσκόλῳ Τί φῂς ἰδὼν ἔνθεν γε πᾶς δ' ἐλευθερῶν ἀπῆλθες εὐθὺς ὡς ταχύ.* Bene Valckenarius *ἐνθένδε* et *Ἐλευθερῶν*, cetera male administrans. Scribendum suspicor:

Τί φῄς; Β. ἰὼν ἐνθένδ' ὁ παῖς
Ἐλευθερῶν ἀπῆλθεν εὐθὺς ὡς ταχύ.

136 VII (4, 109)

Ammonius p. 61: *Εὑρεῖν καὶ εὑρέσθαι διαφέρει. εὑρεῖν μὲν γάρ, τὸ καὶ ἐν τῇ συνηθείᾳ, εὑρέσθαι δέ, οἱονεὶ τὸ ἐκπορίσασθαι. Μένανδρος Δυσκόλῳ Εὑρηκὼς κἀγὼ τούτου τέχνην.* Veteres editt. *εὑρηκός*, quod ex *εἵρηκα* corruptum suspicor. Pro *τούτου* fortasse *τουτουί*.

137 VIII (4, 109)

Σιωπῇ φασι τούτῳ τῷ θεῷ
οὐ δεῖν προσιέναι.

Schol. Aristoph. Lys. 2: *Πανὶ ὠργίαζον αἱ γυναῖκες μετὰ κραυγῆς. καὶ Μένανδρος ἐν Δυσκόλῳ σιωπῇ φησι τούτῳ τῷ θεῷ οὐ δεῖ προσιέναι.* Eadem habet Suidas s. v. *Πανικῷ δείματι*, nisi quod *τούτῳ* omittit; at recte idem cum Rav. pro *δεῖ* exhibet *δεῖν*. Pro *φησὶ* Porsonus *φασί*, firmante nunc cod. G.

138 IX (4, 110)

Οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος.

Etymol. Gud. p. 23 26: *Μένανδρος ἐν τῷ Δυσκόλῳ διαστέλλει τὴν διαφορὰν* (inter *αἰτεῖν* et *αἰτεῖσθαι*) *Οὐ πῦρ κτλ.* Ita correxi editum *αἰτῶ οὐδὲ λεπάδες*. Idem versus ab aliis grammaticis ex Hymnide citatur.

139 X (4, 110)

Antiatticista p. 82 11. *Ἀνδριάς: καὶ ἐπὶ γραφῇ Πλάτων Πολιτείᾳ, Μένανδρος Δυσκόλῳ.*

ΕΑΥΤΟΝ ΤΙΜΩΡΟΥΜΕΝΟΣ

Hanc etiam fabulam expressisse constat Terentium. Titulum attigit Galenus ad Hippocr. de artic. XII p. 316 Chart. *διαφέρει τὸ τιμωρῶν τοῦ τιμωρούμενος, ὃ μετὰ τῆς καλουμένης αἰτιατικῆς σημαίνει τὸ κολάζον (κολάζων)· οὕτως γοῦν καὶ ἑαυτὸν τιμωρούμενος ἐπιγέγραπται τὸ Μενάνδρου δρᾶμα.*

140 I (4, 110)

Πρὸς τῆς Ἀθηνᾶς, δαιμονᾶς, γεγονὼς ἔτη
τοσαυῒ'; ὁμοῦ γάρ ἐστιν ἑξήκοντά σοι.

Schol. Platonis Bekk. p. 380 de *ὁμοῦ* numeralibus adiuncto dicens: *καὶ Μένανδρος ἐν τῷ Ἑαυτὸν τιμωρουμένῳ Πρὸς τῆς Ἀθηνᾶς κτλ.* Sunt Chremetis ad Menedemum verba, ut docet Terentius I 1 9: *Nam proh deum atque hominum fidem, quid vis tibi? Quid quaeris? annos sexaginta natus es, Aut plus, ut coniicio.* Pro *δαιμονᾶς* libri *δαίμων δύο*. Correxit Porsonus.

II (4, 111) 141

Λουτρὸν θεραπαίνας ἀργυρώματα.

Athenaeus VI p. 231 a: *Μένανδρος Ἑαυτὸν τιμωρουμένῳ Λουτρόν κτλ.* Terent. I 1 78, ubi Menedemus dicit: ***Ancillae tot me vestiant? sumptus domi Tantos ego solus faciam?*** Ante *ἀργυρώματα* H. Iacobi inserit *στρώματ'*.

III (4, 111) 142

Ἐξ ἱσταρίου δ' ἐκρέματο φιλοπόνως πάνυ.
. . . . . καὶ θεραπαινὶς ἦν μία·
αὕτη συνύφαινε ῥυπαρῶς διακειμένη.

Terentius II 3 51. ***Subtemen nebat: praeterea una ancillula Erat; ea texebat una, pannis obsita, Neglecta immunda illuvie.*** Ad quem locum graeca quae supra adscripsi servavit scholiasta codicis Bembini. Vs. 1 codex *γάρ*, pro quo scripsi *δ'*, et vs. 3 *συνύφαινε* pro *συνύφαινεν*.

IV (4, 111) 143

Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

Terentius II 4 4: ***Nam mihi quule ingenium haberes, fuit indicio oratio.*** Ad quem locum in cod. Bemb. adscriptum est *. . . λανδρος χαρακτὴρ ἐκ λόγου γνωρίζεται.* V. Spengelium ad Varronem de L. L. p. 118. Idem versus, qui in proverbii usum abiisse videtur, legitur in *Ἀρρηφόρου* fragm. VIII. Sed cfr. Ihnii Quaest. Ter. p. 17. 18. 42.

V (4, 111) 144

Terentius III 1 31: ***Vehemens in utramque partem, Menedeme, es nimis.*** Vbi schol. Bemb. "graece *πᾶς πατὴρ μωρός*."

VI (4, 111) 145

Οἴκοι μένειν χρὴ καὶ μένειν ἐλεύθερον,
ἢ μηκέτ' εἶναι τὸν καλῶς εὐδαίμονα.

Stobaeus Floril. XXXIX 11 et Clemens Alex. Strom. VI p. 739 Pott. Haec Chremetis verba esse suspicari licet, Cliniae patriam relinquendi consilium vituperantis. Primum versum servavit etiam Diogenianus VII 35 et Stobaeus LIII 1.

VII (4, 112) 146

Μετ' ἄριστον γὰρ ὡς ἀμυγδαλὰς ἐγώ
παρέθηκα, καὶ τῶν ῥοιδίων ἐτρώγομεν.

Athenaeus XIV p. 651 a: *Μένανδρος ἐν Ἑαυτὸν τιμωρουμένῳ ῥοίδια ὠνόμασε διὰ τούτων Μετ' ἄριστον κτλ.* Fortasse ita distinguendum:

Μετ᾽ ἄριστον γὰρ ὡς ἀμυγδαλάς
ἐγὼ παρέθηκα . . καὶ τῶν ῥοιδίων
ἐτρώγομεν.

Possis *παρέθηκ᾽ αὐτοῖσι*, et deinde *ἔτρωγον*. Dobraeus Adv. II p. 273 alterum versum sic: *ἐγὼ παρέθηκα ῥοιδίων ἐτρώγομεν.*

147 VIII (4, 112)

Photius p. 70 24. *Ἦν*: *δασέως ὅταν ἠθικῶς* (fort. *αἰτιατικῶς*) *λέγηται· οἱ δὲ παλαιοὶ ἐν Μενάνδρου Αὐτὸν τιμωρουμένῳ. τὸ δὲ ψιλὸν ἀντὶ τοῦ ἰδού· ἀλλ᾽ ἦν* (leg. *ἤν*) *χιτών σοι.*

ΕΓΧΕΙΡΙΔΙΟΝ

148 I (4, 112)

Οὐχ ὅθεν ἂν ᾤμην ἠτύχηκα· πάντα δέ
τὰ μηδὲ προσδοκώμεν᾽ ἔκστασιν φέρει.

Stobaeus Floril. CIV 7. Ante Porsonum *οὔποθεν ἂν ᾤμην· ἡ τύχη καὶ πάντα δέ.* Partem fragmenti inde a verbis *πάντα δὲ* iterum habet Stobaeus CXI 11.

149 II (4, 113)

Τοῦδ᾽ ἄρα Κωρυκαῖος ἠκροάσατο.

Photius et Suidas s. v. *Κωρυκαῖος*. *ὅθεν καὶ ἡ παροιμία Τοῦ δ᾽ ἄρα Κωρυκαῖος ἠκροάζετο. οἱ δὲ κωμικοὶ Κωρυκαῖον τὸν θεὸν εἰσάγουσι. Μένανδρος Ἐγχειριδίῳ.* Zenobius IV 75. *Κωρυκαῖος ἠκροάζετο: ταύτης Μένανδρος μέμνηται ἐν τῷ Ἐγχειριδίῳ. — ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λάθρα πράττεσθαι, εἰς γνῶσιν δὲ ἐρχομένων.* Cfr. Suidas s. v. *τοῦδ᾽ ἄρα*. Pro *ἠκροάζετο* Stephanus Byz. s. v. *Κώρυκος* habet *ἠκροάσατο*, quod recte praefert Bernhardius ad Dionys. Perieg. p. 950.

150–152 III—V (4, 113)

Πίε. Β. πιεῖν ἀναγκάσω
τὴν ἱερόσυλον πρῶτα.

Athenaeus X p. 446 e: *πῖε* (*πίε*) *δέ, δισυλλάβως, Μένανδρος ἐν Ἐγχειριδίῳ Πίε κτλ.* In his *πίε*, quod a libris aberat, addidit Clericus. Praeterea memorat fabulam Schol. Platon. Bekk. p. 359, ubi agitur de proverbio *πάντ᾽ ἄνω κάτω*, et Zenobius VI 28. *ὑπὲρ ὄνου σκιᾶς: μέμνηται ταύτης ἐν τῷ Ἐγχειριδίῳ Μένανδρος.*

ΕΜΠΙΠΡΑΜΕΝΗ

I (4, 114) 153

Ἐξώλης ἀπόλοιθ' ὅστις ποτέ
ὁ πρῶτος ἦν γήμας, ἔπειθ' ὁ δεύτερος,
εἶθ' ὁ τρίτος, εἶθ' ὁ τέταρτος, εἶθ' ὁ μεταγενής.

Athenaeus XIII p. 559 e: *Μένανδρος ἐν Ἐμπιπραμένῃ* (libri *Ἐμπιμπραμένῃ*) *Ἐξώλης ἀπόλοιθ' κτλ.* Vs. 2 ante Grotium legebatur *ἦν ὁ γήμας.* Vs. 3 Zedelius *Μεταγένης*, ut habet L.

II (4, 114) 154

Τρία γάρ ἐστι, δέσποτα,
δι' ὧν ἅπαντα γίνετ', ἢ κατὰ τοὺς νόμους,
ἢ ταῖς ἀνάγκαις, ἢ τὸ τρίτον ἔθει τινί.

Stobaeus Floril. XLIII 15. Servavit locum etiam Apostolius XIX 54, neque poetae nec fabulae nomine indicato. Vs. 2 Apost. *κατὰ τὸν νόμον.* Apud Stobaeum libri *τοὺς* omittunt. Vs. 3 *τὰ* addidit Bentleius. Ad sententiam Cuiacius Observ. XIX 16 comparavit Modestinum Digest. I 3 40: ***Omne ius aut consensus fecit, aut necessitas constituit, aut firmavit consuetudo.***

III (4, 114) 155

Ἐφ' ᾧ φρονεῖς μέγιστον ἀπολεῖ τοῦτό σε,
τὸ δοκεῖν τιν' εἶναι· καὶ γὰρ ἄλλους μυρίους.

Stobaeus Floril. XXII 28. Vs. 2 cod. B *τι* pro *τιν'*. Malim *τις*.

IV (4, 114) 156

Ὡς ἀγαθόν ἐστι πρᾶγμα τὸ γενέσθαι τινὸς
πατέρα.

Stobaeus Floril. LXXV 6. Pro *ἐστι* codd. AB habent *τό*. Pro *τινός* cum Dobraeo malim *τέκνων* vel *τινά*.

V VI (4, 115) 157. 159

Καὶ νῦν ὑπὲρ τούτων συνάγουσι κατὰ μόνας.
Ἐπλήρωσέν τε τὸ συναγώγιον.

Athenaeus VIII p. 365 e: *ἔλεγον δὲ συνάγειν τὸ μετ' ἀλλήλων πίνειν, καὶ συναγώγιον τὸ συμπόσιον. Μένανδρος ἐν Ἐμπιπραμένῃ Καὶ νῦν κτλ. εἶθ' ἑξῆς ἔφη Ἐπλήρωσέν τε τὸ συναγώγιον. μήποτε δὲ τοῦτ' ἔστι τὸ ἀπὸ συμβολῶν καλούμενον.*

ΕΠΑΓΓΕΛΛΟΜΕΝΟΣ

159 I (4, 115)

Τὸ σὸν ταπεινὸν ἂν σὺ σεμνύνῃς, καλόν
ἔξω φανεῖται, φίλ' ἄνερ· ἂν δ' αὐτὸς ποιῇς
ταπεινὸν αὐτὸ καὶ τιθῇς ἐν μηδενί,
οἰκεῖος οὗτος κατάγελως νομίζεται.

Stobaeus Floril. XXII 29. Versu primo *σεμνύνῃς* vir doctus in Ephemer. Ien. 1828 no. 148. Libri *σεμνύνῃ*.

160 II (4, 115)

Τὰ γὰρ τολμηρὰ τῶν ὄχλων ἔχει
ἐν τοῖς λογισμοῖς τὰς ἐπιδείξεις δυσκόλους,
ἐν τῷ δὲ πράττειν, ἂν λάβῃ τὸν καιρὸν εὖ,
ἀπροσδόκητον τὴν τέχνην ἐξηύρατο.

Stobaeus Floril. LI 27. Vs. 2 *τὰς* Gaisfordus. Vulgo *μέν*. A et Trinc. *μὲν τάς*. Vs. 4 *ἐξηίρατο* A. Vulgo *ἐξεύρατο*. Fortasse *ἐξηύρετο*.

161 III (4, 115)

Τοῖς ἀναιδέσιν βοηθεῖ γὰρ λόγοις τοῦθ' ἓν μόνον,
ἂν βραχεῖς αὐτοὺς ποιῇ τις τόν τε καιρὸν εὖ λάβῃ.

Stobaeus Floril. XXXV 5. Vs. 2 Trinc. *ποῇ*.

162 IV (4, 116)

Suidas, *Εἰς τὸ δέον. — καὶ Μένανδρος ἐν Ἀπαγγελλομένῳ. μέμνηται δὲ καὶ ἑτέρωθι.* Corr. *Ἐπαγγελλομένῃ*.

ΕΠΙΚΛΗΡΟΣ

Duplicem huius fabulae recensionem fuisse Athenaei IX p. 373 c et Harpocr. p. 139 testimonio constat. Praeter scriptores, qui fragmenta servarunt, commemorat eam Quintil. X 1 70 et Alexander in Notices des Manuscr. grecs de la Bibl. du Roi XIV p. 188: *ἐν τῇ Ἐπικλήρῳ δικαζομένων τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς καὶ τοῦ παιδίου δικάζοντος οὐκ ἔθηκεν οὐδετέρῳ προοίμιον διὰ τὸ τὴν εὔνοιαν προϋπάρχειν τοῦ ἀνδρός· ὁμοίως δὲ κἂν πρὸς τὴν γυναῖκα τὴν ἰδίαν διαλεγώμεθα.*

163 I (4, 116)

Ἆρ' ἐστὶ πάντων ἀγρυπνία λαλίστατον,
ἐμὲ γοῦν ἀναστήσασα δευρὶ προάγεται
λαλεῖν ἀπ' ἀρχῆς πάντα τὸν ἐμαυτοῦ βίον.

Theo Progymn. I p. 200 Walz. *ἔστι δὲ καὶ ἀνάπαλιν προτεθέντα γνωμικὸν λόγον διηγήσασθαι, καθάπερ καὶ ἐπὶ τοῦ*

μύθου παρεσημειωσάμεθα· οἷον καὶ παρὰ Μενάνδρῳ ἐν τῇ χρηστῇ (*χρυσῇ* Hemsterhusius) *Ἐπιχλήρῳ Ἄρ' ἐστί κτλ.* Ad primum versum respexit Plutarch. de Garrul. p. 513 d: *πολλῷ γάρ ἐστιν ἡ χαρὰ τῆς κωμικῆς ἐκείνης ἀγρυπνίας λαλίστερον.* Eodem versu idem utitur Theo l. l. p. 196. Vs. 3 *λαλεῖν* pro *λαβεῖν* Victorius. Ceterum "haec ex initio fabulae ducta esse, ideo a Menandro ficta, ut rerum quas scire deberent spectatores narrandarum esset occasio, et per se probabile est et apparet ex imitatione Turpilii comici apud Priscianum de metris Terentii p. 412 ed. Krehl., ubi initia fere fabularum commemorantur:

St. Quaeso edepol, quo ante lucem te subito rapis,
here, cum uno puero? PH. Nequeo esse intus, Stephanio.
St. Quid ita? PH. Ut solent, curae me somno segregant,
forasque noctis excitant silentio.

Servum addidisse Turpilius videtur, et apud Menandrum una persona loqui." Dübnerus.

II (4, 117) 164

Ὥσπερ τῶν χορῶν
οὐ πάντες ᾄδουσ', ἀλλ' ἄφωνοι δύο τινές
ἢ τρεῖς παρεστήκασι πάντων ἔσχατοι
εἰς τὸν ἀριθμόν, καὶ τοῦθ' ὁμοίως πως ἔχει·
χώραν κατέχουσι, ζῶσι δ' οἷς ἐστιν βίος.

Stobaeus Floril. CXXI 11 cum lemmate *Ἐπίχληρος*, poetae nomine omisso.

III (4, 117) 165

Τί δ' ἂν ἔχοι νεκρός
ἀγαθόν, ὅπου γ' οἱ ζῶντες ἔχομεν οὐδὲ ἕν;

Stobaeus Floril. CXXI 19. Malim *ὅπου χοἱ ζῶντες.*

IV (4, 117) 166

Ἢ δεῖ μόνον
ζῆν ἢ γενόμενον πατέρα παίδων ἀποθανεῖν·
οὕτω τὸ μετὰ ταῦτ' ἔστι τοῦ βίου πικρόν.

Stobaeus Floril. LXXVI 4. Priora in libris ita scribuntur: *ἢ μόνον δεῖ ζῆν ἢ παίδων γεννωμένων πατέρα ἀποθανεῖν.* Correxit Dobraeus.

V VI (4, 118) 167. 168

Ἀλεκτρυών τις ἐκεκράγει μέγα.
. . . . *οὐ σοβήσετ' ἔξω, φησί, τὰς*
ὄρνιθας ἀφ' ἡμῶν;
Αὕτη πότ' ἐξεσόβησε τὰς ὄρνεις μόλις.

Athenaeus IX p. 373 c: *Μένανδρος δ' ἐν Ἐπικλήρῳ πρώτῃ σαφῶς τὸ ἐπὶ τῆς συνηθείας φησὶν ἐμφανίζων οὕτως Ἀλεκτρυὼν — ἀφ' ἡμῶν; καὶ πάλιν Λύπη πότ' κτλ.* Priora habet etiam Eustath. p. 1440 50. Vs. 2 Eustathius *φησί* omittit. Lacunam Dobraeus explet verbis *ὁ δ' εὐθύς*. Vs. 3 malim *ὄρνεις*.

169 VII (4, 118)

Ὅρα σὺ καὶ φρόντιζε κἀπόστα βραχύ.

Antiatticista p. 81: *Ἀνάβα, κατάβα, διάβα, ἀπόστα. Μένανδρος Ἐπικλήρῳ Ὅρα κτλ.*

170. 171 VIII IX (4, 118)

Harpocratio p. 139 24: *τὸ ὄρον — παρὰ Μενάνδρῳ ἐν δευτέρᾳ Ἐπικλήρῳ σημαίνει ξύλον τι, ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.* Priscianus XVIII p. 242 K.: *Illi πεπίστευμαί σοι et ὑπὸ σοῦ. Μένανδρος Ἐπικλήρῳ Οὔπω σοι πεπίστευμαι. Nos quoque: credor tibi et credor a te.*

ΕΠΙΤΡΕΠΟΝΤΕΣ

Argumentum huius fabulae non dissimile fuisse illi, quod in Hecyra Apollodori vestigia sequutus tractavit Terentius, prodidit Sidonius Apoll. Epist. IV 12 p. 257. Ad tituli rationem perspiciendam facit Harpocrat. p. 84 2: *τοῖς οἰκείοις ἐπιτρέπειν, ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι, ὅθεν καὶ Μενάνδρου δρᾶμα Ἐπιτρέποντες*, et schol. Aristoph. Acharn. 1115: *ἐπιτρέψαι ὥστε κρῖναι. καὶ Μένανδρος ἐν Ἐπιτροπεῖ* (sic). Ob litigantium iudicia aliasque virtutes oratorias commendatur haec fabula a Quintil. X 1 70. Adde Alexandrum in Notices d. manuscr. grecs de la Bibl. du roi vol. XIV. p. 188: *καὶ Μένανδρος ἐν τοῖς Ἐπιτρέπουσι τὴν δίκην ἄνευ προοιμίων πεποίηκεν.* Memoratur praeterea ab Alciphrone Epist. II 4 144 et Apollon. de Synt. III p. 297. Coqui dicacis partes in ea fuisse diserte tradit Athenaeus XIV p. 659 b.

172 I (4, 119)

Μὴ καταφρονήσῃς τῶν θεῶν· ἐν παντὶ δεῖ
καιρῷ τὸ δίκαιον ἐπικρατεῖν ἁπανταχοῦ,
καὶ τὸν παρατυγχάνοντα τούτου τοῦ μέρους
ἔχειν πρόνοιαν κοινόν ἐστι τῷ βίῳ.

Orion Gnomol. VI 4. Vs. 1 *τῶν* et vs. 3 *τοῦ* addidit Schneidewinus. Verba *ἐν παντὶ — ἐπικρατεῖν* servavit etiam Stobaeus Floril. IX 12.

II (4, 119) 173

Ἀργὸς δ' ὑγιαίνων τοῦ πυρέττοντος πολύ
ἔστ' ἀθλιώτερος, διπλάσια γοῦν ἐσθίει μάτην.

Stobaeus Floril. XXX 7. Latine vertit Ausonius Epigr. CXVII. ***Sanus piger febriente multo est nequior, Potat duplum dapesque duplices devorat.*** Respicit Simocatta Epist. LXI p. 316: *ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέττοντος, ἐσθίων μάτην διπλάσια.* Apud Stobaeum cod. A *ἔστ'* omittit et pro *διπλάσια γοῦν* exhibet *δίπλαοι ἄγουν.* N et Trinc. *διπλᾶ οἷα γοῦν.* Bentleius *ἀχρειότερος· διπλάσια γὰρ ἐσθίει μάτην.* Probat hoc Elmsleius apud Dobraeum Adv. II p. 274, nisi quod *δ'* pro *γάρ.* Suspicabar numeris trochaicis scribendum esse: — *ἀργὸς ὑγιαίνων τοῦ πυρέττοντος πολύ | ἀθλιώτερος· διπλάσια γοῦν* (vel *γὰρ*) *κατεσθίει μάτην.*

III (4, 120) 174

Ἐλευθέρῳ τὸ καταγελᾶσθαι μὲν πολύ
αἴσχιστόν ἐστι, τὸ δ' ὀδυνᾶσθ' ἀνθρώπινον.

Stobaeus Floril. LXXXIX 5. Ante Heringam *ἐλευθέρῳ τὸ καταγελᾶσθαι πολὺ αἴσχιόν ἐστι.*

IV (4, 120) 175

Οὐκ οἰμώξεται
καταφθαρεὶς ἐν ματρυλείῳ τὸν βίον;

Harpocratio p. 124. *Ματρυλεῖον: Ἡρακλέων καὶ Δίδυμος τόπον τινά φασιν εἶναι ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι. Μένανδρος Ἐπιτρέπουσιν Οὐκ οἰμώξεται κτλ.* Eadem Suidas v. *ματρυλεῖον.*

V (4, 120) 176

Οἴει τοσαύτην τοὺς θεοὺς ἄγειν σχολήν,
ὥστε τὸ κακὸν καὶ τἀγαθὸν καθ' ἡμέραν
νέμειν ἑκάστῳ, Σμικρίνη;

Davides ad Aristotelis Categ. p. 23 27: *οἱ Ἐπικούρειοι καὶ μέχρι τῶν οὐρανίων ἵστων τὴν πρόνοιαν, ἵνα μὴ πράγματα σχῇ τὸ θεῖον περιεργαζόμενον τὰ τῇδε. μέμνηται δὲ τῆς δόξης καὶ Μένανδρος ἐν τοῖς Ἐπιτρέπουσιν ἡνίκα φησίν Οἴει τοσαύτην τοὺς θεοὺς ἄγειν σχολὴν ὡς ἀγαθόν τε καὶ κακὸν καθ' ἡμέραν νέμειν ἑκάστῳ σμικρὸν ἦν.* Publicavit haec primus C. F. Neumannus *Mémoire sur les ouvrages de David* p. 54, ubi *οἴει* omissum est et pro *τοσαύτην* legitur *ταύτην.* Adscripsi locum ut legitur apud Iohannem Philop. de Aetern. mundi

XVI 4: *οἶδεν ἄρα καὶ τὰ μερικὰ ὁ θεός, καὶ οὐχ ὡς ἀθέως τῶν παρ' Ἕλλησι θεομάχων μᾶλλον ἢ θεολόγων τινὲς ἔφασαν, ἀγνοεῖ ὁ θεὸς τὰ καθ' ἕκαστα, μόνον οὐκ ἐκεῖνο τὸ κωμικὸν λέγοντες Οἴει τοσαύτην — νέμειν ἑκάστῳ.* Duo postrema verba, *σμικρὸν ἦν*, Philoponus omittit. Ea in *Σμικρίνη* mutando esse monui Quaest. scen. III p. 40. Smicrinae autem quas partes Menander hac in fabula imposuerit, coniicere licet ex scholio Ambrosiano ad Odyss. *η* 225: *κομιδῇ γὰρ σμικρολόγος φαίνεται (Ὀδυσσεὺς) προτάσσων τῶν φιλτάτων τὴν κτῆσιν. ὡς παρὰ Μενάνδρῳ σμικρύνησιν ἐπιτρέπουσιν.* Legendum *ὡς παρὰ Μενάνδρῳ Σμικρίνης ἐν Ἐπιτρέπουσιν.* Itaque sordidi avari partes sustinebat Smicrines Menandreus, et qui divitiarum studio vel liberorum suorum salutem postponeret. Cfr. supra p. 891 et Iacobsii Lectt. Stob. p. 97.

177 VI (4, 124)

Ἐπέπασα
ἐπὶ τὸ τάριχος ἅλας, ἐὰν οὕτω τύχῃ.

Athenaeus III p. 119e: *καὶ ἐπὶ αἰτιατικῆς (τὸ τάριχος) Μένανδρος Ἐπιτρέπουσιν Ἐπέπασα κτλ.* Cfr. Eustathius ad Hom. p. 73 extr. et Lexicon Hermanni p. 325. Vs. 2 *ἐὰν* pro *ἂν* Elmsleius.

178 VII (4, 124)

Priscianus XVIII p. 180 Kr.: *ἀρτίως καὶ ἄρτι et praeteritum paullo ante et praesens significat apud illos. — Menander ἐν Ἐπιτρέπουσιν εἴσειμι πρὸς ἐκείνην λέγεις, ἄρτι γὰρ νοῶ.* Ita cod. Monac. apud Spengel. App. Varr. p. 616. Putschius *πρός σε κείνην*. Neque aliter Aldus, qui *δέ γ' εἰς* pro *λέγεις* habet, et *κατανοῶ* pro *γὰρ νοῶ*.

179 VIII (4, 122)

Οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποιῇ.

Orion Gnomol. VII 8 cum lemmate *ἐκ τῶν ἀποτρεπόντων*. Servavit versum etiam Lucianus Iove trag. 53 et Stobaeus Flor. CVIII 57. Cfr. Gnomas monost. 689.

180–182 IX—XI (4, 122)

Schol. Aristoph. Acharn. 1115: *ἐπιτρέψαι ὥστε κρῖναι. καὶ Μένανδρος ἐν Ἐπιτροπεῖ Ἐπιτρεπτέον τινί | ἔστι περὶ τούτων.* Schol. Eurip. Phoen. 1161: *τύφεσθαι τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. Μένανδρος — ἐν Ἐπιτρέπουσιν Ἐξετύφην μὲν οὖν | κλαίουσα (κλάουσα).* Erotianus p. 170.

Ἔχῖνος: χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως — Μένανδρος ἐν Ἐπιτρέπουσι.

E Y N O Y X O Σ

Primas laudatissimae fabulae partes Thrasonidae, militi iactatori, delatas fuisse docet Libanius Orat. XXXI p. 701: *ἔχεις ἐκ τῆς κωμῳδίας παραλαβών, ὡς ὑπέρογκόν τι καὶ σοβαρὸν καὶ πολλή τις ἀλαζονεία στρατιώτης ἀνήρ. εἴ τις ὑμῶν φαντάζεται τὸν Μενάνδρου Θρασωνίδην, οἶδεν ὃ λέγω· στρατιωτικὴν γάρ φησιν ἀηδίαν νοσοῦντα τὸν ἄνθρωπον εἰς ἀπέχθειαν αὑτῷ κινῆσαι τὴν ἐρωμένην· καὶ γέγονεν ἀμέλει προσηγορία τῷ δράματι τοῦ Θρασωνίδου τὸ μῖσος.* Itaque Thrasonides ille inepta ac stolida, qua facinora sua augere solebat, iactantia acerrimum sibi puellae quam amabat odium pepererat. Hinc fortasse Photius, *Σπαθᾶν: Μένανδρος Μισουμένῳ· τὸ ἀλαζονεύεσθαι.* Ad futiles istas hominis gloriationes respexit Plutarch. non suav. vivi sec. Epicur. p. 1095 c, ubi habes *Θρασωνίδας τινὰς καὶ Θρασυλέοντας ὀλολυγμοὺς καὶ κροτοθορύβους ποιοῦντας.* Cfr. schol. Ambros. ad Odyss. ρ′ 442: *πολλοὺς εἶχεν ἡ Κύπρος βασιλεῖς. ἐν ταὐτῷ φησι καὶ ὁ Μένανδρος ἐν Μισουμένῳ ὡς ἐν παραβάσει ἐκ Κύπρου λαμπρῶς πάνυ λαμπρὰ πράττων, ἐκεῖ γὰρ ὑπό τιν' ἦν τῶν βασιλέων.* Ex quo loco discimus, iactasse militem in Cypro se meruisse stipendia, unde auctus opibus redierit. Verba *ὡς ἐν παραβάσει* non intellego. Cetera sic concipienda videntur:

Ἐκ Κύπρου λαμπρῶς πάνυ
πράττων· ἐκεῖ γὰρ ὑπό τιν' ἦν τῶν βασιλέων.

Vidimus igitur Thrasonidem in gravissimum amasiae odium incurrisse. Quo facto quid egerit homo ingenti puellae amore percussus, e sequentibus discimus.

III IV (4, 169) 326. 327

Παιδισκάριόν με καταδεδούλωκ' εὐτελές,
ὃν πώποτ' οὐδεὶς τῶν πολεμίων.

Servavit haec Arrianus Dissert. Epict. III 26, qui vide, inquit, quid dicat faciatque Thrasonides: *πρῶτον μὲν ἐξελήλυθε νυκτός, ὅτε Γέτας* (qui servus est militis) *οὐ τολμᾷ ἐξελθεῖν·*

εἶτα τί λέγει; Παιδισκάριον κτλ. Eundem locum respexit Clemens Alex. Strom. II p. 463 P.: *τὸν γὰρ κωμικὸν ἐκεῖνον Θρασωνίδην ἄλλη σκηνή, παιδισκάριόν με, φησίν, εὐτελὲς καταδεδούλωκεν.* Sed videamus reliqua apud Arrianum. *Τάλας,* inquit, *ὅς γε καὶ παιδισκαρίου δοῦλος εἶ, καὶ παιδισκαρίου εὐτελοῦς. τί οὖν ἔτι σαυτὸν ἐλεύθερον λέγεις; τί δὲ προφέρεις σου τὰς στρατηγίας; εἶτα ξίφος αἰτεῖ, καὶ πρὸς τὸν ὑπ' εὐνοίας μὴ διδόντα χαλεπαίνει, καὶ δῶρα τῇ μισούσῃ πέμπει, καὶ δεῖται καὶ κλάει. πάλιν δὲ μικρὰ εὐημερήσας ἐπαίρεται· πλὴν καὶ τότε πῶς; κτλ.* Vides argumentum fabulae tanquam in tabula descriptum. Ex verbis *ξίφος αἰτεῖ* etc. nescio an coniici possit ad hunc potissimum fabulae locum referenda esse quae servavit Pollux X 146: (*σπάθη ἐπὶ τοῦ ξίφους*) *καὶ ἐν τῷ Μισουμένῳ Μένανδρος, ὅταν λέγῃ Ἀφανεῖς γεγόνασιν αἱ σπάθαι.* Certius est ex ea, quam Arrianus adumbravit, dramatis scena duo sequentia fragmenta petita esse.

328. 329 V VI (4, 170)

Παρ' ἐμοὶ γάρ ἐστιν ἔνδον, ἔξεστιν δέ μοι
καὶ βούλομαι τοῦτ', οὐ ποιῶ δέ.

Servavit haec Plutarchus de am. divit. p. 525 a insanire dicens eos, qui veste non utuntur propter frigus, neque pane propter famem, neque opibus propter avaritiam: *ἀλλ' ἐν τοῖς Θρασωνίδου κακοῖς ἐστιν Παρ' ἐμοὶ γάρ κτλ.* Quae ad hanc ipsam fabulam referenda esse primus vidit Toupius Emend. II p. 445. Sunt autem Thrasonidae verba, qui *καίπερ ἐν ἐξουσίᾳ ἔχων τὴν ἐρωμένην, διὰ τὸ μισεῖσθαι ἀπέχεται αὐτῆς,* ut est apud Diogenem Laert. VII 130. Qui sequuntur apud Plutarchum versus:

Ἄπολλον, ἀνθρώπων τίν' ἀθλιώτερον
ἑόρακας; ἆρ' ἐρῶντα δυσποτμώτερον;

a Geta recitabantur, quem adfuisse in scena, dum haec agebantur, ex sequentibus locis intellegitur.

330. 331 VII VIII (4, 170)

Εἰ γὰρ ἐπίδοιμι τοῦτο, καὶ ψυχὴν πάλιν
λάβοιμ' ἐγώ· νυνὶ γὰρ ἀλλὰ ποῦ θεούς
οὕτως δικαίους ἐστὶν εὑρεῖν ὦ Γέτα;

Servavit Iustinus de Mon. p. 40 b. Vs. 1 *πάλιν* a Bentleio additum est. Pro *καὶ* fortasse scribendum *κἄν. Nam si hoc viderem* (puellam meam mihi recuperatam), *etiam animum reciperem.* Alius item locus extat ex colloquio militis cum Geta servatus:

Οὐπώποτ' ἠράσθης Γέτα;
Γ. οὐ γὰρ ἐνεπλήσθην.

Leguntur haec apud Hermiam ad Platonis Phaedr. p. 76: *οἱ μὲν γὰρ ὑπέλαβον ἁπλῶς φαῦλον τὸ ἐρᾶν, ὡς Ἐπίκουρος, ὁρισάμενος αὐτὸν (ἔρωτα) σύντονον ὄρεξιν ἀφροδισίων μετὰ οἴστρου καὶ ἀδημονίας, καὶ ὁ εἰπών "πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται κύπρις" καὶ "οὐπώποτ' ἠράσθης Γέτα; οὐ γὰρ ἐνεπλήσθην" φησίν.* Ita enim haec ex codice D correxit Bekkerus ad schol. Platonis p. 312.

IX (4, 171) 332

Quod supra ex Arriano attuli, *πάλιν δὲ μικρὰ εὐημερήσας ἐπαίρεται,* docet opinor puellam tandem repetitis militis obtestationibus hoc dedisse, ut foras prodiret et mitiorem animum ostenderet. Quam rem probabile est ita instituisse poetam, ut Thrasonides identidem se alios mores sequuturum esse sanctissime iuraret. Quibus ita respondisse videtur puella, ut se affirmanti parum fidei habere diceret:

Ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό σου
καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτέ.

Quae e Misumeno afferuntur a Suida s. v. *ἀμφιέσαντες* et Grammatico Bekk. p. 415 8, ubi legitur *τοῦτο μέν.* Suidas habet *τοῦτό μου,* quod emendavit Hemsterh. ad Lucian. p. 443. Ad *ἀπαμφιεῖ* spectat fortasse Hesychii glossa, *Ἀπαμφιεῖ: ἀπογυμνώσει.*

X XI (4, 172) 333. 334

Vidimus ex Arriano Thrasonidem nocte intempesta foras prodiisse, ut animi dolorem elugeret et amoris aestum quoquo modo sedaret. Ex hac scena petitus videtur hic versus:

Ὦ δυστυχής,
τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν.

Legitur hic versus apud Suidam s. v. *ἀποκναίειν* et Grammat. Bekk. p. 428, *Ἀποκναίει: ἀποκόπτει, ἀπολλύει ἢ λυπεῖ· οἷον Τί οὐ καθεύδεις κτλ. Μένανδρος Μισουμένῳ.* Verba *ὦ δυστυχὴς* addidi ductu Grammatici apud Bekk. p. 1190: *ὁ δυστυχὴς ὦ δυστυχής, ὡς παρὰ Μενάνδρῳ Ὦ δυστυχὴς τί οὐ καθεύδεις;* Videntur autem illa Getae ad militem verba esse ex gurgustiolo suo dominum ut ne foris ambulet monentem. Nec dubito quin ab eodem dicantur haec:

Εἴσελθε κἀν νῦν ὦ μακάριε,

apud schol. Isocratis Nicocl. 9: *τὸ παρὰ Μενάνδρῳ ἐν Μισουμένῳ Εἴσελθε κτλ.*

335 XII (4, 172)

Λακωνική
κλείς ἐστιν ὡς ἔοικέ μοι περιοιστέα.

Schol. Aristoph. Thesm. 423: *Μένανδρος Μισουμένῳ Λακωνικὴ — περιοιστέα. καί φασιν ὅτι ἔξωθεν περικλείεται μοχλοῦ παρατιθεμένου ἤ τινος τοιούτου ὥστε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι.* Minus integre scripta haec leguntur apud Suidam s. v. *Λακωνικαὶ κλεῖδες.* Cfr. Olympiodorus in Platon. Alcib. I p. 152 Creuz. *αἱ δὲ τῶν Λακεδαιμονίων (γυναῖκες) ἐφυλάττοντο, ὡς ἐδήλωσεν ἡ πάντολμος κωμῳδία λέγουσα Λακωνικὴ κλείς ἐστι καὶ οὐ περιοιστέα,* ubi margo *κοὐ περιοιστέα,* quod fortasse verum est.

336 XIII (4, 173)

Ὦ πάτερ,
μισοῦσι μὲν Θράσων᾽, ἀπεκτάγκασι δ᾽ οὔ.

Grammat. Bekk. p. 429: *Ἀπεκτόνασιν, οὐκ ἀπεκτάγκασι. Μισουμένῳ· πάτερ μὲν Θράσων᾽ ἀπεκτάγκασι δ᾽ οὔ.* Quae emendatius scripta leguntur apud Suidam, *Ἀπεκτάγκασι καὶ ἀπεκτόνασι· μισοῦσι μὲν ὦ πάτερ Θράσων᾽ ἀπεκτάγκασι δ᾽ οὔ.* Cfr. s. v. *ἀποκτιννύναι.* Versuum reliquias disposuit Toupius. Fortasse tamen rectius Dobraeus Adv. II p. 277: *μισοῦσι μέν | Θρασωνίδην, ὦ πάτερ, ἀπεκτάγκασι δ᾽ οὔ.*

Quantam celebritatem haec Menandri fabula adepta sit, vel Alciphronis verba docent lib. II 4, ubi Glycera admonet Menandrum ut hanc etiam comoediam ad Ptolemaeum afferre ne neglegat. Obiter eam memorat Irenaeus c. Haer. II 27 p. 151 ed. Gr. *mihi videntur eius passionem, qui est apud comicum Menandrum valde amans et odibilis, Aesoni suo circumdedisse.* Agathiae Frontonis et Martialis, itidem ad *Μισούμενον* respicientium, carmina supra ad Dyscoli Georgi et Disexapatonlis fragmenta indicavi. Luciani dial. meretr. XIII p. 315 vol. III et Alciphronis Epist. 36 lib. III ex eadem Menandri fabula expressa esse monuit Boettigerus Spec. Terent. p. 57. Denique ad hanc potissimum fabulam respexisse puto Porphyrium ad Marc. p. 5 comoediae proprium esse dicentem *ζηλοτυπίαν, μῖσος, γέλωτα, διαπληκτισμὸν καὶ ὀργήν.* Quamquam ea etiam ad alias Menandri fabulas traduci posse intellego.

N A Y K A H P O Σ

I (4, 174) 337

Ἥκει λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος
Θεόφιλος ἡμῖν, ὦ Στράτων. ὡς εἰς καλὸν
τὸν υἱὸν εὐτυχοῦντα καὶ σεσωσμένον
πρῶτος λέγω σοι τόν τε χρυσοῦν κάνθαρον.
ΣΤ. ποῖον; Α. τὸ πλοῖον· οὐδὲν οἶσθας ἄθλιε.
ΣΤ. τὴν ναῦν σεσῶσθαί μοι λέγεις; Α. ἔγωγε μήν
τὴν ναῦν ἐκείνην ἣν ἐποίησε Καλλικλῆς
ὁ Καλύμνιος, Εὐφράνωρ δ' ἐκυβέρνα Θούριος.

Servavit Athenaeus XI p. 474 c. Primos quinque versus habet etiam Macrob. Sat. V 21. Vs. 1, ex Euripidis Troadum initio derivatum, iterum habet Athen. I p. 4 a. Vs. 5 respicit Schol. Aristoph. Pac. 143 et hinc Suidas v. *κάνθαρος*. Sequentia ab Athenaeo omissa apud Macrobium ita scripta extant, *οὐδέ μ' οἶσθά σ' ἄθλιε*. Correxi in editione prima. Vs. 6 *ἔγωγε μὴν* Bentleius. Libri *ἐγὼ τὴν ἐμήν*. Vs. 7 correxit Grotius. Vulgo *τὴν ναῦν κείνην καλλικλῆς ἐποίησε*. Vs. 8 *ὁ Καλύμνιος* Heringa. Libri *τὸν καλούμενον*. Ibid. ante Grotium *εὐφράνορ' ἐκυβέρνα*. Praeterea Heringa *δὲ κυβερνᾷ*.

II (4, 175) 338

Ὦ φιλτάτη γῆ μῆτερ, ὡς σεμνὸν σφόδρ' εἶ
τοῖς νοῦν ἔχουσι κτῆμα πολλοῦ τ' ἄξιον.
ὡς δῆτ' ἐχρῆν, εἴ τις πατρῴαν παραλαβών
γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους,
καὶ μηδ' ἐπιβαίνειν γῆς, ἵν' οὕτως ἤσθετο
οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.

Athenaeus IV p. 166 b: *χρὴ δὲ τοὺς τὰ πατρῷα κατεδηδοκότας κατὰ τὸν Μενάνδρου Ναύκληρον οὕτως κολάζεσθαι· φησὶ γάρ Ὦ φιλτάτη κτλ.*

III (4, 175) 339

Ὁ δὲ Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς;

Schol. Sophoclis Oed. C. 1375: *καὶ Μένανδρος ἐν Ναυκλήροις* (sic) *Ὁ δὲ Πολυνείκης*. Vulgo *ὅ τε*.

IV V (4, 175) 340. 341

Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν.
Ὦ Ζεῦ πολυτίμηθ', οἷόν ἐστ' ἐλπὶς κακόν.

Horum versuum primum habet Stobaeus Floril. LXIII 17, alterum Stobaeus Floril. CX 8.

N O M O Θ E T H Σ

342 (4, 176)

Ammonius p. 90: *Μένανδρος ἐν Νομοθέταις Ἑτέρου λυχνοῦχος, ἑτέρου λήκυθος.* In hac etiam fabula parasitum partes suas habuisse testatur Athen. VI p. 247 e, ubi singulari numero effertur *Νομοθέτης*, ut vocatur etiam a Quintil. Inst. X 1 70.

Ξ E N O Λ O Γ O Σ

343 I (4, 176)

Ἀνδρὸς πένητος υἱὸς ἐκτεθραμμένος
οὐκ ἐξ ὑπαρχόντων, ὁρῶν ἠσχύνετο
τὸν πατέρα μικρ' ἔχοντα· παιδευθεὶς γὰρ εὖ
τὸν καρπὸν εὐθὺς ἀπεδίδου χάριτος καλόν.

Theon Soph. Prog. IV p. 199 Walz.: *Διὸ καὶ παρὰ τοῖς τοιούτοις ποιηταῖς ἐπὶ πλεῖστόν ἐστιν, ὡς παρὰ Μενάνδρῳ πολλαχοῦ μὲν ἀλλαχόθι καὶ ἐν ἀρχῇ δὲ τοῦ τε Λαρδάνου καὶ τοῦ Ξενολόγου Ἀνδρὸς πένητος κτλ. ὁ γὰρ τελευταῖος στίχος ἐκ περιττοῦ πρόσκειται.* Dubitari potest utrum e Dardani an Xenologi prologo locus poetae desumtus sit.

344 II (4, 176)

Οὕτως ἀσυλλόγιστον ἡ τύχη ποιεῖ,
τὸ συμφέρον τί ποτ' ἐστὶν ἀνθρώπου βίῳ,
[οὐ χρῆται νόμοις, καθ' οὓς κρίνει τὰ πράγματα]
οὐδ' ἔστιν εἰπεῖν ζῶντα ταῦτ' οὐ πείσομαι.

Stobaeus Ecl. phys. I p. 216 ed. Heer. De tertio versu dixi in edit. prima. Vltimo versu praeter Stobaeum Serm. CXI 10 utitur Plutarchus de animi tranqu. p. 476 d, ubi est *οὐκ ἔστιν* et *τοῦτ' οὐ πείσομαι.*

O Λ Y N Θ I Λ

345 I (4, 177)

Ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις
ἀποδῷ τι σεμνόν, τοῦτο δ' ἡ τύχη κακοῖ.

Stobaeus Floril. CVII 7 cum lemmate *Μενάνδρου Ὀλυνθιακῶν* ex A *Ὀλυνθιακοῖς* B.

346 II (4, 177)

Ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος.

Zenobius VI 51. *Ὡς οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος: ταύτης μέμνηται Μένανδρος ἐν Ὀλυνθίᾳ.*

III IV (4, 177) 347. 348

Μετ' Ἀριστοτέλους γὰρ τέτταρας τῆς ἡμέρας
ὀβολοὺς φέρων.

Suidas, *Φέρειν*: *λαμβάνειν — Μένανδρος Ὀλυνθίᾳ Μετ' Ἀριστοτέλους κτλ.* Pollux X 170: *καὶ περιθέτην (κόμην), ὡς ἐν Ἄμφιδος Ἀλκμαίωνι καὶ Μενάνδρου Ὀλυνθίᾳ.*

O M O Π A T P I O I

I (4, 178) 349

Ἅπας ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ.

Stobaeus Floril. XXXI 5. Ante Grotium *πᾶς.*

II (4, 178) 350

Χρηστοὺς νομιζομένους ἐφόδιον ἀσφαλές
εἰς πάντα καιρὸν καὶ τύχης πᾶσαν ῥοπήν.

Stobaeus Flor. XXXVII 10. Vs. 1 Grotius *χρηστοῖς νομιζομένοις.* Vs. 2 ante Grotium *ῥοπὴν πᾶσαν.*

III (4, 178) 351

Suidas, *Ἀλφάνει*: *εἰρίσκει. Μένανδρος Ὁμοπατρίοις Ἦν δῆλον οὔ τι νυμφίος τε ἀλφάνει.* Duo libri *ἦν* et *οὔνι.* Bentleius *ἦν δηλονοτιὴ νυμφίος τότ' ἀλφάνει.* Cfr. Bernhardy.

O P Γ H

I (4, 178) 352

Καίτοι νέος πότ' ἐγενόμην κἀγώ, γύναι,
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας
τότ'· ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον· ἀλλὰ νῦν.
οὐδὲ μύρον εἶχον· ἀλλὰ νῦν. καὶ βάψομαι,
καὶ παρατιλοῦμαι νὴ Δία καὶ γενήσομαι
Κτήσιππος, οὐκ ἄνθρωπος ἐν ὀλίγῳ χρόνῳ·
κἄθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους
ἅπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

Athenaeus IV p. 166 a de Ctesippo Chabriae filio. Vs. 6 et 7 vulgo *οὐκ ἄνθρωπος. ἐν ὀλίγῳ χρόνῳ καθὼς ἐκεῖνος.* Correxit Porsonus.

II (4, 179) 353

Διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ
ἄνθρωπος ὅστις ἐστίν, ὃς κληθείς ποτε
εἰς ἑστίασιν δωδεκάποδος ὄρθριος
πρὸς τὴν σελήνην ἔτρεχε τὴν σκιὰν ἰδών
ὡς ὑστερίζων, καὶ παρῆν ἅμ' ἡμέρᾳ.

Athenaeus VI p. 243 a de Chaerephonte parasito dicens: *κἀν τῇ Ὀργῇ δέ φησι (Μένανδρος) Διαφέρει κτλ.* Vs. 1 *γρῦ* AB *τοῦ* C *που* PVL. Vs. 2 fortasse respicit Pollux VI 8: *κληθῆναι ἐπὶ δεῖπνον ἥ τε παροιμία λέγει καὶ Μένανδρος.* Vs. 3 respicit Hesychius, *Δωδεκάποδος: οὕτως ἔλεγον ἐλλειπτικῶς στοιχείου ἢ σκιᾶς. οὕτω γὰρ συνετίθεντο ἐπὶ δεῖπνον ἥξειν, τοῦ στοιχείου ὄντος δωδεκάποδος.*

354 III (4, 179)

Τοῦθ' ἑταῖρός ἐστιν ὄντως. οὐκ ἐρωτᾷ, πηνίκα
δεῖπνόν ἐστιν; ὥσπερ ἕτεροι, καὶ τί δειπνεῖν κωλύει
τοὺς παρόντας; εἶτα δεῖπνον ἕτερον εἰς τρίτην βλέπει,
. . . . . εἶτα περίδειπνον πάλιν.

Athenaeus VI p. 247 e: *Μένανδρος ἐν τῇ Ὀργῇ περὶ φίλου λέγων οὐχ ὑπακούοντος γάμων δείπνῳ φησίν Τοῦθ' ἑταῖρος κτλ.* Vs. 1 *ἐστιν ὄντως* Grotius, *ὄντως ἐστὶν* libri. Vs. 4 Porsonus probabili coniectura ita explet, *εἶτα δ' ἕτερον εἰς τετάρτην.* Possis etiam *εἰς τετάρτην δ' αὖθις ἕτερον.*

355 IV (4, 180)

Ὁ λιμὸς ὑμῶν τὸν καλὸν τοῦτον δακών
Φιλιππίδου λεπτότερον ἀποδείξει νεκρόν.

Athenaeus XII p. 552 e de Philippidis tenuitate comicorum exempla apponens: *Μένανδρος ἐν Ὀργῇ Ὁ λιμὸς ὑμῶν κτλ.* Bentleius vs. 1 *ὑμῖν.*

356 V (4, 180)

Οὐκ ἔστι μοιχοῦ πρᾶγμα τιμιώτερον·
θανάτου γάρ ἐστιν ὤνιον.

Stobaeus Flor. VI 25. Ante Scaligerum *ἐντιμότερον.*

357. 358 VI VII (4, 180)

Pollux VI 102: *ἀριστόδειπνον δὲ Μένανδρος εἴρηκε, καὶ ἄδειπνον ὁ αὐτὸς ἐν Ὀργῇ.* Hesychius, *Οὐ μάτην: οὐκ ἀληθῶς. Μένανδρος ἐν Ὀργῇ.* Bentleius *οὐ μὰ τήν.* Bosius pro *ἀληθῶς* scribi vult *ἄλλως.* Passovius *οὐκ* ante *ἀληθῶς* delebat.

ΠΑΙΔΙΟΝ

359 I (4, 181)

Ἅπαντα δουλεύειν ὁ δοῦλος μανθάνει,
πονηρὸς ἔσται· μεταδίδου παρρησίας,
βέλτιστον αὐτὸν τοῦτο ποιήσει πολύ.

Stobaeus Floril. LXII 27. Vs. 2 Dobraeus *ἐστι* et vs. 3 *βελτίον'*, ut voluit iam Iacobsius.

II (4, 181) 360

Ἔφεσια τοῖς γαμοῦσιν οὗτος περιπατεῖ
λέγων ἀλεξιφάρμακα.

Suidas, *Ἀλεξιφάρμακα: ἀλεξητήρια φαρμάκων. Μένανδρος Παιδίῳ Ἔφεσια κτλ.*

III (4, 181) 361

Χρυσοῦν ἐπόρισας. εἶθε λιθοκόλλητον ἦν·
καλὸν ἦν ἂν οὕτως.

Pollux X 187: *ἐν τῷ Μενάνδρου Παιδίῳ Χρυσοῦν ἐπόρισας κτλ.*

IV (4, 181) 362

Μάραγδον εἶναι ταῦτ' ἔδει καὶ σάρδια.

Athenaeus III p. 94 b: *Μένανδρος ἐν Παιδίῳ Μάραγδον κτλ.* Hinc petiit Eustathius p. 842 53 et 853 50.

V VI (4, 182) 363. 364

Εἴ τις δικαστὴς ἢ διαιτητὴς θεῶν.

Ammonius p. 41: *Δικαστὴς καὶ διαιτητὴς διαφέρει — Μένανδρος ἐν Παιδίῳ Εἴ τις κτλ.* Eadem omisso fabulae indice Etymol. Gud. p. 146 14. Grammat. Bekk. p. 436: *Ἀπόστα, οὐ μόνον ἀπόστηθι — Μένανδρος Παιδίῳ Ἐνταῦθ' ἀπόστα μικρόν.* Eadem Suidas s. v. *ἀπόστα.*

Π Α Λ Λ Α Κ Η

I II (4, 182) 365. 366

Πολλοὺς λογισμοὺς ἡ πονηρία κυκλοῖ.
Ἀλλὰ τῶν χρηστῶν ἔχει τίν' ἐπιμέλειαν καὶ θεός.

Stobaeus Floril. II 4 et XXXVII 11.

III (4, 182) 367

Μικρὸν ἐπιμείνας προστρέχει,
ἡγόρακά σοι περιστέρια λέγων.

Athenaeus XIV p. 654 b: *περιστέριον — παρὰ Μενάνδρῳ ἐν Παλλακῇ Μικρόν κτλ.* Ita Clericus pro *ἐπέμεινας.*

IV (4, 182) 368

Νῦν πῖθι, νῦν ἀφύβρισον. B. ἦν ἀφύβρικα.

Grammat. Bekkeri p. 473. *Ἀφυβρίσαι: τὸ ἀκολάστως ὑβρίσαι δηλοῖ εἰς χόρον καὶ ὥστε ἀποπληρωθῆναι. οὕτω Μένανδρος Παλλακῇ Νῦν πῖθι κτλ.* Editur *ἦν ἀφύβρικα.* Correxit Dobraeus.

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

369 I (4, 183)

Πεποιήκατ' ἔργον οὐχ ἑταίρων . . . .
. . . . . ταὐτὰ δ' ὄντα γράμματα
τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

Athenaeus XIII p 571 e: *Μένανδρος ἐν Παρακαταθήκῃἀπὸ τῶν ἑταιρῶν τοὺς ἑταίρους διαστέλλων φησί Πεποιήκατ' ἔργον κτλ.* Vs. 2 Zedelius supplet *μὰ Δί', ἀλλ' ἑταιρῶν.* Vs. 3 Schweighaeuserus *εὔσχημον.*

370 II (4, 183)

Στρατεία δ' οὐ φέρει περιουσίαν
οὐδεμί', ἐφήμερον δὲ καὶ προπετῆ βίον,
οὗ πεῖραν ἔχομεν ὄντος οὐ σωτηρίου.

Stobaeus Flor. LIII 2. Secundo versu libri *οὐδεμίαν.* Correxit Bentleius.

371 III (4, 183)

Αἰσχρὸν γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα.

Stobaeus Flor. XCVI 21. Pro *αἰσχρὸν* fort. *οἰκτρόν*, vel *ἐχθρόν.*

372 IV (4, 183)

Εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει·
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.

Stobaeus Flor. CIV 5. Vs. 1 malim *εὔπειστον.*

373. 374 V VI (4, 183)

Ὁλκὴν ταλάντου χρυσίου σοι, παιδίον,
ἔστηκα τηρῶν.
Μακάριος ἐκεῖνος δεκατάλαντον καταφαγών.

Pollux IX 76: *τὸ δὲ χρυσίον ὅτι τοῦ ἀργυρίου δεκαπλάσιον ἦν σαφῶς ἄν τις ἐκ τῆς Μενάνδρου Παρακαταθήκηςμάθοι. προειπὼν γάρ Ὁλκὴν — τηρῶν, ἐπάγει μετὰ ταῦτα περὶ ταὐτοῦ λέγων Μακάριος κτλ.* Vs. 3 fortasse *μακάριος | ἐκεῖνος ὁλκὴν δεκατάλαντον καταφαγών.*

375 VII (4, 184)

Ἔστι κρίσις ἄδικος, ὡς ἔοικε, κἂν θεοῖς.

Iustinus Mart. de Mon. p. 40 b: *καὶ ἐν ΠαρακαταθήκῃἜστι κρίσις κτλ.*

VIII (4, 184) 376

Τοὺς ὄφεις καλῶς γέ μοι
ἠγόρασας.

Hesychius, *Ὄφεις: τὰ δρακοντώδη γινόμενα ψέλλια. Μένανδρος Παρακαταθήκῃ Τοὺς ὄφεις, λέγει, καλῶς γέ μοι ἠγόρασας.*

IX (4, 184) 377

Grammat. Bekk. p. 368. *Ἀκολουθεῖν μετ' αὐτοῦ: — Μένανδρος — κἀν τῇ Παρακαταθήκῃ Συνακολούθει μεθ' ἡμῶν.*

X XI (4, 184) 378. 379

Harpocratio p. 139 20. *Ὅρος: οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκεινται δανειστῇ. — καὶ Μένανδρος Παρακαταθήκῃ.* Eadem Photius. Ammonius p. 71: *Θύρα καὶ θυραία διαφέρει. θύρα μὲν γάρ ἐστιν ἡ ἐξ ἀρχῆς γενομένη. Μένανδρος ἐν Παρακαταθήκῃ Θύραν ἔξελε. θυραία δὲ τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.* Photius, *Θυραία: τὸ ἄνοιγμα τῆς θύρας. Μένανδρος.*

ΠΕΡΙΚΕΙΡΟΜΕΝΗ

I II (4, 185) 380. 381

Οὕτω ποθεινόν ἐστιν ὁμότροπος φίλος.
Οὐδείς ἐστί μοι
ἀλλότριος ἂν ᾖ χρηστός· ἡ φύσις μία
πάντων, τὸ δ' οἰκεῖον συνίστησιν τρόπος.

Stobaei Append. Flor. p. 20 11 cum lemmate *Μενάνδρου Περικειρόμενοι.* Alter locus num itidem ad *Περικειρομένην* referendus sit incertum est. Vs. 4 cod. *συνίστησιν βίος τρόπος.*

III (4, 185) 382

Ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικί σου.

Grammat. Bekk. p. 427. *Ἀποδεῖξαι: οὐ παραδεῖξαι. Ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικί, καὶ Περικειρομένῃ Μένανδρος.* Pro *καὶ* scripsi *σου.* Nisi forte plura exciderunt.

IV V (4, 186) 383. 384

Praeterea hanc fabulam commemorant Fronto Anthol. Pal. XII 233 et Agathias Scholast. ibid. V 218, cuius carmen quum egregium sit ad perspiciendum fabulae argumentum, hoc loco integrum apponam:

Τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου
κείραντα γλυκεροὺς τῆς ἁλόχου πλοκάμους,
ὁπλότερος Πολέμων μιμήσατο, καὶ τὰ Ῥοδάνθης
βόστρυχα παντόλμοις χερσὶν ἐλῄσατο,
καὶ τραγικοῖς ἀχέεσσι τὸ κωμικὸν ἔργον ἀμείψας
μάστιξε ῥαδινῆς ἄψεα θηλυτέρης.
ζηλομανὲς τὸ κόλασμα· τί γὰρ τόσον ἤλιτε κούρη,
εἴ με κατοικτείρειν ἤθελε τειρόμενον;
σχέτλιος, ἀμφοτέρους δὲ διέτμαγε, μέχρι καὶ αὐτοῦ
βλέμματος ἐνστήσας αἴθοπα βασκανίην.
ἀλλ' ἔμπης τελέθει Μισούμενος· αὐτὰρ ἔγωγε
Δύσκολος, οὐχ ὁρόων τὴν Περικειρομένην.

Primas igitur fabulae partes Menander Polemoni demandaverat, importuno mflliti et gravissimis zelotypiae stimulis agitato. Hinc Lucianus, qui dicitur, Dial. Meretr. IX p. 303: *οὔτε Πολέμωνα τοιοῦτον ἐπανήκοντα χρήσιμον μὴ παραδέχεσθαι· προσέτι γὰρ καὶ ζηλότυπός ἐστιν.* Cfr. ibid. p. 304: *ὀργιζομένῳ οὐχ οἷόν τε παρεῖναι Πολέμωνι, καὶ μᾶλλον ἐπιταθήσεται ζηλοτυπῶν.* Iste igitur Polemo quum puellam quam deperiret perfidiae suspectam haberet, statim, ut erat homo ad iracundiam pronus, bacchatur et furore perculsus miseram conviciis increpat, vestem dilacerat, et quo nihil putabatur ignominiosius capillos detondet. Haec omnia discimus ex Agathia; quid porro fecerit homo furiosus docet nos Philostratus Epist. XXVI p. 924: *οὐδὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον περιέκειρεν, ἀλλ' αἰχμαλώτου ἐρωμένης κατετόλμησεν ὀργισθείς, ἣν οὐδὲ αὐτὸς ἀποκείρας ἠνέσχετο. κλαίει γοῦν καταπεσὼν καὶ μεταγινώσκει τῷ φόνῳ τῶν τριχῶν.* Igitur facti poenitentia ductus et sibimet ipse iratus ad flentis amasiae genua procumbit, crudele quod perpetrarit facinus exsecratur, et ut suam sibi dementiam ignoscat animo graviter commotó rogat. Ex hac scena versum petitum coniicio, quem tacito auctoris nomine servávit Plutarch. Opp. Mor. p. 799 d:

Οἵαν ἀδικῶ γυναῖχ' ὁ δυσδαίμων ἐγώ.

Neque temere, opinor, indidem ducta esse suspiceris quae e Menandro, sed non addito fabulae titulo, citantur ab Etymol. M. p. 57 35 et Grammat. Bekk. p. 374:

Ὁ δ' ἀλάστωρ ἐγώ
καὶ ζηλότυπος ἄνθρωπος.

Certe utrumque egregie convenit homini factam iniuriam commoto animo confitenti et delicti veniam petenti.

ΠΕΡΙΝΘΙΑ *)

I (4, 187) 385

Ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα
καὶ κοῦφον ἐξαπατᾷ θεράπων, οὐκ οἶδ' ὅ τι
οὗτος μεγαλεῖόν ἐστι διαπεπραγμένος,
ἐπαβελτερώσας τόν ποτ' ὄντ' ἀβέλτερον.

Suidas, Ἀβέλτερος: *ἀνόητος, ἀσύνετος, ὁ τὸ βέλτιον μὴ γινώσκων — Μένανδρος Περινθίᾳ Ὅστις παραλαβών κτλ.* Vs. 2 Porsonus *οὐκ οἶσθ' ὅτι.* Vs. 4 Scaliger *ποτ' ὄντ'* pro *ποτε.*

II (4, 187) 386

Οὐπώποτ' ἐξήλωσα πολιτελῆ νεκρόν·
εἰς τὸν ἴσον ὄγκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ.

Stob. Flor. CXXIII 2. Vs. 1 est in mon. 411. Altero versu libri *τὸν δ' ἴσον.* Bentleius *εἰς τὸν ἴσον οἶκον,* quod verum videtur.

III (4, 187) 387

Ὅσ' ἐστὶ μαλακὰ συλλαβών
ἐκ τῆς πόλεως τὸ σύνολον ἐκπήδα, φίλος.

Pollux X 11: *ἐκαλεῖτο δὲ ταῦτα ὑπὸ τῶν νεωτέρων καὶ μαλακά, ὥσπερ εὐμεταχείριστα, ὡς εἶπε Μένανδρος ἐν τῇ Περινθίᾳ Ὅσ' ἐστί κτλ.* Ita Bentleius. Editur *ὅ ἐστι μαλακὸν* et *ἐκπηδᾷ.* Cod. *ὅ ἐστι μάλα καί.* Pro *φίλος,* quod pro vulgato *θᾶττον* codex praebuit, fortasse *Φίλων.*

IV (4, 188) 388

Ἐπὶ τῶν ἁμαξῶν εἰσι πομπεῖαί τινες
σφόδρα λοίδοροι.

Harpocratio p. 155 12: *Πομπείας καὶ πομπεύειν ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν. — μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁπαξῶν λοιδορουμένων ἀλλήλοις. Μένανδρος Περινθίᾳ Ἐπὶ τῶν ἁμαξῶν κτλ.* Eadem habet Photius et ex Photio Suidas.

V (4, 188) 389

Οὐδεμίαν ἡ γραῦς ὅλως
κύλικα παρῆκεν, ἀλλὰ πίνει τὴν κύκλῳ.

Athenaeus XI p. 504 a: *ἔδωκε (τὴν φιάλην) τῷ παιδὶ περισοβεῖν ἐν κύκλῳ κελεύσας, τὸ κύκλῳ πίνειν τοῦτ' εἶναι λέ-*

---

*) Ex hac fabula Terentium primam Andriae suae scenam derivasse ipse testatur in prologo. V. Grauerti Analecta philologica et Ihnii Quaest. Ter. p. 5 sqq.

γων, παρατιθέμενος Μενάνδρου ἐκ Περινθίας Οὐδεμίαν κτλ. De temulenta obstetrice apud Terent. Andr. I 4 et 5 haec dicta censet Grauertus. Cfr. Ihnium Quaest. Ter. p. 5, qui male coniicit *ἀλλ' ἔπιεν αὐτὴν κύκλῳ.*

390 VI (4, 188)

Τὸ παιδίον δ' εἰσῆλθεν ἐψητοὺς φέρον.

Athenaeus VII p. 301 b: *ἐψητός. ἐπὶ τῶν λεπτῶν ἰχθυδίων — Μένανδρος Περινθίᾳ Τὸ παιδίον κτλ.* Comparant Terent. Andr. II 2 31: ***puerum conveni Chremis, olera et pisciculos minutos ferre obolo in coenam seni.***

391 VII (4, 188)

Οὐδ' αὐτός εἰμι σὺν θεοῖς ὑπόξυλος.

Schol. Hermog. vol. V p. 486 ed. Walz. *κεῖται δὲ (τὸ ὑπόξυλος) ἐπὶ τῶν λαμπρῶν μὲν ἔξωθεν καὶ ἐπιεικῶν, πονηρῶν δὲ τὰ ἔνδον. καὶ Μένανδρος ἐν τῇ Περινθίᾳ φησίν Οὐδ' αὐτός κτλ.* Add. Schol. ined. apud Bast. ad Gregor. Corinth. p. 241 et apud Bekkerum Anecd. p. 1073.

392 VIII (4, 189)

Suidas, *Ἀνέπαφον: ἀνεύθυνον, καθαρόν, ἀθιγές, ἀψηλάφητον. Μένανδρος Περινθίᾳ Τὰ δ' ἄλλ' ἀνέπαφα σώματ' οὐδ' ἕλῃ.* Codices *οὐδέλῃ*, pro quo forsan *οὐδὲ ληπτέα* scribendum. *Ἀνέπαφα σώματα* sunt quae in titulo apud Boeckh. C. I. 1704 et alibi dicuntur *σώματα ἀνέφαπτα*, ***servitia libertate donata.***

Π Λ Ο Κ Ι Ο Ν

393 I (4, 189)

Ἐπ' ἀμφότερα νῦν ἅτ' ἐπίκληρος οὖσα δή
μέλλει καθευδήσειν· κατείργασται μέγα
καὶ περιβόητον ἔργον· ἐκ τῆς οἰκίας
ἐξέβαλε τὴν λυποῦσαν ἣν ἐβούλετο,
ἵν' ἀποβλέπωσι πάντες εἰς τὸ Κρωβύλης
πρόσωπον· ἥ γ' εὔγνωστος εἶχέ με γυνή
δέσποινα, καὶ τὴν ὄψιν ἣν ἐκτήσατο
ὄνος ἐν πιθήκοις ἐστὶ δὴ τὸ λεγόμενον.
τοῦτο σιωπᾶν βούλομαι τὴν νύκτα τήν
πολλῶν κακῶν ἀρχηγόν. οἴμοι Κρωβύλην
λαβεῖν ἔμ' ἑκκαιδεκατάλαντον ὦ θεοί
γύναιον οὖσαν πήχεως. εἶτ' ἐστὶ τό
φρύαγμά πως ὑπόστατον; μὰ τὸν Δία

τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, οὐδαμῶς.
παιδισκάριον θεραπευτικὸν δὲ λόγου
τάχιον, ἀπαγέσθω δέ τις ἢ ἄρ' ἀντεισαγάγοι.

Gellius N. Att. II 29: *accesserat dehinc lectio* (Plocii Menandrei et Caeciliani) *ad eum locum, in quo maritus senex super uxore divite atque deformi querebatur, quod ancillam suam, non inscito puellam ministerio et facie non illiberali, coactus erat venumdare suspectam uxori quasi pellicem: nihil dicam ego quantum differat versus utriusque eximius; sit satis aliis ad iudicium faciendum exponi. Menander sic: Ἐπ' ἀμφότερα νῦν κτλ.* Vs. 1 vulgo *ἐπ' ἀμφοτέραν ἵν' ἐπίκληρος ᾖ.* Codices a Spengelio (C. Caecilii Statii fragm. Monachi 1829) collati *επ (επι) αμφοτεραν ιν (ινα) επικληρος η.* Correxi ut potui. Cfr. Donatus ad Terentii Heaut. II 3 101: "*in aurem utramvis*" *proverbium in eos qui securi et otiosi. Talis sententia et apud Menandrum, quae latine sic exprimitur: In aurem utramvis, quum quidem dotata est, cubet* (leg. *cubat*). Vs 2 ante Dorvillium *κατεργάσασα.* Pro *μέλλει,* quod Grotius reposuit, vulgo *μέλλειν.* Vs. 5 scripsi *ἀποβλέπωσι* pro *ἐπιβλέπωσι.* Ibid. ante Heringam *Κρεωβύλης.* Vs. 6 Heringa *ᾧ γ' εὔγνωστός ἐστ' ἐμὴ γυνή.* Pro *εἶχέ με* Spengelius ex margine unius cod. *ὥς μ' ἔχει.* Non expedio. Vs. 7 *ἦν* Grotius. Vulgo *ὤν.* Codd. *ων.* Vs. 8 libri *ὄνος ἐν πιθήκοις τι τὸ λεγόμενόν ἐστι δή.* Correxit Grotius. Cfr. Proverbia Coisl. 370. *Ὄνος ἐν πιθήκοις: ἐπὶ τῶν αἰσχρῶν ἐν αἰσχροῖς.* Vs. 9 Grotius *τοῦτο δέ.* Heringa *τοῦτ' οὐ.* Vs. 10 sq. ante Heringam *οἴμοι Κρεωβύλην λαβεῖν ἐμὲ* (codd. *ἐμαι*) *καὶ δέκα τάλαντα, γύναιον* (codd. *γυναικ* vel *γυναικα*) *οὖσα πήχεως.* Vs 13 vulgo *φρύαγμα εἴπως ἀνυπόστατον.* Correxit H. Iacobi. Grotius *φρύαγμα πῶς ἂν ὑπόστατον;* Ibidem *μὰ τὸν* addidit Grotius. Vs. 15 et 16 H. Iacobi *παιδισκάριον θ. δὲ τοῦ λόγου | θᾶττον ἀπάγοι τις ἢ 'τέραν ἂν εἰσάγοι.*

II (4, 191) 304

Ἔχω δ' ἐπίκληρον Λάμιαν· οὐκ εἴρηκά σοι
τοῦτ'; εἶτ' ἄρ' οὐχί; κυρίαν τῆς οἰκίας
καὶ τῶν ἀγρῶν καὶ πάντων ἀντ' ἐκείνης
ἔχομεν, Ἄπολλον, ὡς χαλεπῶν χαλεπώτατον.
ἅπασι δ' ἀργαλέα 'στίν, οὐκ ἐμοὶ μόνῳ,
υἱῷ, πολὺ μᾶλλον θυγατρί. Β. πρᾶγμ' ἄμαχον λέγεις·
εὖ οἶδα.

Gellius l. l. *Idem ille maritus senex cum altero sene vicino colloquens et uxoris locupletis superbiam deprecans haec ait:* Ἔχω δ' ἐπίκληρον κτλ. Vs. 1 *Λάμιαν* scripsi. Vulgo *Λαμία*. Veteres editiones *Λαμίαν*. Vs. 2 *τοῦτ'; εἶτ' ἆρ' οὐχί; κυρίαν* Scioppius, ex codd. ut videtur. Vulgo *τοῦτο οὐχὶ κυρίαν*. Cod. Mus. Brit. *τουτο ειτε αρα κυριαν*. Sed nec illud placet. Sequentia reliqui ut vulgo eduntur; pro *πάντων ἀντ' ἐκείνης* Spengelius etiam inveniri testatur *πατρῴων ἄντικρυς*. Vs. 4 *ἔχομεν Ἄπολλον ὡς* scripsi cum Scioppio. Codd. *ἔχομεν απολλων ως* et *μὲν ὅλων τῶν*. Edilt. *ἔχομεν ἀφ' ὅλων*. Fortasse *Ἄπολλον, τῶν χαλεπῶν χαλεπωτάτην*.

395 III (4, 191. 192)

Gellius l. l. *Filia hominis pauperis in pervigilio vitiata est: ea res clam patre fuit, et habebatur pro virgine. ex eo vitio gravida mensibus exactis parturit.* Hinc fortasse sumta sunt verba ab eodem Gellio III 16 ex hac fabula servata: *Hoc idem* (decimo mense mulierem parere) *tradit etiam Menander poeta vetustior, humanarum opinionum vel peritissimus. Versus eius super ea re de fabula Plocio posui:* Γυνὴ κυεῖ δεκάμηνος; Ceterum quod Gellius illam pauperis hominis filiam in *pervigilio* vitiatam dicit, respexit ad hunc similemve locum Aelianus AN. VII 19: *ἤκουσα δὲ κυνοκεφάλους καὶ παρθένοις ἐπιμανῆναι καὶ βιάσασθαι, ὑπὲρ τὰ μικρὰ μειράκια τὰ τοῦ Μενάνδρου ἐν ταῖς παννυχίσιν ἀκόλαστα.* Add. Philostratus Epist. 42 p. 933. Dixi de his locis in edit. pr. p. 59. Cfr. Cicero Legg. II 14: *quid autem mihi displiceat in nocturnis* (sacris), *poetae indicant comici.* Hinc *κωμικὴ παννυχίς* proverbii vicem obtinet apud Theophanem Cont. V 26.

396 IV (4, 192)

Ὦ τρὶς κακοδαίμων, ὅστις ὢν πένης γαμεῖ
καὶ παιδοποιεῖθ'. ὡς ἀλόγιστός ἐστ' ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' ἂν ἀτυχήσας εἰς τὰ κοινὰ τοῦ βίου
ἐπαμφιάσαι δύναιτο τοῦτο χρήμασιν,
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν μὲν ἀνιαρῶν ἔχων
τὸ μέρος ἅπάντων, τῶν δ' ἀγαθῶν οὐδὲν μέρος·
ὑπὲρ γὰρ ἑνὸς ἀλγῶν ἅπαντας νουθετῶ.

Gellius l. l. *Servus bonae frugi quum pro foribus domus staret et propinquare partum herili filiae atque omnino vitium*

esse oblatum ignoraret, gemitum et ploratum audit puellae in puerperio enitentis: timet, irascitur, suspicatur, miseretur, dolet. Hi omnes motus eius affectionesque animi in graeca quidem comoedia mirabiliter acres et illustres: apud Caecilium autem pigra ista haec omnia et a rerum gravitate atque dignitate vacua sunt. Post ubi idem servus percunctando quod acciderat reperit, has apud Menandrum voces facit: Ὦ τρὶς ϰαϰοδαίμων ϰτλ. Idem locus, praeter extremum versum, est apud Stobaeum Serm. LXVIII 4. Vs. 1 legitur etiam in Gnomis mon. 757, ubi ὡς τρὶς ϰαϰοδαίμων. Vs. 4 μήτ' ἂν ἀτυχήσας Stobaeus. Gellius εἰ μήτε ἀνατειχίσῃ. At ed. pr. μητανατϋχισῃ. Sed recte idem τὰ ϰοινά, pro quo Stobaeus τὰ λοιπά. Vs. 5 Gellius ἐπαμφίεσθαι. Tum δύναιτο τοῦτο Gellii ed. pr. Stobaeus τοῦτο δύναιτο. Pro τοῖτο Gaisfordus τοῦτον. Vs. 6 respicit Dio Chrysost. Or. XXXII p. 365. Vs. 7 μέν omittit Stobaeus. Vs. 8 libri ἀγαθῶν οὐ δυνάμενος. Correxit Zedelius diu ante Gaisfordum. Vs. 9 ἀλγῶν pro ἀλέγων Grotius.

V (4, 193) 397

Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται,
ἀθυμότερον ἑαυτὸν ἐπιθυμεῖ ποιεῖν·
ὅταν γὰρ εἰς τρυφῶντα ϰαὶ σχολὴν ἄγειν
δυνάμενον ἐμβλέψῃ, τότ' αὐτόν ἐστ' ἰδεῖν
ὡς ἄθλιον ζῇ ϰαὶ ταλαίπωρον βίον.

Stobaeus Floril. XCVI 20. Sunt servi Parmenonis verba. Versu quarto vulgo τότ' αὐτόν τ' ἔστ' ἰδεῖν. Codices τότ' αὐτόν ἐστιν ἰδεῖν. Fortasse τόθ' αὐτόν ἐστ' ἰδεῖν. Pro ἐμβλέψῃ cod. A ἀμβλέψῃ.

VI (4, 193. 194) 398

Καϰῶς ὁ δεσπότης βεβούλευται πάνυ·
ἐν ἀγρῷ γὰρ οἰϰῶν οὐ σφόδρ' ἐξηλέγχετο
τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένης,
εἶχεν δὲ παραπέτασμα τὴν ἐρημίαν.

Stobaeus Floril. XCVI 20, ubi hi versus cum praecedente fragmento coniuncti sunt. Incerto poetae tribuit Grotius. Non dubito quin ex eadem fabula petiti sint. Vs. 3 τεταγμένος? Vs. 4 margo Gesn. et Voss. ῥᾳθυμίαν.

VII (4, 194) 399

Ἆρ' ἐστὶν ἀρετῆς ϰαὶ βίου διδάσϰαλος
ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός.

Stobaeus Floril. LVI 5. Cfr. ad Fragm. inc. CLXXXV.

400 VIII (4, 194)

Ὦ Παρμένων, οὐκ ἔστιν ἀγαθὸν τῷ βίῳ
φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς,
ἀλλ' ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν,
ἐκ τοῦ κακοῦ τ' ἤνεγκεν ἀγαθὸν ἡ φύσις.

Stobaeus Flor. CV 23 cum lemmate *Πλοκίων Θαΐδος*, quod corrigentis se librarii esse suspicatur Dübnerus. Respicit Themist. Or. XXII p. 276: *λέγει τις ὀρθῶς τῶν τοῦ γέλωτος ποιητῶν ὅτι μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, ἀεὶ δὲ αὐτῷ προσπέφυκε καὶ κακόν.*

401 IX (4, 194)

Ἀεὶ τὸ λυποῦν ἀποδίωκε τοῦ βίου·
μικρόν τι τὸ βίου καὶ στενὸν ζῶμεν χρόνον.

Stobaeus Floril. CVIII 32. Prior versus est etiam infra in Gnom. monost. 3, ubi legitur *ἐκδίωκε*. Versu altero ante Grotium erat *τοῦ βίου*. Comparant Senecam de Brev. Vit. 2: ***adeo ut quod apud maximum poetarum more oraculi dictum est, verum esse non dubitem "Exigua pars est vitae quam nos vivimus."*** Sed is Euripidis esse videtur versus.

402 X (4, 195)

Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενός.

Orion Gnomol. VIII 5. mon. 419. Cf. Schneidew. Orion. p. 89.

403 XI (4, 195)

Tzetzes Crameri An. Ox. IV p. 544 sq. "*Ὅστις δ' ὁμιλῶν ἥδεται.*" *τοῦτο τοῦ Θεόγνιδος.* Mox: *Μενάνδρου τοῦτο πέφυκεν ἐκ δράματος Πλοκίου, οὐ Θεόγνιδος.* Quibus verbis si ipsum illud *ὅστις δ' ὁμιλῶν ἥδεται* significat, neque Theognidis nec Menandri hoc est, sed Euripidis Phoen. IV 7.

404. 405 XII XIII (4, 195)

Denique laudatur nostra fabula a schol. Platonis Bekk. p. 381, ubi de proverbio *δεύτερος πλοῦς* agitur, et ab Aeliano A. N. XII 10: *τρυγόνος λαλίστερον ἔλεγον. — μέμνηται καὶ ταύτης τῆς παροιμίας ἐν τῷ Πλοκίῳ ὁ αὐτός*, h. e. Menander, ex quo idem proverbium afferunt Zenobius VI 8 et Apostol. XIX 82.

Π Ρ Ο Γ Α Μ Ο Ι

406 (4, 195)

Τυφλόν γε καὶ δύστηνόν ἐστιν ἡ τύχη.

Stobaeus Ecl. phys. I 8 p. 213 Heer. cum lemmate *ἐκ τῶν*

Μενάνδρου προγάμων. Caecilii *Progamon* laudat Nonius. Idem fere versus in Gnom. monost. 718. Cf. Stob. XCVIII 11.

ΠΡΟΕΓΚΑΛΩΝ

I (4, 196) 407

Τὸ δ' εὖ
κελευόμενον μέν ἐστιν ἀσφαλέστατον
δοῦλον ποιεῖν, ὥς φασιν.

Stobaeus Floril. LXII 17. Versu tertio *δουλοποιεῖν* ante Erfurdtum. Grotius *δοίλῳ ποιεῖν.*

II (4, 196) 408

Οἷον τὸ γενέσθαι πατέρα παίδων ἦν ἄρα·
λύπη, φόβος, φροντίς, πέρας ἐστὶν οὐδὲ ἕν.

Stobaeus Floril. LXXVI 8. Primo versu addidi *ἄρα.* Vide edit. pr. Bentleius *κακόν.*

ΠΩΛΟΥΜΕΝΟΙ

I (4, 196) 409

Τάλας, ἕστηκας ἔτι πρὸς ταῖς θύραις
τὸ φορτίον θείς; σιτόκουρον, ἄθλιον,
ἄχρηστον εἰς τὴν οἰκίαν εἰλήφαμεν.

Athenaeus VI p. 248 b: *Μένανδρος δὲ τὸν ἄχρηστον καὶ μάτην τρεφόμενον σιτόκουρον — ἐν Πωλουμένοις Τάλας κτλ.* Vs. 1 Porsonus *Τί ὦ τάλας κτλ.* Idem v. 3 addidit *ἄχρηστον.*

II (4, 196) 410

Οὐ πανταχοῦ τὸ φρόνιμον ἁρμόττει παρόν,
καὶ συμμανῆναι δ' ἔνια δεῖ.

Clemens Alex. Strom. VI p. 743 P.: *ἔτι Καλλίᾳ τῷ κωμικῷ γράφοντι "μετὰ μαινομένων φασὶν χρῆναι μαίνεσθαι πάντας ὁμοίως" Μένανδρος ἐν Πωλουμένοις παρισάζεται λέγων Οὐ πανταχοῦ κτλ.* Ita Sylburgius. Vulgo *καὶ συμβῆναι δ' ἔνια δεῖ.* Seneca de tranqu. an. 15: ***nam si graeco poetae credimus, aliquando et insanire iucundum est.*** Primus versus *ἐκ Πωλουμένων* affertur etiam ab Orione Gnom. I 12 et tacito auctoris nomine a Stobaeo Schowii Serm. III p. 74, ubi editur *οὐ πανταχῇ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.* Adde Mon. 691.

III—V (4, 197) 411—413

Incertus Crameri AO. IV p. 310 24: *μέμνηται τοῦ ὀνόματος (γραμματικὸς) Μένανδρος ἐν Πωλουμένοις.* Antiatti-

cista p. 105: *Καταφαγάς. Μένανδρος Πωλουμένοις.* Eandem vocem e Menandro affert Phrynichus Epit. p. 433. Harpocratio p. 58: *διασείστους (ἀστραγάλους) — παρὰ τὸ κινεῖσθαι καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵν' ἀκακούργητοι μᾶλλον ὦσι. Μένανδρος Πωλουμένοις.* Eadem fere Suidas habet s. v. *διάσειστος.*

ΡΑΠΙΖΟΜΕΝΗ

414 I (4, 197. 198)

Ὁ μὴ δεχόμενος τῶν θεῶν τὸ σύμφορον
αὐτῷ διδόντων ἕνεκα τοῦ ζῆν, βούλεται
οὗτος ἀτυχεῖν· ἐὰν δὲ μὴ θεὸς διδῷ,
τοῦ μὴ διδόντος, οὐ τρόπου 'σθ' ἁμαρτία.

Stobaeus Ecl. phys. II 8 p. 341. Vs. 2 et 3 legebatur *οὐ βούλεται τόδ' ἀτυχεῖν ἢ τὸ μὴ θεὸς δίδωσιν.* Correxi viam monstrante Grotio, qui scripsit *βούλεται τοιοῦτος ἀτυχεῖν· ἢν δὲ μὴ θεὸς διδῷ.* Vs. 4 e Grotii coniectura addidi verba *τοῦ μὴ διδόντος.* Postrema verba vulgo sic leguntur: *οὐ τρόπου δ' ἔσθ' ἁμάρτημα.* Codices *ἁμαρτία.* Hinc correxi ut supra edidi.

415 II (4, 198)

Ἀτύχημα κἀδίκημα διαφορὰν ἔχει·
τὸ μὲν διὰ τύχην γίνεται, τὸ δ' αἱρέσει.

Stobaeus Ecl. phys. II 8 p. 341. In margine cod. V: *Μενάνδρου ῥαπιζομένου.* Secundo versu codd. *τὸ μὲν διὰ τύχην γάρ.* Delevi *γάρ*, quod iussit etiam Wyttenb.

416 III (4, 198)

Ἔρχεται τἀληθὲς εἰς φῶς ἐνίοτ' οὐ ζητούμενον.

Stobaeus Floril. XI 10.

417 IV (4, 198)

Ἆρ' ἐστὶν ἀγαθῶν πᾶσι πλείστων ἀξία
ἡ σύνεσις, ἂν ἡ πρὸς τὰ βελτίω σοφή.

Orion Gnomol. I 15: *ἐκ Ῥαπιζομένου Μενάνδρου.* Omisso fabulae nomine Stobaeus Flor. III 7, ubi pro *πᾶσι πλείστων ἀξία*, quae Orionis lectio est, legitur *παμπλείστων αἰτία.*

418 V (4, 198)

Τοὐμὸν θυγάτριον, πάνυ γάρ ἐστι τῇ φύσει
. . . φιλάνθρωπον τὸ παιδάριον σφόδρα.

Clemens Alex. Paed. I p. 104 Pott.: *δοκοῦσιν οἱ Ἀττικοὶ παιδάριον ἐπικοίνως οὐ μόνον τὸ ἄρρεν ἀλλὰ καὶ τὸ θῆλυ*

κεκληκέναι, εἴ τῳ πιστὸς καταφαίνεται ὁ κωμικὸς ἐν Ῥαπιζομένῃ Μένανδρος ὧδέ πως λέγων Τοὐμὸν θυγάτριον κτλ. Vs. 2 fortasse *νὴ Δία* addendum vel *τουτὶ* cum Fritzschio.

VI (4, 199) 419

Εἶτ' ἀμφορεαφόρος τις ἀποφορὰν φέρων.

Suidas s. v. *ἀμφορεαφόρους, τοὺς μισθίους, τοὺς τὰ κεράμια φέροντας Εἶτα — φέρων, Μένανδρος Ῥαπιζομένῃ.*

VII (4, 199) 420

Πόθεν γάρ, ὦ φίλοι θεοί,
τούτους ἀνεσπάκασιν οὗτοι τοὺς λόγους;

Suidas, *Ἀνέσπακεν, Θουκυδίδης. ἀνεύρηκεν, εἴληφεν. Μένανδρος Ῥαπιζομένῃ Πόθεν γάρ κτλ.* Apud Suidam legitur *πέπανθε γάρ*, quod correxi e Grammat. Bekk. p. 399 vicissim e Suida corrigendo.

VIII (4, 199) 421

Ὁ μυόχοδὸς γέρων λελῆθέναι σφόδρα
οἰόμενος.

Photius p. 282 11. *Μυόχοδον: οὐδενὸς ἄξιον. Μένανδρος Ῥαπιζομένῃ Ὁ μυόχοδος κτλ.* Eadem Suidas.

IX (4, 199) 422

Οὐχ ὁρᾶτε τὴν τροφόν
ζῶμ' ἐνδεδυμένην;

Pollux VII 51: *ὅτι δὲ ἐνδῦναι ἦν ἐπιτήδεια (τὰ ζώματα) τεκμήραιτ' ἄν τις ἐκ τῶν ἐν τῇ Ῥαπιζομένῃ Μενάνδρου Οὐχ ὁρᾶτε κτλ.* Respexit Photius, *Ζῶμα: χιτῶνός τι ζωστοῦ γένος. οὕτω Μένανδρος.*

X XI (4, 200) 423. 424

Athenaeus III p. 115 b: *Μένανδρον ἐν Ῥαπιζομένῳ (Ῥαπιζομένῃ) καὶ ἀπελευθέραν εἰρηκέναι.* Schol. Plat. p. 372: *καὶ τυφλῷ δῆλον — Μένανδρος Ῥαπιζομένῃ.*

Σ Α Μ Ι Α

(4, 200) 425

Φέρε τὸν λιβανωτόν· σὺ δ' ἐπίθες τὸ πῦρ, Τρύφη.

Phrynichus Ecl. Att. p. 187: *λίβανον λέγε τὸ δένδρον, τὸ δὲ θυμιώμενον λιβανωτόν. — Μένανδρος ἐν τῇ Σαμίᾳ φησί Φέρε τὸν λιβανωτόν κτλ.* Correxit Scaliger. Vulgo *τρυφᾷν*. Cod. Nunnesii *τρυφῇ*. Pro *τὸν* Lobeck. ex cod. Nunn. *τήν*.

ΣΙΚΥΩΝΙΟΣ

426 I (4, 200)

Εὐλοιδόρητον, ὡς ἔοικε, φαίνεται
τὸ τοῦ στρατιώτου σχῆμα καὶ τὸ τοῦ ξένου.

Stobaeus Flor. LIII 3. Militi isti Stratophanis nomen fuisse colligas ex fragmento sequente.

427 II (4, 200)

Στρατοφάνη, λιτόν ποτ' εἶχες χλαμύδιον καὶ παῖδ' ἕνα.

Photius, *Στρατοφάνη*: *τὴν κλητικὴν πτῶσιν. Μένανδρος Σικυωνίῳ Στρατοφάνη κτλ. καὶ ἀεὶ οὕτως λέγει.* Pro *παῖδ' ἕνα* cod. *πέλα ἕνα*. Correxit Toupius. Nec defuisse militi parasitum suum haud temere coniicias e Pollucis verbis lib. IV 119, ubi docetur parasitos nigra vel pulla veste indutos in scenam prodiisse, *πλὴν ἐν Σικυωνίῳ λευκῇ, ὅτε μέλλει γαμεῖν ὁ παράσιτος.*

428 III (4, 201)

Ἄβραν γὰρ ἀντωνούμενος
ἐρωμένην αὐτῇ μὲν οὐ παρέδωκ' ἔχειν,
τρέφει δὲ χωρίς, ὡς ἐλευθέραν πρέπει.

Suidas s. v. *ἄβρα*: *Μένανδρος Ψευδηρακλεῖ — καὶ Σικυωνίῳ Ἄβραν γάρ κτλ.* Ita scripsi pro *Σικυωνίῳ καὶ ἄβραν*. Vs. 2 Clericus *ταύτῃ*. Vs. 3 vulgo *τρέφειν* et *ἐλευθέρᾳ*. Correxit Dobraeus. Ceterum confer supra p. 880.

429 IV (4, 201)

Ὁ πλέων κατήχθη, κρίνεθ' οὗτος πολέμιος·
ἐὰν δ' ἔχῃ τι μαλακόν, ἀγγαρεύεται.

Suidas, *Ἀγγαρεύεσθαι καλοῦσιν ὥσπερ ἡμεῖς νῦν τὸ εἰς φορτηγίαν καὶ τοιαύτην τινὰ ὑπηρεσίαν ἄγεσθαι. καὶ Μένανδρος τοῦτο ἐν Σικυωνίῳ παρίστησιν Ὁ πλέων κατήχθη κτλ.*

430 V (4, 201)

Κακὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένες.

Photius et Suidas, *Κακὴ μὲν ὄψις: κόμμα παροιμίας. Κακὴ — φρένες. Μένανδρος Σικυωνίῳ.* E Philemonis Enchiridio idem versus affertur a Stobaeo. Omisso auctoris nomine legitur apud Diogenian. Prov. V 89.

431—433 VI—VIII (4, 201. 202)

Harpocratio p. 17. *Ἀναίνεσθαι: κοινῶς μὲν ἀρνεῖσθαι, ἰδίως δὲ ἐπὶ τῶν κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια λέγεται. Μένανδρος Σικυωνίῳ.* Idem p. 143: *ὁ πολλάκις ἐμπολῇ*

μεταβεβλημένος παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλον — ἐκ τοῦ Μεν. Σικυωνίου. Eadem Photius. Cfr. Eustath. p. 725 32: *φέρει δὲ καὶ (τῶν τις παλαιῶν) ἀπὸ χρήσεως τοῦ κωμικοῦ τὸ παλίμβολος τρίπρατος, καὶ πολλάκις ἀπημπολημένος.* Schol. Platonis Bekk. p. 375: *ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον. — μέμνηται δὲ αὐτῆς — καὶ Μένανδρος Σικυωνίᾳ.* Scribe *Σικυωνίῳ.* Id proverbium quomodo Menander extulerit, incertum est. Apud Alciphr. II 4 140 Glycera Menandrum hortatur ut ea ad Ptolemaeum afferat dramata, quae maxime eius plausum ferre possint, *εἴτε Θαΐδα, εἴτε Μισούμενον, εἴτε Θράσυλέοντα, εἴτε Σικυών* * * *. Recte Berglerus *Σικυώνιον.*

Σ T P A T I Ω T A I

I (4, 202) 434

Ὁρῶν τι βούλευσαι κατὰ σαυτὸν γενόμενος·
τὸ συμφέρον γὰρ οὐχ ὁρᾶται τῷ βοᾶν,
ἐν τῷ πρὸς αὐτὸν δ' ἀναλογισμῷ φαίνεται.

Orion Gnomol. I 17: *ἐκ τῶν Στρατιωτῶν Μενάνδρου.*

II (4, 202) 435

Οὐδεὶς ξύνοιδεν ἐξαμαρτάνων πόσον
ἁμαρτάνει τὸ μέγεθος, ὕστερον δ' ὁρᾷ.

Stobaeus Flor. IV 7 *τοῦ αὐτοῦ Στρατιώταις.*

Σ Y N A P I Σ T Ω Σ A I

I (4, 202) 436

Ἀστεῖον τὸ μή
συνάγειν γυναῖκας μηδὲ δειπνίζειν ὄχλον,
ἀλλ' οἰκοσίτους τοὺς γάμους πεποιηκέναι.

Athenaeus VI p. 247 f: *καλεῖται δ' οἰκόσιτος ὁ μὴ μισθοῦ, ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν· — ἰδίως δ' ἐν Συναριστώσαις ἔφη Ἀστεῖον τὸ μή κτλ.*

II (4, 203) 437

Ἂν ἔτι πιεῖν μοι δῷ τις· ἀλλ' ἡ βάρβαρος
ἅμα τῇ τραπέζῃ καὶ τὸν οἶνον ᾤχετο
ἄρασ' ἀφ' ἡμῶν.

Suidas, *Αἴρειν τράπεζαν ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ — καὶ Συναριστώσαις Ἂν ἔτι κτλ.* Eadem Grammat. Bekk. p. 358. Apertum est haec ab una convivantium mulierum dicta esse. Ad convivii descriptionem spectat fragm. VIII.

438 III (4, 203)

Καὶ τὸν ἐπὶ κακῷ
γινόμενον ἀλλήλων ἀγαπησμόν, οἷος ἦν.

Grammat. Bekk. p. 324: *Ἀγαπησμός: λέγουσι καὶ ἀγάπησιν τὴν φιλοφρόνησιν. Συναριστώσαις Μένανδρος Καὶ τόν κτλ.* Idem locus apud Suidam s. v. *ἀγαπησμός.*

439 IV (4, 203)

Ἔρως δὲ τῶν θεῶν
ἰσχὺν ἔχων πλείστην ἐπὶ τούτου δείκνυται·
διὰ τοῦτον ἐπιορκοῦσι τοὺς ἄλλους θεούς.

Stobaeus Flor. LXIII 15. Versu secundo cod. B *τούτοις.*

440 V (4, 203)

Πατὴρ δ' ἀπειλῶν οὐκ ἔχει μέγαν φόβον.

Stobaeus Flor. LXXXIII 7.

441 VI (4, 203)

Τρισάθλιόν γε καὶ ταλαίπωρον φύσει
πολλῶν τε μεστόν ἐστι τὸ ζῆν φροντίδων.

Stobaeus Flor. XCVIII 53. Habet etiam Antonius Mel. CLV p. 247.

442—444 VII—IX (4, 204)

Pollux X 18: *γυναικείαν ἀγοράν, τὸν τόπον οὗ τὰ σκεύη τὰ τοιαῦτα πιπράσκουσιν — εὕροις ἂν ἐν ταῖς Συναριστώσαις Μενάνδρου.* Plinius N. H. XXIII 81: *myrtus sativa candida — odorem oris commendat vel pridie commanducatum* (semen). *item apud Menandrum Synaristosae hoc edunt.* Cfr. Inc. fab. DXVII. Titulum fabulae attigit Pollux VI 101.

Σ Y N E P Ω Σ A

445. 446 I II (4, 204)

Ἄφες τὸν ἄνθρωπον. τί κόπτεις ὦ μέλε;

Schol. Plat. Bekk. p. 363 et Suidas s. v. *ὦ μέλε — παρὰ δὲ τοῖς παλαιοῖς καὶ ὑπ' ἀνδρῶν. — καὶ ἐν Μενάνδρου Συνερώσῃ Ἄφες κτλ.* Suidas, *Ἀναπετῶ: ἀναπετάσω. Μένανδρος ἐν Συνερώσῃ.*

Σ Y N E Φ H B O I

447 (4, 204)

Zenobius V 60. *οἱ γὰρ ἥρωες κακοῦν ἕτοιμοι μᾶλλον ἢ εὐεργετεῖν, ὥς φησι Μένανδρος ἐν Συνεφήβοις.* Schol. Aristoph. Av. 1490: *ἥρωες δὲ δυσόργητοι καὶ χαλεποὶ τοῖς*

ἐμπελάζουσι γίνονται, καθάπερ Μένανδρος ἐν Συνεφήβοις. Ita Heringa pro edito *Συνεριθοις.*

T I T Θ H

I (4, 205) 448

Ἤν ἄν τις ὑμῶν παιδίον
ᾐτήσατ' ἢ κέχρηκεν, ἄνδρες γλυκύτατοι.

Suidas, *Αἰτήσασθαι: τὸ χρήσασθαι. Μένανδρος Τιτθῇ Ἤν ἄν τις κτλ.* Cfr. Zonaram I p. 98, ubi pro *ἤν* legitur *ἦν.* Porsonus *εἴ τις.* Aliud quid latere videtur.

II (4, 205) 449

Οἱ τὰς ὀφρῦς αἴροντες ὡς ἀβέλτεροι
καὶ "σκέψομαι" λέγοντες· ἄνθρωπος γὰρ ὢν
σκέψει τί περὶ τοῦ; δυστυχὴς ὅταν τύχῃ·
αὐτόματα γὰρ τὰ πράγματ' ἐπὶ τὸ συμφέρον
ῥεῖ κἂν καθεύδῃς ἢ πάλιν τοὐναντίον.

Stobaeus Flor. XXII 9. Cfr. Eclog. phys. I p. 200. Vs. 3 libri *σκέψῃ.* Tum *τί περὶ τοῦ* cod. Schowii. Vulgo *σὺ περί του.* Ars. *σὺ περὶ τούτου.* N *σὺ περίττου.* B m s *σὺ περιττοῦ ἢ περίτου.* Pro *δυστυχὴς* N p m *δυστυχεῖς.* Dobraeus *σκέψει σὺ περὶ τοῦ δυστυχῆσ' ὅταν τύχῃ;*

T P O Φ Ω N I O Σ

I (4, 205. 206) 450

Ξένου τὸ δεῖπνόν ἐστιν ὑποδοχή. Β. τίνος;
ποδαποῦ; διαφέρει τῷ μαγείρῳ τοῦτο γάρ·
οἷον τὰ νησιωτικὰ ταυτὶ ξενύδρια
ἐν προσφάτοις ἰχθυδίοις τεθραμμένα
καὶ παντοδαποῖς, τοῖς ἁλμίοις μὲν οὐ πάνυ
ἁλίσκετ', ἀλλ' οὕτως παρέργως ἅπτεται·
τὰς δ' ὀνθυλεύσεις καὶ τὰ κεκαρυκευμένα
μᾶλλον προσεδέξατ'· Ἀρκαδικὸς τοὐναντίον
ἀθάλαττος ἐν τοῖς λοπαδίοις ἁλίσκεται·
Ἰωνικὸς πλούταξ ὑποστάσεις ποιῶν,
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

Athenaeus IV p. 132 e: *Μένανδρος δ' ἐν Τροφωνίῳ Ξένου τὸ δεῖπνον κτλ.* Vs. 1 ante Dobraeum *ὑποδοχῆς.* Vs. 3 libri *τὰ μέν.* Delevit *μὲν* Grotius. Vs. 7 vulgo *κεκαρυκευμένα.* Vs. 8 *προσεδέξατ' χεται ἀρκαδικὸς* AB *προσεδέξατο χέται ἀρκαδικὸς* P *προσεδέξατ' εἰ δέ τις ἔρχεται ἀρκαδικός* VL. Correxit Bentleius. Vs. 9 pro *ἐν* forsan *ὤν.* Vs. 10 et 11 iterum

habet Athenaeus XII p. 517 a. Pro *ποιῶν* Grotius *ποθεῖ*, Dobraeus *πιών*. Sed aoristo nullus hic locus. Coraes mutata interpunctione *Ἰωνικὸς πλούταξ; ὑποστάσεις ποιῶ*. Ad *ὑποστάσεις* confer qui Menandro teste utuntur Polluc. VI 60, Irenaeum apud Socratem H. Eccl. III 7, Polluc. Hist. phys. p. 376. Vs. 11 *ὑποβινητιῶντα βρώματα* affert Athenaeus I p. 9 c et Eustathius p. 1724 53.

451 II (4, 207)

Τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ.

Stobaeus Flor. IX 20. Vide ad Fragm. inc. fab. XXXIV.

452. 453 III IV (4, 207)

Athenaeus III p. 99 f: *Μένανδρος ἐν Τροφωνίῳ ἔφη χορταθείς* Harpocratio p. 41 3: *ὅτι δὲ λύσαντες τὴν λήκυθον ἐχρῶντο τῷ ἱμάντι πρὸς τὸ μαστιγοῦν, Μένανδρος Τροφωνίῳ.*

Υ Δ Ρ Ι Α

454 I (4, 207)

Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία, καὶ τῷ μελετῶντι μηδὲ ἓν
πονηρὸν ἱκανὸν κτῆμ' ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥ τε κατὰ πόλιν
αὕτη τρυφὴ λάμπει μέν, ἐς δ' ὀλίγον χρόνον.

Stobaeus Floril. LVIII 8. Priora usque ad *ἐρημία* idem etiam LVI 11. Vs. 5 Voss. *ὀλίγον δὲ χρόνον.*

455 II (4, 208)

Γέροντα δυστυχοῦντα τῶν θ' αὑτοῦ κακῶν
ἐπαγόμενον λήθην ἀνέμνησας πάλιν
ἐπὶ τἀτυχεῖν τ' ἤγειρας.

Stobaeus Flor. CIV 2. Qui hoc loco senex commemoratur, fortasse idem est, a quo prologus fabulae actus est. V. Quintil. Inst. Orat. XI 3 91.

456 III (4, 208)

Εὐθὺς καταχρήσεσθαι τὸν ἀνορωρυγμένον
ταύτην ἰδόντα.

Suidas, *Ἀνορωρυγμένον λέγουσιν, οὐχὶ ἀνωρυγμένον. Μένανδρος Ὑδρίᾳ Εὐθύς κτλ.* Grammat. Bekk. p. 405: *Μένανδρος τὴν ἀνορωρυγμένην ταύτην ἰδών. Καταχρήσεσθαι* Bernhardius ex AC. Vulgo *καχρήσασθαι.* Tum *ἀνορωρυγμένην* BCE et Grammat. Bekkeri. Bernhardius coniicit *καταχρήσεσθ' αὐτὸν ἀνορωρυγμένην.*

IV (4, 208) 457

Οἱ δὲ κατὰ χειρῶν λαβόντες περιμένουσι φίλτατοι.

Athenaeus IX p. 408 e: *Μένανδρος Ὑδρίᾳ Οἱ δὲ κατά κτλ.*

V (4, 208) 458

Οἱ Θρᾷκες Λιβύτρωες . . :
. . καλοῦνται· πάντα νῦν ἤδη 'σθ' ὁμοῦ.

Schol. Plat. p. 380: *ἔχει (τὸ ὁμοῦ) καὶ δύναμιν συλλεκτικήν, ὡς παρὰ Μενάνδρῳ ἐν Ὑδρίᾳ Οἱ Θρᾷκες κτλ.* Indicavi lacunam.

VI (4, 209) 459

Hesychius, *Παρουσία: οὕτως ἐκάλουν καὶ τὰ ὑπάρχοντα. καὶ μήποτε ἡ παρὰ πρόθεσις παρέλκει. Μένανδρος Ὑδρίᾳ.*

Y M N I Σ

I (4, 209) 460

Νὴ τὴν Ἀθηνᾶν, μακάριόν γ' ἡ χρηστότης
πρὸς πάντα καὶ θαυμαστὸν ἐφόδιον βίῳ.
τούτῳ λαλήσας ἡμέρας σμικρὸν μέρος
εὔνους ἐγὼ νῦν εἰμι. πειστικὸν λόγος,
πρὸς τοῦτ' ἂν εἴποι τις μάλιστα τῶν σοφῶν.
τί οὖν ἑτέρους λαλοῦντας εὖ βδελύττομαι;
τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος.

Stobaeus Flor. XXXVII 18 cum lemmate *Μενάνδρου Ὕμνις.* Vs. 1 *γ'* addidit Clericus. Vs. 5 vulgo *πιστικόν.* Versum ultimum habet etiam Plutarchus praec. polit. p. 801 c.

II (4, 209) 461

Οὐ πάνυ τι γηράσκουσιν αἱ τέχναι καλῶς,
ἂν μὴ λάβωσι προστάτην φιλάργυρον.

Maximus Tyr. Dissert. XXX p. 320: *μὴ ἐνόχλει τῇ τύχῃ· οὐ γὰρ τοῖς δεομένοις δίδωσιν. μὴ ἐνόχλει τῇ τέχνῃ· ἀκούεις γὰρ Μενάνδρου λέγοντος Οὐ πάνυ τι κτλ.* Fabulae nomen addit Stob. Flor. LXI 3.

III (4, 210) 462

Ἀλλὰ ταργυρώματα
ἥκω λαβεῖν βουλόμενος.

Athenaeus VI p. 231 a: *Μένανδρος — ἐν Ὑμνίδι Ἀλλά κτλ.*

IV (4, 210) 463

Νῦν δὲ κατὰ πόλιν
εὗρηκε τὸν ἕτερον, τὸν σέ, τὸν ἐμὲ τουτονί.

Apollonius de Pron. p. 275 a: *Ἀττικοὶ γοῦν τὸν ἐμέ. Μένανδρος ἐν Ὑμνίδι Νῦν δὲ κατὰ πόλιν κτλ.* Grammat. Bekkeri p. 923: *καὶ Μένανδρος ἐν Ὕδατι· τὸν ἐμὲ τουτονί.* Lege *ἐν Ὑμνίδι.* Alteri versui quomodo medear non habeo, nisi forte *εὕρῃ* scribendum, id ut a superioribus, quae omissa sunt, pendeat.

464 V (4, 210)

Οὐ πῦρ γὰρ αἰτῶν, οὐδὲ λοπάδ' αἰτούμενος.

Harpocratio s. v. *ἠτημένην* p. 94: *αἰτεῖσθαι ἔλεγον τὸ χιχρᾶσθαι. Μένανδρος ἐν τῇ Ὑμνίδι Οὐ πῦρ γάρ κτλ.* Idem versus, quem etiam in Dyscoli fragm. p. 894 habuimus, ex Hymnide citatur ab Ammonio p. 5, Suida s. v. *αἰτήσασθαι* et Grammat. Bekk. p. 359, ubi *ἀλλὰ λοπάδ'*. Idem p. 360: *αἰτήσασθαι τὸ χρήσασθαι. οὕτω Μένανδρος.* Adde Antiatt. p. 81 18.

465 VI (4, 210)

Etymol. Gud. p. 321 28: *Μένανδρος ἐν Ὑμίδῃ χιγχλισμός φησιν ἀντὶ τοῦ τάραχος.* Leg. *ἐν Ὑμνίδι.* Zonaras II p. 1209: *χιγχλισμὸς ἀντὶ τοῦ τάραχος. οὕτω Μένανδρος.* Cfr. ib. 1215 et cod. Bar. apud Bekk. Anecd. p. 1459.

466. 467 VII VIII (4, 210)

Hesychius, *Παρυφίς: Μένανδρος ἐν Ὑμνίδι.* Grammat. Bachmanni Anecd. I p. 357. *Πόσθων: ὁ παιδαριώδης καὶ ἀναγωγός. Μένανδρος ἐν Ὑμνίδι.* Photius, *Πόσθων: δηλοῖ δὲ καὶ τὸν παιδαριώδη καὶ ἄφρονα κατὰ μεταφοράν.* Hesychius, *Σμόρδωνες: ὑποχοριστικῶς ἀπὸ τῶν μορίων, ὡς πόσθωνες.*

468 IX (4, 211)

Hesychius, *Βάκηλος: ὁ μέγας ἢ ἀνόητος, ἢ ὁ ἀπόκοπος, ὁ ὑπ' ἐνίων γάλλος. οἱ δὲ ἀνδρόγυνος. ἄλλοι παρειμένος, γυναικώδης. παρὰ Μενάνδρῳ Ὑμνίδι.*

ΥΠΟΒΟΛΙΜΑΙΟΣ Η ΑΓΡΟΙΚΟΣ

469 I (4, 211)

Μικρὰ Παναθήναι' ἐπειδὴ δι' ἀγορᾶς πέμποντά σε,
Μοσχίων, μήτηρ ἑώρα τῆς κόρης ἐφ' ἅρματος.

Photius, *Πέμπειν: τὸ πομπεύειν. Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ Μικρὰ Παναθήναια κτλ.* Eadem Suidas v. *πέμπειν.*

470 II (4, 211. 212)

Τοῦτον εὐτυχέστατον λέγω,
ὅστις θεωρήσας ἀλύπως, Παρμένων,
τὰ σεμνὰ ταῦτ' ἀπῆλθεν, ὅθεν ἦλθεν, ταχύ,

τὸν ἥλιον τὸν κοινόν, ἄστρ᾽, ὕδωρ, νέφη,
πῦρ· ταῦτα κἂν ἑκατὸν ἔτη βιῷς ἀεί
ὄψει παρόντα, κἂν ἐνιαυτοὺς σφόδρ᾽ ὀλίγους,
σεμνότερα τούτων ἕτερα δ᾽ οὐκ ὄψει ποτέ.
Πανήγυριν νόμισόν τιν᾽ εἶναι τὸν χρόνον,
ὃν φημι, τοῦτον ἢ ᾽πιδημίαν, ἐν ᾧ
ὄχλος, ἀγορά, κλέπται, κυβεῖαι, διατριβαί·
ἂν πρῶτον ἀπίῃς καταλύσεις, βελτίονα
ἐφόδι᾽ ἔχων ἀπῆλθες ἐχθρὸς οὐδενί·
ὁ προσδιατρίβων δ᾽ ἐκοπίασεν ἀπολέσας,
κακῶς τε γηρῶν ἐνδεής του γίνεται,
ῥεμβόμενος ἐχθροὺς ηὗρ᾽, ἐπεβουλεύθη ποθέν,
οὐκ εὐθανάτως ἀπῆλθεν ἐλθὼν εἰς χρόνον.

Stobaeus Flor. CXXI 7. Vs. 4 ἄστρ᾽ pro ἀστέρα Bentleius. Cod. A ἀστέρας. Vs. 5 libri ἔτη κἂν ἑκατόν. Transposuit Porsonus. Tum vulgo *βιώσεται*. A *βιώσηται*, B *βιώσεαι*, Porsonus *βιῷς ἔτι*. Ipse scripsi *βιῷς ἀεί*. Vs. 7 δ᾽ addidit Porsonus. Quae sequuntur inde a versu octavo, fortasse a superioribus distinguenda sunt. Vs. 8 cf. mon. 444. Vs. 9 ἢ ᾽πιδημίαν, ἐν ᾧ Porsonus. Vulgo ἐπιδημίαν ἀνθρώπῳ. Codd. Par. et Voss. τὴν ἐπιδημίαν ανω. Iacobsius τὸν ἐπιδημίας ἐν ᾧ. Vs. 11 πρῶτον ἀπίῃς codd. Par. Voss. et Arsen. πρῶτος ἀπέλθῃς vulgo. Porsonus πρῶτ᾽ ἀπέλθῃς. Vs. 13 vulgo δὲ κοπιάσας ἀπώλεσεν. Correxit Porsonus. Cod. A σκοπιάσας ἀπώλεσεν.

III a. b (212. 213) 471. 472

Παύσασθε νοῦν ἔχοντες· σὐδὲν γὰρ πλέον
ἀνθρώπινος νοῦς ἐστιν ἄλλο τῆς τύχης,
εἴτ᾽ ἐστὶ τοῦτο πνεῦμα θεῖον εἴτε νοῦς.
τοῦτ᾽ ἔστι τὸ κυβερνῶν ἅπαντα καὶ στρέφον
καὶ σῶζον, ἡ πρόνοια δ᾽ ἡ θνητὴ κἀπνός
καὶ φλήναφος. πείσθητε κοὐ μέμψεσθέ με·
πάνθ᾽ ὅσα νοοῦμεν ἢ λέγομεν ἢ πράττομεν
τύχη ᾽στίν, ἡμεῖς δ᾽ ἐσμὲν ἐπιγεγραμμένοι.
Τύχῃ κυβερνᾷ πάντα. ταύτην καὶ φρένας
δεῖ καὶ πρόνοιαν τὴν θεὸν καλεῖν μόνην,
εἰ μή τις ἄλλως ὀνόμασιν χαίρει κενοῖς.

Stobaeus Ecl. phys. I p. 192 ed. Heer. Vs. 2 ἄλλο pro ἀλλ᾽ ὁ L. Bosius. Dobraeus *νοῦς ἐστιν, ἀλλὰ τὸ τῆς τύχης, — εἴτε νοῦς, τοῦτ᾽ ἔστι* etc. Vs. 7 πάνθ᾽ ὅσα Salmasius. Vulgo ἅπανθ᾽ ὅσα. Tum λέγομεν est Canteri emendatio pro γέγονεν. Vs. 8

τύχης ἐστί ante Grotium. Inde a nono versu novum fragmentum incipere monui iam in edit. pr. Vs. 10 pro θεὸν Bentleius θεῶν.

473 IV (4, 213)

Τὰ δεύτερ' ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν,
τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν.
οἶκος δ' ἐν ᾧ τὰ πάντα πρωτεύει γυνή,
οὐκ ἔστιν ὅστις πώποτ' οὐκ ἀπώλετο.

Stobaeus Flor. LXXIV 5. Vs. 3 ante Bentleium οἰκία δ' ἐν ᾗ πάντα, et vs. 4 ἥτις. Pro πάντα πρωτεύει codd. Paris. πρωτεύει πάντα.

474 V (4, 214)

Τοῦτο μόνον ἐπισκοτεῖ
καὶ δυσγενείᾳ καὶ τρόπου πονηρίᾳ
καὶ πᾶσιν οἷς ἔσχηκεν ἄνθρωπος κακοῖς,
τὸ πολλὰ κεκτῆσθαι· τὰ δ' ἄλλ' ἐλέγχεται.

Stobaeus Flor. XCI 9. Vs. 2 libri δυσγένειαν et πονηρίαν. Correxit Bentleius.

475 VI (4, 214)

Οὐ παντὸς ἀγαθοῦ τὴν πρόνοιαν αἰτίαν
κρίνων ἂν ὀρθῶς ὑπολαβεῖν τίς μοι δοκεῖ,
ἀλλ' ἔστι καὶ ταὐτόματον ἔνια χρήσιμον.

Stobaeus Ecl. phys. I p. 196 ed. Heer.

476 VII (4, 214)

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν.
ἐν παντὶ καιρῷ τοῦτ' ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

Stobaeus Flor. XI 11.

477 VIII (4, 214)

Πολλῶν κατὰ γῆν καὶ κατὰ θάλατταν θηρίων
ὄντων, μέγιστόν ἐστι θηρίον γυνή.

Stobaeus Flor. LXXIII 56 cum lemmate Ὑποβολιμαίου, omisso Menandri nomine, quae res fraudi fuit Photio Bibl. 115 19, ut poetam *Hypobolimaeum* comminisceretur.

478. 479 IX X (4, 215)

Ἄπολλον, ἀλλὰ σκαιὸν οὐ μετρίως λέγεις,
μετὰ μαρτύρων ἀτυχεῖν, παρὸν λελῆθέναι.

Stobaeus Flor. CIX 3.

Δυσπαρακολούθητόν τι πρᾶγμ' ἐστὶν τύχη.

Stobaeus Ecl. phys. II p. 8 ed. Heer. Idem versus infra legitur in monost. sentent. 660, ubi *δὲ* editur pro *τι*, et *ἔσθ' ἡ*.

XI (4, 215) 480

Τὸν ἄμητα, Χαίριππ', οὐκ ἐᾷς πέττειν τινά.

Athenaeus XIV p. 644 f: *ἄμης πλακοῦντος γένος. Μένανδρος ἐν Ὑποβολιμαίῳ Τὸν ἄμητα κτλ.* Ita Porsonus. Cod. A *Χαιρίππου κέαι ἐς πέττιν.*

XII (4, 215) 481

Ὡς μηδὲν ἀποκρινουμένῳ δ' οὕτω λαλεῖν.

Grammat. Bekkeri p. 429: *Ἀποκρινεῖται λέγουσι μᾶλλον ἢ ἀποκριθήσεται. Μένανδρος — Ὑποβολιμαίῳ Ὡς μηδέν κτλ.* Eadem Suidas s. v. *ἀποκρίθητι*, ubi *ἀποκρινούμενα* editur. Pro *δ' οὕτω* forsan *τούτῳ, mihi.*

XIII (4, 215) 482

Γέρων ἀπεμέμνκτ' ἄθλιος λέμφος.

Ammonius p. 88: *λέμφοι παρὰ Ἀττικοῖς οἱ κορυζώδεις ἐλέγοντο καὶ μυξώδεις. Μένανδρος Ὑποβολιμαίῳ Γέρων κτλ.* Editur vulgo *ἀμέμικτ'*. Correxit Burmannus.

XIV (4, 216) 483

Schol. Aristoph. Lysistr. 378: *περὶ γαμηλίων λουτρῶν Μένανδρος ἐν Κρητί φησι καὶ ἐν Ὑποβολιμαίῳ.*

XV (4, 216) 484

Quintilianus I 10 18: *apud Menandrum in Hypobolimaeo senex reposcenti filium patri velut rationem impendiorum, quae in educationem contulerit, opponens, psaltis se et geometris multa dicit dedisse.* Ea Menander ita fortasse extulerat, *Ψάλταις ἔδωκα καὶ γεωμέτραις πολύ.*

De alio fragmento, quod dubitari potest num recte ad Hypobolimaeum referatur, v. ad Heniochum p. 906.

Φ A N I O N

I (4, 217) 485

Ὑπελήλυθέν τέ μου
νάρκα τις ὅλον τὸ δέρμα.

Athenaeus VII p. 314 b: *Νάρκη. Μένανδρος δὲ ἐν Φανίῳ διὰ τοῦ α ἔφη Ὑπελήλυθεν κτλ. μηδενὸς τῶν παλαιῶν οὕτω*

κεχρημένον. Ex Athenaeo repetiit Eustathius p. 1173 47. Dobraeus *ὅλον τὸ δέρμα νάρκα τις.*

486 II (4, 217)

Φειδωλὸς ἦν καὶ μέτριος ἀγοραστής.

Athenaeus IV p. 171 a: *παρὰ δὲ Μενάνδρῳ ἐστὶ κοινότερον (ἀγοραστής) ἐν Φανίῳ Φειδωλὸς ἦν κτλ.*

487 III (4, 217)

Οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν
τὰ φαῦλα μείζω καὶ τὰ δεῖν' ὑπέρφοβα,
πυργοῦντες αὑτούς.

Stobaeus Flor. CII 3 cum lemmate ex cod. A *κατὰ ἰατρῶν Μιμνέρμου Νάννου.* Trinc. simpliciter *Μιμνέρμου.* Voss. *Μιμνέρμου κατὰ τῶν ἰατρῶν.* Legendum videtur cum Porsono *Μενάνδρου.* Pro *Νάννου* suspicor *Φανίου.*

Φ Α Σ Μ Α

Cognominem Luscii Lavinii fabulam e Menandrea expressam fuisse testatur Terentius Eunuch. Prol. 9: ***Idem Menandri Phasma nunc nuper dedit***, ubi Donatus: ***Phasma nomen est fabulae Menandri, in qua noverca superducta adolescenti, virginem, quam ex vicino quodam conceperat, furtim eductam cum haberet in latebris apud vicinum proximum, hoc modo secum habebat assidue, nullo conscio. Parietem, qui medius inter domum matris ac vicini fuerat, ita perfodit, ut in ipso transitu sacrum locum esse simularet. Quumque transitum intenderet sertis ac fronde felici, rem divinam saepe faciens evocabat ad se virginem. Quod quum animadvertisset adolescens, primum adspectu pulchrae virginis velut numinis visu perculsus exhorruit; unde Phasma est nomen fabulae. Deinde paulatim re cognita exarsit in amorem puellae, ita ut remedium tantae cupiditatis nisi ex nuptiis non reperiretur. Ita ex commodo matris et virginis et ex voto amatoris consensuque patris nuptiarum celebratione finem accipit fabula.*** Menandrum hac fabula metro ithyphallico usum esse docet Atilius Fortunat. p. 2672. Nec omittendus Fronto Anth. Pal. XII 233.

488 I (4, 218)

Ἐπισημαίνεσθ' ἐάν
ἡ σκευασία καθάριος ᾖ καὶ ποικίλη.

Athenaeus XIV p. 661 f de coquorum artibus dicens: *καὶ*

Μένανδρος ἐν Φάσματι Ἐπισημαίνεσθαι ἐάν κτλ. Correxit Bentleius.

II (4, 219) 489

Hesychius, *Ἔμβαρος: ἠλίθιος, μωρός, ἢ νουνεχής. Μένανδρος Φάσματι.* Menandri fortasse verba sunt quae apud Suidam v. *ἔμβαρος* unus codex habet, *ἔμβαρός τις οὑτοσί.* Ceterum vide Leutschium ad Paroem. graec. p. 403.

ΦΙΛΑΔΕΛΦΟΙ

I (4, 219) 490

Ἤδη δ' ἐπίχνοις, διάλιθοι λαβρόνιοι,
Πέρσαι δ' ἔχοντες μυιοσόβας ἑστήκεσαν.

Athenaeus XI p. 484d de labroniis agens: *Μένανδρος — ἐν Φιλαδέλφοις Ἤδη δ' ἐπίχνοις κτλ.* Ad vs. 2 respexit Pollux X 94.

II (4, 219) 491

Ὥστ' ἔγωγ' ἂν εἰλόμην που σαννίῳ πεπληγμένος.

Pollux X 143: *ἐπὶ τοῦ δόρατος (τὸ σαννίον) ἐν Φιλαδέλφοις Μενάνδρου Ὥστ' ἔγωγ' ἄν κτλ.*

III (4, 219) 492

Οὐ ῥᾴδιον
ἄνοιαν ἐν μικρῷ μεταστῆσαι χρόνῳ.

Stobaei App. Flor. p. 35 18. Cfr. fragm. 255.

IV (4, 220) 493

Νὴ τὸν Δία τὸν μέγιστον ἐκτυφήσομαι.

Schol. Eurip. Phoen. 1160: *τύφεσθαί ἐστι τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. Μένανδρος ἐν Φιλαδέλφοις Νὴ τὸν Δία κτλ.* Cod. Aug. *μὰ τὸν Δία* et *ἐκτυφώσομαι.*

V (4, 220) 494

Ὡς ἡδὺ τὸ ζῆν, εἰ μεθ' ὧν χρίνῃ τις ἄν.

Stobaeus Flor. CXXI 5. Scripsi *χρίνῃ* pro edito *χρίνει.*

ΧΑΛΚΕΙΑ

I (4, 220) 495

Gramm. Bekk. p. 411: *Ἀντήλιος, ἡ ἀνακλωμένη ἀπὸ τοῦ ἡλίου αὐγή. ἔστι δὲ ἐν Χαλκείοις Μενάνδρου τοὔνομα.*

II (4, 220) 496

Τοῦτο δὴ τὸ νῦν ἔθος,
ἄκρατον, ἐβόων, τὴν μεγάλην· ψυκτῆρά τις
προὔπινεν αὐτοῖς ἀθλίους ἀπολλύων.

Athenaeus XI p. 502e: *Μένανδρος δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Χαλκεῖά φησι Τοῦτο δή κτλ.* Ante Bentleium *τὴν μεγάλην ψυκτῆρα — αὐτοὺς ἀθλίους ἀπώλλυον.* Dobraeus *προὔπινεν ἂν* (vel *αὖ*) *τοὺς ἀθλίους.*

497 III (4, 220)

Οὐκ ἂν γένοιτ' ἐρῶντος ἀθλιώτερον
οὐδὲν γέροντος πλὴν ἕτερος γέρων ἐρῶν·
ὃς γὰρ ἀπολαύειν βούλεθ' ὧν ἀπολείπεται
διὰ τὸν χρόνον, πῶς οὗτος οὐκ ἔστ' ἄθλιος;

Stobaeus Flor. CXVI 9 cum lemmate *τοῦ αὐτοῦ Χαλκεῖα.* Gesnerus *Χαλκείᾳ.*

De titulo fabulae vide Harpocrat. p. 183: *τὰ Χαλκεῖα ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη πυανεψιῶνος ἕνῃ καὶ νέᾳ. — γέγραπται δὲ καὶ Μενάνδρῳ δρᾶμα Χαλκεῖα.*

X A A K I Σ

498 (4, 221)

Photius et Suidas, *Πέμπτη φθίνοντος: ἐν ταύτῃ αἱ τῆς μοιχείας γραφαὶ ἐδίδοντο. Μένανδρος Χαλκίδι.* Corrigunt *Χαλκείοις.*

X H P A

499 I (4, 221)

Τὸ λεγόμενον τοῦτ' ἐστὶ νῦν,
τἄνω κάτω, φασίν, τὰ κάτω δ' ἄνω.

Schol. Platonis Bekk. p. 359: *παροιμία ἄνω κάτω πάντα. Μένανδρος Ἐγχειριδίῳ, καὶ ἐν Χήρᾳ Τὸ λεγόμενον κτλ.*

500 II (4, 221)

Βοῶν ποιείτω τὴν πόλιν διάστατον.

Harpocratio p. 60 16: *διαστῆσαι ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι — Μένανδρος Χήρᾳ Βοῶν ποιείτω κτλ.* Libri *διαστατῶν.* Correxit Valesius.

501 III (4, 222)

Πρὸς τὴν ἀδελφὴν ἀνάδοχον τῶν χρημάτων.

Suidas s. v. *ἀνάδοχος. Ἀνάδοχον, οὐκ ἀναδοχέα λέγουσιν. Μένανδρος Χήρᾳ Πρὸς τήν κτλ.*

502 IV (4, 222)

Ἐκοῦσα δ' ἀδελφὴ ποιήσει τοῦτό σοι
ἀντάλλαγόν γ' ἔξουσα τούτῳ διδομένη.

Suidas s. v. *ἀντάλλαγος*. *Μένανδρος Καννηφόρῳ Ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα ἀντάλλαγον. Χήρᾳ Ἐκοῦσα κτλ.* Ita Hermannus. Vulgo *ἑκοῖσα δ' ἡ ἀδελφὴ ποιήσει τούτοις οἱ ἀντάλλαγον ἔξεις ὁ τούτῳ δεδομένην* (A. C. *διδομένην*). Bernhardius praeterea vs. 1 *παρήσει* pro *ποιήσει* et vs. 2 *τούτων διδομένην* (*τὴν θυγατέρα*).

V (4, 876) 503

Schol. Platon. p. 227 Bait.: *μέμνηται αὐτῆς* (proverbii *δὶς παῖδες οἱ γέροντες*) *Κρατῖνος ἐν Δηλιάσι — καὶ Μένανδρος Χήρᾳ καὶ Ἀριστοφάνης Νεφέλαις ἀ* (Nub. 1417).

ΨΕΥΔΗΡΑΚΛΗΣ

I (4, 222. 223) 504

Μάγειρ', ἀηδής μοι δοκεῖς εἶναι σφόδρα·
πόσας τραπέζας μέλλομεν ποιεῖν, τρίτον
ἤδη μ' ἐρωτᾷς· χοιρίδιον ἓν θύομεν,
ὀκτὼ ποιήσοντες τραπέζας δ' ἢ μίαν,
τί σοὶ διαφέρει τοῦτο; παράθες σημίαν.
οὐκ ἔστι κανδύλους ποιεῖν, οὐδ' οἷα σύ
εἴωθας εἰς ταὐτὸν καρυκεύειν, μέλι,
σεμίδαλιν, ᾠά. πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς.
ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη
κρεάδι' ὀπτᾷ καὶ κίχλας τραγήματα.
ἔπειθ' ὁ δειπνῶν μὲν τραγηματίζεται,
μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν
δειπνεῖ μελίπηκτα τὰς κίχλας.

Athenaeus IV p. 172 a: *Μένανδρος Ψευδηρακλεῖ, καταμεμφόμενος τοὺς μαγείρους ὡς ἐπιχειροῦντας καὶ οἷς μὴ δεῖ, φησίν Μάγειρ', ἀηδής κτλ.* Partem eclogae inde a vs. 6—13 iterum apposuit XIV p. 644 c. Sunt *τραπεζοποιοῖ* ad coquum verba, quod nomen fortasse ex hac ipsa fabula exsignavit Photius s. v. *Τραπεζοποιός*. Cfr. Etym. M. p. 763 46. Vs. 3 et 4 "Emendavi librorum scripturam *θύομεν. ὀκτὼ ποίησον τὰς τραπέζας δύο μίαν.* Meinekius inchoata, non perfecta emendatione *ποιήσω τὰς τραπέζας ἢ μίαν*" Dindorfius. Vs. 5 Bentleius *παραθήσω μίαν.* Dindorfius *διαφέρει; τοῦτο παράθες Σιμία.* In quo *Σιμία* verum videtur; ceterum malim *τί σοὶ διαφέρει τοῦτο; πάραγε Σιμία.* Vs. 7 *καρυκεύειν* BP et altero

loco omnes. Vulgo *καρυκεύειν*. V. edit. pr. Vs. 9 *ἐγχύτους* ex altero loco editum. Cod. A *ἐνπιχυχέτους*. Vs. 10 libri *ἔψει*. Vs. 13 altero loco libri *ὀπτούς*. Ibid. *καὶ* ante *τραγήματα* delevit Schweighaeuserus. Vs. 16 libri *τὰ μελίπηκτα ταῖς κίχλαις*. Correxit Porsonus.

505 II (4, 223)

Νῦν δ' εἰς γυναικωνῖτιν εἰσιόνθ' ὅταν
ἴδω παράσιτον, τὸν δὲ Δία τὸν κτήσιον
ἔχοντα τὸ ταμιεῖον οὐ κεκλεισμένον,
ἀλλ' εἰστρέχοντα πορνίδια.

Harpocratio p. 115: *Κτήσιον Δία ἐν τοῖς ταμιείοις ἱδρύοντο. Μένανδρος Ψευδηρακλεῖ Νῦν δ' εἰς γυναικωνῖτιν κτλ.*

506 III (4, 224)

Μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυοῖν
ταύταιν· τρέφει δὲ παλλακή τις τοῦ πατρός
αὐτάς, ἅβρα τῆς μητρὸς αὐτῶν γενομένη.

Suidas v. *ἅβρα. οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή. Μένανδρος Ψευδηρακλεῖ Μήτηρ τέθνηκε κτλ.* Cfr. Eustathius p. 1854 16.

507 IV (4, 224)

Ὑπὲρ μὲν οἴνου μηδὲ γρῦ, τιτθή, λέγε,
ἂν τἄλλα δ' ἧς ἄμεμπτος, ἕκτην ἐπὶ δέκα
βοηδρομιῶνος ἐνδελεχῶς ἕξεις ἀεί.

Ammon. p. 67: *Μένανδρος ἐν Ψευδηρακλεῖ Ὑπὲρ μὲν οἴνου κτλ.* Vs. 2 vulgo *εἰς τὴν ἕκτην*. MS Mus. Brit. *εἰς τὴν ἕκτην ἐπὶ δέκα*. Porsonus Misc. p. 253 *ἕκτην ἐπὶ δέκα*, cll. Polyaeno lib. III p. 101 ed. Cor. Aptius Plutarchum attulisset Phoc. cap. VI.

508 V (4, 224)

Ἀστοργίαν ἔχει τίν' ὁ σκληρὸς βίος.

Stobaeus Flor. XVI 10.

509. 510 VI VII (4, 225)

Athenaeus XIII p. 587 b: *Μένανδρος δ' ἐν Ψευδηρακλεῖ φησιν Οὐκ ἐπείρα Νάννιον;* Cfr. Photius s. v. *Πειρᾶν*. Photius, *Καρκίνου ποιήματα. Μένανδρος Ψευδηρακλεῖ, αἰνιγματώδη*. Eadem Suidas.

511 VIII (4, 225)

Plutarchus de aud. et adul. p. 59 e: *ἐν κωμῳδίᾳ Μενάνδρου Ψευδηρακλῆς πρόσεισι, ῥόπαλον κομίζων οὐ στιβαρὸν οὐδ' ἰσχυρόν, ἀλλὰ χαῦνόν τι πλάσμα καὶ διάκενον.*

Ψ Ο Φ Ο Δ Ε Η Σ

I (4, 225) 512

Ἐπίσημον αὖ τὴν ἀσπίδ' εἰς τὴν τοῦ Διός
στοὰν ἀνέθηκαν.

Grammaticus Barocc. in Museo phil. Oxon. II p. 113: *Μένανδρος ἐν Ψοφοδεεῖ Ἐπίσημον κτλ.* Vs. 1 *τοῦ* additum ex Boissonadii Anecd. III p. 240, ubi pro *αἴ* legitur *οὖν*.

II III (4, 225. 5, 106) 513. 514

Photius, *Ὄνος λύρας: Μένανδρος Ψοφοδεεῖ. ἡ δ' ὅλη παροιμία Ὄνος λύρας ἦκουε καὶ σάλπιγγος ὗς.* Suidas *ἡ δ' ὅλη* omittit. Herod. dict. sol. p. 42 11. *Νοῦθος κύριον Ψοφοδεεῖ*, ex emendatione Schneidewini.

IV (4, 226) 515

Harpocrat. p. 144 23: *Πάναχτος . . . ἀρσενικῶς Μένανδρος ἐν Ψοφοδεεῖ.* Cfr. Photium et Suidam. Praeterea fabulam commemorat Quintil. X 1 70.

INCERTARVM FABVLARVM FRAGMENTA

I (4, 226) 516

Ἢ μὴ γαμεῖν γάρ, ἂν δ' ἅπαξ λάβῃς, φέρειν
μύσαντα πολλὴν προῖκα καὶ γυναῖκα δεῖ.

Stobaeus Floril. LXXIV 27. Qui his subiiciuntur sedecim versus non Menandri sunt, sed Euripidis, de qua re copiose dictum est Quaest. Menandr. spec. Berol. 1818.

II (4, 227) 517

Εἰ γὰρ ἐγένου σύ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ τε διατελεῖν
πράττων ἃ βούλει καὶ διευτυχεῖν ἀεί,
καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγαναχτεῖς· ἔστι γάρ σ' ἐψευσμένος
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις
ἐφ' οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα
τὸν κοινόν, ἵνα σοι καὶ τραγικώτερον λαλῶ,
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
ταπεινότητα ζῷον οὐθὲν λαμβάνει.
καὶ μάλα δικαίως· ἀσθενέστατον γὰρ ὄν
φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν,

ὅταν πέσῃ δέ, πλεῖστα συντρίβει καλά.
σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρόφιμ', ἀπώλεσας
ἀγαθά, τὰ νυνὶ δ' ἔστι μέτρια σοι κακά.
ὥστ' ἀνὰ μέσον που καὶ τὸ λοιπὸν δὴ φέρε.

Plutarchus Consol. Apoll. p. 103 d: *εἰς ἃς (τύχας) διαβλέψας ἄν τις οὐκ ἀπεικότως εἴποι — τὸ ὑπὸ τοῦ Μενάνδρου ῥηθέν Εἰ γὰρ ἐγένου κτλ.* Cfr. Pseudo-Plutarchum de Nobil. vol. V p. 639 ed. pr. Wyttenb. Vs. 2 *ἐφ' ᾧ τε* Schaeferus. Vulgo *ἐφ' ᾧ γε.* Vs. 3 libri *πράσσων.* Tum *διευτυχεῖν* pro *διευτυχῶν* Pseudo-Plutarchus. Vs. 5 *σ'* addidit Grotius. Vs. 8 *σοί τι* Pseudo-Plutarchus. Possis *τί σοι.* Vs. 11 quattuor codd. Paris. pro *ὕψος* habent *οἶκτον,* quod ex *ὄγκον* corruptum suspicatur Dübnerus. Vs. 13 codd. Par. *ἀσθενέστερον.* Vs. 14 pro *οἰκονομεῖται* fortasse *διαπονεῖται* scribendum. Vs. 17 vulgo *τὰ νῦν δ' ἔστι μ. καὶ τά σοι κακά.* Plurimi tamen libri *καὶ τὰ* omittunt. Correxit Bentleius. Vs. 18 pro *δή,* quod plurimi libri omittunt, Bentleius *εὖ.* Cod. Periz. *ὥστ' ἂν μέσον που καὶ τὸν λοιπὸν φέρε.* Wyttenbachius *ὥστ' ἀνὰ μέσον που καὶ σὺ τῶν λοιπῶν φέρει.*

518 III (4, 228. 229)

Καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνήμεθα.
οὐκ ἐξετάζειν μὲν τὰ μηδὲν χρήσιμα,
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τήθη δὲ τίς,
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' ἐξετάσαι μήτ' εἰσιδεῖν·
ἀλλ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα
εἰ τἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδῃ,
ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται,
τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ
μὴ δοκιμάσασθαι μηδέν, ἀλλ' εἰκῇ λαβεῖν,
ἀγνώμον', ὀργίλην, χαλεπήν, ἐὰν τύχῃ,
λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα
τὴν πόλιν ὅλην· οἱ βουλόμενοι ταύτην λαβεῖν,
λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακόν
λήψεσθ'· ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχὴς ἐσθ' ὁ μετριώτατον λαβών.

Stobaeus Floril. LXXII 2. Vs. 2 *ὡς ὠνήμεθ' ἄν?* Vs. 4 legebatur *τιτθή.* Cod. A *τιθή.* Vs. 6 libri *ἰδεῖν,* pro quo *εἰσιδεῖν* scripsi. Bentleius *ἐξετάσαι* mutabat in *ἐξετάζειν.*

IV (4, 229) 519

Ἀπολεῖ με τὸ γένος. μὴ λέγ', εἰ φιλεῖς ἐμέ,
μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσόν,
ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους ὅσοι·
οὐδὲν δ' ἔχουσι πλεῖον, οὐδ' ἐρεῖς ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
εἰ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά,
κἂν Αἰθίοψ ᾖ, μῆτερ, ἔστιν εὐγενής.
Σκύθης τίς; ὄλεθρος· ὁ δ' Ἀνάχαρσις οὐ Σκύθης;

Stobaeus Floril. LXXXVI 6 et iterum, sed tribus postremis versibus omissis LXXXVII 4. Priore loco Epicharmo, altero Menandro tribuitur. Vs. 4 pro *ἐκεῖσε* pr. loco B et altero libri *εἰς τοῦτο*. Ibid. pr. loco codd. *κτήματα*. Vs. 6 vulgo *οὐδένα δ' ἔχοις ἰδεῖν ἂν οὐδ' εἰπεῖν*. At codd. altero loco *οὐδὲν ἔχουσι πλεῖον οὐδ' ἐρεῖ*. Hinc correxit ut edidi Valcken. Diatr. p. 150 c. Atque ita plane primo loco B. Vs. 8 *οἳ μὴ* Bothius. Vs. 13 *Σκύθης τίς; ὄλεθρος* Porsonus. Vulgo *Σκύθης τις ὄλεθρος*.

V (4, 230) 520

Ἅπαντα τὰ ζῷ' ἔστι μακαριώτερα
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως·
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίνεται,
ἃ δ' ἡ φύσις δέδωκεν αὐτὰ ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεν.
λυπούμεθ' ἂν πτάρῃ τις, ἂν εἴπῃ κακῶς
ὀργιζόμεθ', ἂν ἴδῃ τις ἐνύπνιον σφόδρα
φοβούμεθ', ἂν γλαὺξ ἀναχράγῃ δεδοίκαμεν.
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Stobaeus Flor. XCVIII 8. Vs. 1 ante Grotium *μακαριώτατα*. Vs. 6 *αὐτῷ*, quod vulgo ante *ταῦτ'* est, codd. omittunt. B *δέδωκε ταῦτ' ἔχει μόνα* ex manifesta interpolatione. Itaque scripsi

δέδωκεν αὐτὰ ταῦτ' ἔχει. Vs. 10 valde invenustum et iners est σφόδρα. Pro ἂν A habet ἐάν. Itaque scribe: ὀργιζόμεσθ', ἐὰν ἴδῃ τις ἐνύπνιον, φοβούμεθ' κτλ.

521 VI (4, 231)

Εἶτ' οὐ δικαίως προσπεπατταλευμένον
γράφουσι τὸν Προμηθέα πρὸς ταῖς πέτραις,
καὶ γίνετ' αὐτῷ λαμπάς, ἄλλο δ' οὐδὲ ἕν
ἀγαθόν; ὃ μισεῖν οἶμ' ἅπαντας τοὺς θεούς,
γυναῖκας ἔπλασεν, ὦ πολυτίμητοι θεοί,
ἔθνος μιαρόν. γαμεῖ τις ἀνθρώπων, γαμεῖ;
λάθριοι τὸ λοιπὸν ἂρ' ἐπιθυμίαι κακαί,
γαμηλίῳ λέχει τε μοιχὸς ἐντρυφῶν,
καὶ φαρμακεῖαι, καὶ νόσων χαλεπώτατος
φθόνος, μεθ' οὗ ζῇ πάντα τὸν βίον γυνή.

Lucianus Amor. II p. 445 Amst. καταράσεται Προμηθεῖ τὴν Μενάνδρειον ἐκείνην ἀπορρήξας φωνὴν Εἶτ' οὐ δικαίως κτλ. Vs. 6 Bothius ἔθνος μιαρὸν γάρ· εἴ τις ἀνθρώπων γαμεῖ. Malim ἔθνος μιαρόν· εἰ γάρ τις ἀνθρώπων γαμεῖ. Vs. 7 τὸ ante λοιπὸν addidit Guietus. Idem κακαὶ pro edito καί. Pro ἂρ' vulgo γάρ, a pluribus correctum. Vs. 8 τε a nonnullis libris abest. Vs. 9 ἐπιβουλαί, quod libri ante καὶ φαρμακεῖαι habent, delevit Bentleius.

522 VII (4, 231. 232)

Μὰ τὴν Ἀθηνᾶν, ἄνδρες, εἰκόν' οὐκ ἔχω
εὑρεῖν ὁμοίαν τῷ γεγονότι πράγματι,
ζητῶν πρὸς ἐμαυτὸν τί ταχέως ἀπολλύει.
στρόβιλος ἐν ὅσῳ συστρέφεται, προσέρχεται,
προσέβαλεν, ἐξέρριψεν, αἰὼν γίνεται.
ἀλλ' ἐν πελάγει συγκλυσμός; ἀναπνοὴν ἔχει
"Ζεῦ σῶτερ" εἰπεῖν "ἀντέχου τῶν σχοινίων",
ἑτέραν περιμεῖναι χἀτέραν τρικυμίαν·
ναναγίου δ' ἂν ἐπιλάβοι', ἐγὼ δ' ἅπαξ
ἁψάμενός εἰμι καὶ φιλήσας ἐν βυθῷ.

Alexander in Walzii Rhet. VIII p. 441: λεπτολογία ἐστίν, ὅταν ἑνὸς ἑκάστου τῶν συμβεβηκότων ἢ συμβαινόντων τὴν ἀκριβῆ καὶ ἐπὶ λεπτῷ ἐξεργασίαν ποιώμεθα, ὡς παρὰ Μενάνδρῳ ταυτί Μὰ τὴν Ἀθηνᾶν κτλ. Adscripsi locum ex emendatione Porsoni Adv. p. 294, quem vide.

VIII a. b (4, 232) 523. 524

Πάντες μὲν οἱ Θρᾷκες, μάλιστα δ' οἱ Γέται
ἡμεῖς ἁπάντων (καὶ γὰρ αὐτὸς εὔχομαι
ἐκεῖθεν εἶναι τὸ γένος), οὐ σφόδρ' ἐγκρατεῖς
ἐσμέν.
Γαμεῖ γὰρ ἡμῶν οὐδὲ εἷς εἰ μὴ δέκ' ἢ
ἕνδεκα γυναῖκας, δώδεκ' ἢ πλείους τινές.
ἂν τέτταρας δ' ἢ πέντε γεγαμηκὼς τύχῃ
καταστροφῆς τις, ἀνυμέναιος ἄθλιος
ἄνυμφος οὗτος ἐπικαλεῖτ' ἐν τοῖς ἐκεῖ.

Strabo VII p. 297: *ὅρα δ' ἃ λέγει Μένανδρος περὶ αὐτῶν* (Getas dicit), *οὐ πλάσας, ὡς εἰκός, ἀλλ' ἐξ ἱστορίας λαβών. Πάντες — ἐγκρατεῖς ἐσμεν. καὶ ὑποβὰς μικρὸν τῆς περὶ τὰς γυναῖκας ἀκρασίας τίθησι παραδείγματα Γαμεῖ γάρ κτλ.* Vs. 5 *εἰ μὴ δέκ' ἢ* Salmasius. Vulgo *οὐ δέκ' ἤ*. Codd. *οὐδέκ'*. Vs. 6 *δώδεκ' ἢ* Porsonus. Vulgo *δώδεκά τε*. Vs. 9 et 10 *τύχῃ καταστροφῆς* Tyrwhittus. Libri fere *τύχη καταστροφή*.

IX (4, 233) 525

Ὅταν εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήμαθ', ὡς ὁδοιπορεῖς.
ἐνταῦθ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν
καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν
αὐτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων.
ἀλλ' οὐδὲν αὐτῶν τῶνδ' ἐπήρκεσεν χρόνος.
κοινὸν τὸν ᾅδην ἔσχον οἱ πάντες βροτοί.
πρὸς ταῦθ' ὁρῶν γίνωσκε σαυτὸν ὅστις εἶ.

Comparatio Men. et Phil. p. 361: *Μενάνδρου περὶ θανάτου.* Vs. 3 *ἔνεστιν ὀστέα καί* ante Porsonum. Vs. 6 *κἀπὶ* scripsi pro *καί*. Vs. 7 vulgo *καὶ οὐδέν*. Praeterea fortasse *αὐτοῖς* pro *αὐτῶν* et *χρόνον* cum Grotio pro *χρόνος*.

X (4, 233. 234) 526

Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας.
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεούς
τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν
εὔξαι τί βούλει, πάντα σοι γενήσεται,
ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα,

φίλοι, δικασταί, μάρτυρες. μόνον δίδου·
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

Stobaeus Flor. XCI 29 et Compar. Men. et Phil. p. 359. Vs. 2 libri *ἀνέμους ἥλιον γῆν ὕδωρ πῦρ ἀστέρας.* Transposuit Grotius. Possis etiam *ἀνέμους, ὕδωρ, πῦρ, ἀστέρας, γῆν, ἥλιον.* Vs. 4 ante Grotium *ἡμῶν.* Idem in fine versus addebat *μόνον.* Vs. 6 cod. Par. *εὔξαιτ' εἰ βούλει.* Plutarchus de Stoic. absurd. p. 1058 c: *ἐκ τῆς στοᾶς γὰρ λαβόντα τὴν ἀρετὴν ἔστιν εἰπεῖν "εὖξαι εἴτι βούλει, πάντα σοι γενήσεται."* Itaque scribendum videtur *εὖξ' εἴτι βούλει.* Vs. 9 Compar. *τοὺς ὑπηρέτας θεούς.*

527 XI (4, 234)

Ὃ πάντα βουληθεὶς ἂν ἄνθρωπος πονεῖν
πάντ' ἂν γένοιτο· πλούσιος τρόπον τινά·
πάλιν φιλόσοφός τινι μαθήσει χρώμενος·
τὸ σῶμ' ὑγιαίνει τινὰ δίαιταν προσφέρων.
πλὴν ἕν τι τῶν πάντων ἀδύνατον ἦν ἄρα
εὑρεῖν, δι' οὗ τρόπου τις οὐ λυπήσεται.
οὐ γὰρ τὸ μὴ πράττειν κατὰ νοῦν ἔχει μόνον
λύπην, παρέχει δὲ φροντίδας καὶ τἀγαθά.

Stobaeus Flor. XCVIII 19. Vs. 2 vulgo *πᾶς ἂν γένοιτο πλούσιος τρόπον οὗτος.* Quod correxi ut supra exhibui. Pro *πᾶς* codd. Par. *πῶς.* Vs. 8 respicit Philostr. Vit. Apoll. II 36 p. 88: *πολλοὺς οἶδα τῶν σφόδρα ἡγουμένων εὖ πράττειν, οὐδὲ καθεύδειν δυναμένους — καὶ τοῦτ' ἂν εἴη τὸ παρέχειν φροντίδας καὶ τἀγαθά.*

528 XII (4, 235)

Μειράκιον, οὔ μοι κατανοεῖν δοκεῖς ὅτι
ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πάντα τὰ λυμαινόμεν' ἔστιν ἔνδοθεν.
οἷον ὁ μὲν ἰός, ἂν σκοπῇς, τὸ σιδήριον,
τὸ δ' ἱμάτιον οἱ σῆτες, ὁ δὲ θρὶψ τὸ ξύλον.
ὃ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων, φθόνος
φθισικὸν πεποίηκε καὶ ποιήσει καὶ ποιεῖ,
ψυχῆς πονηρᾶς δυσσεβὴς παράστασις.

Stobaeus Flor. XXXVIII 29. Vs. 3 libri *ἔνδοθέν ἐστιν.* Grotius *ἔνεστιν ἔνδοθεν.* Bentleius *λυμαινόμενά γ' ἐστὶν ἔνδοθεν.* Gaisfordus *λυμαινόμεν' ὅσ' ἐστὶν ἔνδοθεν.* Dobraeus *τὸ λυμαινόμενόν ἐστιν ἔνδοθεν.* Quod ceteris praestat. Vs. 4 Voss. *ἐάν.* A *τἂν* et *σκοπη*, superscripto *σ* a m s. Ibid. vulgo *τὸν σίδηρον.* A *τὸ σίδηρον.* Correxit Bentleius. Grotius *τὸν*

σίδηρον ἂν σκοπῇς. Vs. 5 vulgo *ἡ δέ*, codd. *ὁ δέ.* Vs. 7 legendum videtur *φθισικούς.* Dobraeus vs. 6 malebat *σὲ δὲ* pro *σ' ὅ δέ.* Vs. 8 editi *δυσσεβεῖς παραστάσεις*, quod nunc ex codd. correctum. Grotius *δυσσεβὴς παραστάτης.*

XIII (4, 235. 236) 529

Δέρκιππε καὶ Μνήσιππε, τοῖς εἰρημένοις
ἡμῶν ὑπό τινος ἢ πεπονθόσιν κακῶς
ἔστιν καταφυγὴ πᾶσιν, οἱ χρηστοὶ φίλοι.
δεῖ γὰρ ἀποδύρασθαί τι μὴ γελώμενον·
καὶ συναγανακτοῦνθ' ὁπόταν οἰκείως ὁρᾷ
ἕκαστος αὐτῶν τὸν παρόντα, παύεται
τοῦτον μάλιστα τὸν χρόνον τοῦ δυσφορεῖν.

Stobaeus Floril. CXIII 9. Vs. 2 pro *ἡμῶν* B a m s *ἡμῖν.* Vs. 4 cum Porsono Misc. p. 251 scripsi *δεῖ* pro eo quod libri habent *καί.* Vs. 6 forsan *αὐτῷ.*

XIV (4, 236) 530

Τίνι δεδούλωταί ποτε;
ὄψει; φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν
ἤρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει.
ἀλλ' ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται
συνουσίας; πῶς οὖν ἕτερος ταύτην ἔχων
οὐδὲν πέπονθεν, ἀλλ' ἀπῆλθε καταγελῶν,
ἕτερος δ' ἀπόλωλε; καιρός ἐστιν ἡ νόσος
ψυχῆς, ὃ πληγεὶς δ' εἴσω δὴ τιτρώσκεται.

Plutarchus Fragm. vol. V p. 565 ed. Wytt. pr. *καὶ λελάληκεν* (*Μένανδρος*) *περὶ τοῦ πάθους* (amorem dicit) *φιλοσοφώτερον. Ἄξιον γὰρ θαύματος φῆσαι τὸ περὶ τοὺς ἐρῶντας ὥσπερ ἔνεστιν ἅμα λαλεῖ· εἶτα ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτόν Τίνι δεδούλωται κτλ.* Quae immixta sunt Plutarcheis Menandri verba Wyttenbachius ita tentavit: *ἄξιον γὰρ θαύματος, φησί, τὸ περὶ τοῦ ἔρωτος, ὅθεν γένεσιν ἄρα λαμβάνει.* Fortasse igitur poeta scripsit:

Ἄξιον γὰρ θαύματος
τὸ πάθος ἔρωτος ὁπόθεν ἀρχὴν λαμβάνει.

Vs. 7 *δ'* addit Dobraeus. Sequentibus utitur Plutarch. Amat. p. 763 b: *οὐ γὰρ μανθάνομέν γέ που Μενάνδρου λέγοντος, οὐδὲ συνίεμεν "Καιρός ἐστιν ἡ νόσος ψυχῆς· ὃ πληγεὶς δὲ ... τιτρώσκεται." ἀλλ' ὁ θεὸς αἴτιος, τοῦ μὲν καθαψάμενος τὸν*

δ' ἐάσας. Vs. 8 pro εἴσω δὴ Bentleius εἰσβολῇ, Wyttenbachius εἰς ὃ δεῖ, Hermannus εἷς ὁδί.

531 XV (4, 237)

Εἴπερ τὸν ἀδικοῦντ' ἀσμένως ἠμύνετο
ἕκαστος ἡμῶν καὶ συνηγωνίζετο,
ἴσως νομίζων ἴδιον εἶναι τὸ γεγονός·
ἀδίκημα, καὶ συνεπράττομεν ἀλλήλοις πικρῶς,
οὐκ ἂν ἐπὶ πλεῖον τὸ κακὸν ἡμῖν ηὔξετο
τὸ τῶν πονηρῶν, ἀλλὰ παρατηρούμενοι
καὶ τυγχάνοντες ἧς ἔδει τιμωρίας
ἤτοι σπάνιοι σφόδρ' ἂν ἦσαν ἢ πεπαυμένοι.

Stobaeus Floril. XLIII 30. Vs. 1 ante Grotium *ἀδικοῦντα μὲν ὡς*. Vs. 4 *συνεπράττομεν* pro *συνέπραττον* Heringa Observ. crit. p. 273 et alii. Pro *πικρῶς* Voss. *πονηρῶς*. Vs. 5 *ηὔξετο* Bentleius pro vulgato *ἤρξατο*. Grotius *ηὔξατο*. Cod. AB *ηὖξαιτο*. Vs. 8 Voss. *σφόδρα μὲν ἦσαν*.

532 XVI (4, 237)

Ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως,
ἀεὶ δὲ τοῖς παροῦσι δακρύοις ἐμποιεῖ
τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τῷ πάθει.

Schol. Euripidis Phoen. 61: *πῶς δέ, φησίν, Ἰοκάστη μετὰ τοσαῦτα δυστυχήματα ἔζη; ῥητέον, ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλόν. Μένανδρος Ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως κτλ.* Ita haec acute correxit Dobraeus Adv. II p. 270. Vulgo *μὲν ἀνδρός*.

533 XVII (4, 237. 238)

Ἔργον ἐστὶν εἰς τρίκλινον συγγενείας εἰσπεσεῖν,
οὗ λαβὼν τὴν κύλικα πρῶτος ἄρχεται λόγου πατήρ,
καὶ παραινέσεις πέπαικεν, εἶτα μήτηρ δευτέρα,
εἶτα τήθη παραλαλεῖ τις, εἶτα βαρύφωνος γέρων,
τηθίδος πατήρ, ἔπειτα γραῦς καλοῦσα φίλτατον.
ὁ δ' ἐπινεύει πᾶσι τούτοις.

Servavit Athenaeus vol. I p. 276 Schw. (p. 162 Dind.). Vs. 1 addidi *ἐστίν*. Vs. 2 delevi *ὁ* ante *πατήρ*. Vs. 3 *παραινέσεις* Schweigh. Codex *παραίνεσις*. Ibid. *πέπαικεν* corruptum videtur. Vs. 4 fortasse *τηθὶς* propter sequentem versum.

534. 535 XVIII a. b (4, 238)

Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου
ἀγαθός· κακὸν γὰρ δαίμον' οὐ νομιστέον

εἶναι βίον βλάπτοντα χρηστόν.
Ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν.

Clemens Alex. Strom. V p. 727 Pott.: *Μένανδρος δὲ ὁ κωμικὸς ἀγαθὸν ἑρμηνεύων τὸν θεόν, φησίν Ἅπαντι κτλ. εἶτα ἐπιφέρει Ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν, ἤτοι πάντα θεὸν ἀγαθὸν λέγων ἢ ὅπερ καὶ μᾶλλον ἐν πᾶσι τὸν θεὸν ἀγαθόν.* Clementis locum repetiit Eusebius Praep. Ev. XIII p. 403. Priorem fragmenti partem usque ad verba *τοῦ βίου ἀγαθὸς* servavit etiam Plutarchus de Tranqu. an. p. 474 b, ubi pro *συμπαρίσταται* legitur *συμπαραστατεῖ*. Illud praeter Ammianum Marc. XXI 14, ubi duo priores versus leguntur, tuetur scholiasta Theocriti quamvis corruptus ad Idyll. II 28: *Μένανδρός φησι "δαίμων ἀνδρὶ συμπαρίσταται εὐθὺς γινομένῳ"* et Stobaeus Ecl. Phys. I p. 168, ubi itidem priores versus leguntur. **Vs. 5 Dobraeus** *ἀγαθὸν οἴομ' εἶναι.*

XIX (4, 238. 239) 536

Ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἰτοῦ παρὰ θεῶν, ἀλλὰ τὴν μακροθυμίαν.
ὅταν γὰρ ἄλυπος διὰ τέλους εἶναι θέλῃς,
ἢ δεῖ θεόν σ' εἶναί τιν' ἢ τάχα δὴ νεκρόν.
παρηγόρει δὲ τὰ κακὰ δι' ἑτέρων κακῶν.

Compar. Men. et Phil. p. 362: *Μένανδρος περὶ λογισμῶν.* **Vs. 2** ante Bentleium *θεοῦ*. Ibid. *τὴν* addidit Dobraeus, qui **vs. 3** *ἐὰν δ' ἄλυπος*. **Vs. 4** scripsi *σ' εἶναί τιν' ἢ τάχα*. Vulgo *σε εἶναι ἢ τάχα*.

XX (4, 239) 537

Ὅταν τις ἡμῶν ἀμέριμνον ἔχῃ τὸν βίον,
οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαιμονῶν·
ὅταν δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν,
εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν.

Compar. Men. et Phil. p. 357: *Μένανδρος περὶ τύχης*, et Stobaei app. Flor. p. 398 Lps., ubi *Philetae* nomen adscriptum est. **Vs. 1** *τὸν* deest in Stob. appendice. Scribendum puto *ἀμέριμνον ὅταν ἔχῃ τις ἡμῶν τὸν βίον*. **Vs. 2** *εὐδαίμονα* Stobaei appendix. **Vs. 3** *ἐπεὶ* Stobaei appendix. Tum comparatio *ἐπιπέσῃ*. Correxi iam olim *περιπέσῃ*, quod nunc confirmat appendix Stobaei.

XXI (4, 239) 538

Ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων,
ἅπαντα συλῶν τὰ καλὰ τῆς εὐμορφίας,

καὶ μεταχαράττον τὴν μὲν ἀνδρίαν μελῶν
εἰς τἀπρεπές, τὸ δὲ τάχος εἰς ὄκνον πολύν.

Compar. Men. et Phil. p. 357: *Μένανδρος περὶ γήρως.* Vs. 2 addidi *τά.* Vs. 3 *ἀνδρείαν* Heinsius. Bergkius *ἁρμονίαν.* Malim *ἀγλαΐαν* vel simile quid. Vs. 4 *τἀπρεπὲς* Bentleius. Cod. *ἀπρεπές.*

539 XXII (4, 240)

Ἐὰν πονηροῦ γείτονος γείτων ἔσῃ,
πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ·
ἐὰν ἀγαθοῦ δὲ γείτονος γείτων ἔσῃ,
ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.

Compar. Men. et Phil. p. 361: *Μένανδρος περὶ γειτονίας,* et Anecd. Boisson. I p. 151. Vs. 2 Dobraeus *τι παθεῖν.* Tertium et quartum versum foedissime corruptos exhibuit Boissonadius, qui fallitur locum a me omissum existimans. Vs. 3 addidi *δέ* cum Rutgersio, et vs. 4 *ἀγαθὰ* scripsi pro *τἀγαθά.* Ibid. pro *ὡς* Dobraeus *καί.*

540 XXIII (4, 240)

Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια·
λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι
ἀστεῖον εἶναι φάρμακον.

Compar. Men. et Phil. p. 362: *Μένανδρος περὶ λόγου.* Vs. 2 vulgatur *ἔχ' ἰάματα.* Scripsi *ἔχει θελκτήρια* ex schol. Aeschyli Prom. 378, ubi duo priores versus ita leguntur:

λόγος γὰρ ἀνθρώποισιν ἰᾶται νόσους·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια.

Aliam denique lectionem monstrat schol. Venet. ad Iliad. *ό* 393: *Μένανδρος γὰρ ἔφη ὡς ἰατρός ἐστιν ὁ λόγος ἀνθρώποις νόσων. ψυχῶν* (ψυχῆς V) *γὰρ οὗτος μόνος ἔχει κουφίσματα, πρὸς τὸ μὴ συγκαταπίπτειν τῷ σώματι τὴν ψυχήν.*

541 XXIV (4, 240. 241)

Οὐκ ἐκ πότων καὶ τῆς καθ' ἡμέραν τρυφῆς
ζητοῦμεν ᾧ πιστεύσομεν τὰ τοῦ βίου,
πάτερ, οὐ περιττὸν οἴεσθ' ἐξευρηκέναι
ἀγαθὸν ἕκαστος, ἂν ἔχῃ φίλου σκιάν.

Plutarchus de frat. am. p. 479 c: *ὅθεν ὁ Μένανδρος ὀρθῶς Οὐκ ἐκ πότων κτλ.* Eosdem versus respexit Plutarch. de amic. mult. p. 93 c.

XXV (4, 241) 542

Εἰ καὶ σφόδρ᾽ ἀλγεῖς, μηδὲν ἠρεθισμένος
πράξῃς προπετῶς· ὀργῆς γὰρ ἀλογίστου κρατεῖν
ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.

Stobaeus Floril. XX 21. Philistioni h. e, Philemoni tribuit Antonius Mel. LXXVIII p. 134.

XXVI (4, 241) 543

Ὀχληρὸν ὁ χρόνος ὁ πολύς. ὦ γῆρας βαρύ,
ὡς οὐδὲν ἀγαθόν, δυσχερῆ δὲ πόλλ᾽ ἔχεις
τοῖς ζῶσι καὶ λυπηρά. πάντες εἰς σὲ δέ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν.

Stobaeus Flor. CXVI 8. Vs. 1 *ὦ γῆρας* cod. B. Vulgo *τὸ γῆρας*. Pro *βαρύ* fortasse *βαθὺ* scribendum.

XXVII a. b (4, 241) 544. 545

Καί τοι τί λογίζομ᾽ ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι; μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ κάλλιστ᾽ ἔχει.
Οὐκ ἐν γυναικὶ φύεται πιστὴ χάρις.

Stobaeus Flor. LXXIII 40. Vs. 1 *τί* addidit Bentleius. Vs. 4 *πιστὴ* scripsi cum Bentleio pro *πλείστη*. Euripidis versum esse suspicatur Dobraeus.

XXVIII (4, 242) 546

Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
σκεπτόμεθα τἀναγκαῖ᾽ ἑκάστης ἡμέρας·
ἂν δῇ δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
οὐ φεισόμεσθ᾽ ἐφόδια περιποιούμενοι;

Stobaeus Floril. XV 5. Philemoni locum tribuit Schowius codd. auctoritatem sequutus. Vs. 3 *ἂν δῇ* scripsi pro *ἂν ᾖ*. Cf. fragm. XXXIX 3. Cod. B *ἂν δέῃ*. Vs. 4 vulgo *φεισόμεθ᾽*. B m s *φειδόμεθ᾽*. Codd. Schowii *φειδόμεσθ᾽*.

XXIX (4, 242) 547

Ἔνεγκ᾽ ἀτυχίαν καὶ βλάβην εὐσχημόνως.
τοῦτ᾽ ἔστιν ἀνδρὸς νοῦν ἔχοντος, οὐκ ἄνω
ἀνασπάσας τις τὰς ὀφρῦς οἴμοι λαλεῖ,
ἀλλ᾽ ὃς τά γ᾽ αὑτοῦ πράγματ᾽ ἐγκρατῶς φέρει.

Stobaeus Flor. CVIII 31. Vs. 3 *οἴμοι* Gesnerus pro vulgato *εἰ μή*. Tum Stephanus *ἀνασπάσαντα* et *λαλεῖν*. Lenius corrigas *οὐκ ἐὰν ἀνασπάσας τις· τὰς ὀφρῦς οἴμοι λαλῇ*. Vs. 4 *τά γ᾽ αὑτοῦ* scripsi pro *τὰ αὑτοῦ*.

548 XXX (4, 242)

Θύων οὐδεπώποτ' εὐξάμην
ἐγὼ τὸ σῶζον τὴν ἐμὴν συνοικίαν,
ἀλλὰ παρέλειπον οἰκετῶν εἶναι στάσιν
ἔνδον παρ' αὐτῶν, πρᾶγμα χρησιμώτατον.

Schol. Victor. ad Iliad. φ' 389: *καὶ Μένανδρος (καὶ) τοῦτο Θύων κτλ.* Vs. 2 *συνοικίαν* pro *οἰκίαν* Fiorillo. Vs. 3 editur *παρέλιπον.* Vs. 4 *αὐτῶν* pro *αὐτῷ* Bothius. Summam sententiae reddidit schol. A *οὐδέποτε Θύων εὐξάμην ἄλλως σώζεσθαι τὴν οἰκίαν ἢ στάσιν οἰκετῶν εἶναι ἐν αὐτῇ.*

549 XXXI (4, 243)

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν·
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Stobaeus Floril. X 3 et Antonius Mel. XLI p. 65. Vs. 4 *ἀλλοτρίοις* corruptum videtur.

550 XXXII (4, 243)

Διονυσίων μὲν ἦν
πομπή . . . . . .
ὁ δέ μ' ἠκολούθησεν μέχρι τοῦ πρὸς τὴν θύραν·
ἔπειτα φοιτῶν καὶ κολακεύων [ἐμέ τε καί]
τὴν μητέρ' ἔγνω μ'.

Hermogenes de Inv. vol. III p. 177 ed. Walz. *ὅπου δ' ἂν ὁ νοῦς αἰσχρὸς ᾖ, τότε χρεία τῆς σεμνότητος τοῦ λόγου — ὡς παρὰ τῷ Μενάνδρῳ. πυθομένου γάρ τινος κόρης πῶς εἴη διεφθαρμένη, σεμνῶς ἀφηγήσατο πρᾶγμα αἰσχρὸν ὀνόμασι βελτίστοις. Διονυσίων κτλ.* Transtulit locum Plautus Cist. I 1 91, ubi Silenium loquitur: ***per Dionysia mater pompam me spectatum duxit. Dum redeo domum conspicillo consecutust clanculum me usque ad foris. Inde in amicitiam insinuavit cum matre et mecum simul, blanditiis, muneribus, donis.*** Priora vulgo ita scribuntur: *Διονυσίων ἦν πομπή· ὁ δέ μοι* (Vind. *με*) *ἠκολούθησε.* Correxit indicata lacuna Dobraeus, qui vs. 4 *ἐμέ τε καὶ* addidit. Vs. 3 Bernhardy Synt. p. 98 *ὁ δ' ἐπηκολούθησεν.*

551 XXXIII (4, 244)

Τῆς σκιᾶς τὴν πορφύραν
πρῶτον ἐνυφαίνουσ'· εἶτα μετὰ τὴν πορφύραν

τοῦτ' ἔστιν οὔτε λευκὸν οὔτε πορφύρα,
ἀλλ' ὥσπερ αὐγὴ τῆς χρόκης κεκραμένη.

Servavit Athenaeus I p. 162 ed. Dindorf. Vs. 4 τῇ χρόκῃ?

XXXIV (4, 244) 552

Οἷος δὲ καὶ τὴν ὄψιν εἶναι φαίνεται,
ἀφ' οὗ τοιοῦτος γέγονεν, οἷον θηρίον.
τὸ μηδὲν ἀδικεῖν καὶ καλοὺς ἡμᾶς ποιεῖ.

Sextus Emp. Pyrrh. Hypot. I 108 p. 29: παρὰ τὸ φιλεῖν ἢ μισεῖν (sc. accidit ut eadem vel turpia vel pulchra nobis videantur), ὅτι κρέα ὑειά τινες μὲν ἀποστρέφονται καθ' ὑπερβολήν, τινὲς δὲ ἥδιστα προσφέρονται· ὅθεν καὶ ὁ Μένανδρος ἔφη Οἷος δὲ καὶ τὴν ὄψιν κτλ. Fortasse haec ad Trophonium referenda sunt, ex qua fabula Stobaeus hunc versum affert, τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ (supra p. 956), in quo quid φιλανθρώπους significet vix assequaris. Recte autem Sextus καλοὺς ἡμᾶς.

XXXV (4, 244) 553

Οἴμοι τάλας ἔγωγε. ποῦ ποθ' αἱ φρένες
ἡμῶν ἐκεῖνον ἦσαν ἐν τῷ σώματι
τὸν χρόνον, ὅτ' οὐ ταῦτ' ἀλλ' ἐκεῖν' ἠρούμεθα;

Plutarchus de Virt. mor. p. 450 c: Ὁ Χρύσιππος εἰπὼν ὅτι τυφλόν ἐστιν ἡ ὀργή — εἶτα χρῆται μάρτυρι τῷ Μενάνδρῳ λέγοντι Οἴμοι κτλ.

XXXVI (4, 245) 554

Χαλεπὸν Πάμφιλε
ἐλευθέρᾳ γυναικὶ πρὸς πόρνην μάχη.
πλείονα κακουργεῖ, πλείον' οἶδ', αἰσχύνεται
οὐδέν, κολακεύει μᾶλλον.

Palladius de vita S. Io. Chrysost. p. 142 ed. Big.: δεινὸν κολακεία, κατὰ τὸν κωμικὸν Μένανδρον, μετὰ δυστροπίας συγκεκλωσμένη, καθὼς λέγει Χαλεπὸν Πάμφιλε κτλ. Priora usque ad μάχη servavit etiam Cyrillus in Iul. VII p. 229 a. Vs. 1 Palladius Παμφίλη. Vs. 2 Palladius μάχεσθαι. Cyr. μάχη. Vs. 3 et 4 vulgo πλείονα οἶδεν, πλείονα κακουργεῖ, αἰσχύνεται οὐδένα, κολακεύει μᾶλλον. Correxit Dobraeus.

XXXVII (4, 245) 555

Πῶς δὴ τὸ τραῦμα τοῦτ' ἔχεις;
μεσαγκύλῳ. πῶς πρὸς θεῶν; ἐπὶ κλίμακα
πρὸς τεῖχος ἀναβαίνων. ἐγὼ μὲν δεικνύω
ἐσπουδακώς, οἱ δὲ πάλιν ἐπεμυκτήρισαν.

Plutarchus de Sui laude p. 547 c: *ἔνιοι μὲν οὖν κολακεύοντες αὑτοὺς — προσπυνθάνονται καὶ διερωτῶσιν ὡς παρὰ τῷ Μενάνδρῳ τὸν στρατιώτην, ἵνα γελάσωσι· Πῶς δὴ τὸ τραῦμα κτλ.* Vs. 1 *δὴ* additum ex cod. regio apud Dübnerum. Vs. 2 malim *κλίμακι* vel *κλίμακος*. Vs. 4 Porsonus *οἱ δὲ πάλιν ἔμ' ἐμυκτήρισαν*. Cfr. Trypho de Tropis in Walzii Rhet. VIII p. 759: *Μένανδρός φησιν· οἱ δὲ πάλιν ἐμυκτήρισαν*. Ex quo corrige Moschopulum Opusc. Gramm. p. 85.

556 XXXVIII (4, 246)

Σφάττει με, λεπτὸς γίνομ' εὐωχούμενος
τὰ σκωμμάτια τὰ σοφά τε καὶ στρατηγικά.
οἷος δ' ἀλαζών ἐστιν ἁλιτήριος.

Plutarchus l. c. *κόλακι καὶ παρασίτῳ καὶ δεομένῳ δύσοιστον ἐν χρείᾳ καὶ δυσκαρτέρητον ἑαυτὸν ἐγκωμιάζων πλούσιός τις ἢ σατράπης ἢ βασιλεύς. καὶ συμβολὰς ταύτας ἀποτίνειν μεγίστας λέγουσιν, ὡς ὁ παρὰ Μενάνδρῳ Σφάττει με, λεπτὸς γίνομ' εὐωχούμενος. τὰ σκώμμαθ' οἷα τὰ σοφά κτλ.* Quae correxi. Praeterea fortasse *τἄσοφα* legendum.

557 XXXIX (4, 246)

Ὡς Ἀλεξανδρῶδες ἤδη τοῦτο· κἂν ζητῶ τινα,
αὐτόματος οὗτος παρέσται· κἂν διελθεῖν δηλαδὴ
διὰ θαλάττης δῇ τόπον τίν', οὗτος ἔσται μοι βατός.

Plutarchus Vit. Alex. cap. 17: *ἡ δὲ τῆς Παμφυλίας παραδρομὴ πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς ἔκπληξιν καὶ ὄγκον. — δηλοῖ δὲ καὶ Μένανδρος ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον Ὡς Ἀλεξανδρῶδες κτλ.* Hinc profecit scriptor incertus Crameri An. Ox. III p. 214. Versu tertio editur *δέῃ*.

558 XL (4, 247)

Πένητος οὐδέν ἐστι δυστυχέστερον.
ἅπαντα μοχθεῖ κἀγρυπνεῖ κἀργάζεται,
ἵν' ἄλλος ἐλθὼν μεταλάβῃ καὶ κτήσηται.

Compar. Men. et Phil. p. 357. Vs. 1 codex *πένητος ἀνδρὸς οὐκ ἔστι δυστυχέστερον*. Correxit Grotius. Nisi malis *πένητος ἀνδρὸς οὔτι*. Vs. 3 suspicabar *μεταλάβῃ τῆς κτήσεως* vel *κτῆσίν τ' ἔχῃ*.

559 XLI (4, 247)

Ἄνθρωπε, μὴ στέναζε, μὴ λυποῦ μάτην.
χρήματα γυναῖκα καὶ τέκνων πολλῶν σποράν,
ἃ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο.

Compar. Men. et Phil. p. 362. Ante Grotium vs. 3 *ἃ σοι κεχώρικε τύχη.*

XLII (4, 247) 560

Οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν ἀνητῷ βίῳ,
οὐδ' ἂν γένοιτο. πολλὰ ποικίλλει χρόνος
παράδοξα καὶ θαυμαστὰ καὶ ζώντων τρόποι.

Stobaeus Ecl. Phys. T. I p. 237.

XLIII (4, 247) 561

Ἀδύνατον ὡς ἔστιν τι σῶμα τῆς τύχης·
ὁ μὴ φέρων δὲ κατὰ φύσιν τὰ πράγματα
τύχην προσηγόρευσε τὸν ἑαυτοῦ τρόπον.

Stobaeus Ecl. Phys. T. II p. 336.

XLIV (4, 248) 562

Κἂν σφόδρα σαφῶς εἰδῇς τι, τὸν κρύπτοντά σε
μηδέποτ' ἐλέγξῃς· δύσκολον πρᾶγμ' ἐστὶ γάρ
ἃ λανθάνειν τις βούλεται ταῦτ' εἰδέναι.

Stobaeus Flor. III 4, ubi deest poetae nomen. Menandro cur assignaverim intelleget qui ipsum Stobaeum inspexerit. Vs. 2 libri *δύσκολον γὰρ πρᾶγμ' ἐστί*, quod correxi.

XLV (4, 248) 563

Ὅταν ἕτερός σοι μηδὲ ἓν πλέον διδῷ,
δέξαι τὸ μόριον· τοῦ λαβεῖν γὰρ μηδὲ ἕν
τὸ λαβεῖν ἔλαττον πλεῖον ἔσται σοι πολύ.

Stobaeus Flor. III 23. Vs. 1 cod. A *πλέω.*

XLVI (4, 248) 564

Γλυκέρα τί κλάεις; ὀμνύω σοι τὸν Δία
τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, φιλτάτη,
ὀμωμοκὼς καὶ πρότερον ἤδη πολλάκις.

Priscianus XVIII p. 227 sq.: Attici *ὀμοῦμαί σοι τοὺς θεούς.* — Menander: *Γλυκέρα τί κλάεις κτλ.* Ita Aldus. Apud Putschium legitur: Menander *Γλυκέρᾳ· Τί κλαίεις κτλ.*

XLVII (4, 248. 249) 565

Ὅταν τι πράττῃς ὅσιον, ἀγαθὴν ἐλπίδα
πρόβαλλε σαυτῷ, τοῦτο γινώσκων ὅτι
τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.

Stobaeus Flor. VII 4. Vs. 2 *πρόβαλλε σαυτῷ* cod. A. Vulgo *πρόβαλλ' ἑαυτῷ.*

566 **XLVIII (4, 249)**

Σὺ μὲν παραινεῖς ταῦτα ὅσα σοι πρέπει,
ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον οὐχ ὁ σὸς λόγος,
εὖ ἴσθ' ἀκριβῶς, ὁ δ' ἴδιος πείθει τρόπος.

Stobaeus Flor. XXXVII 5 et Anton. Mel. 97 p. 159. Vs. 1 ὅσα Trinc. ὅσσα ceteri. Bentleius *ταῦτα χὤσα*. Fortasse *ταῦθ' ὁποῖα*. Nisi malis *ταῦθ' ὅσα*, ut in fine versus personae nomen exciderit. Possis etiam *ταῦθ' ὅσα σοί, πάτερ, πρέπει*. Gaisf. *πάντα ταῦθ' ἃ* vel *ταῦθ' ὅσα*.

567 **XLIX (4, 249)**

Ὅστις δὲ διαβολαῖσι πείθεται ταχύ,
ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Stobaeus Flor. XLII 6 et Anton. Mel. LIII p. 79, qui vs. 2 *τὸν τρόπον*.

568 **L (4, 249)**

Οὐδὲν διαβολῆς ἐστιν ἐπιπονώτερον·
τὴν ἐν ἑτέρῳ γὰρ κειμένην ἁμαρτίαν
δεῖ μέμψιν ἰδίαν αὐτὸν ἐπάναγκες λαβεῖν.

Stobaeus Flor. XLII 4 et Antonius Mel. LIII p. 79. Vs. 3 libri *ἀεί*. Dindorfius *δεῖ*. Salmasius *εἰς*.

569 **LI (4, 249)**

Ἡ νῦν ὑπό τινων χρηστότης καλουμένη
μεθῆκε τὸν ὅλον εἰς πονηρίαν βίον·
οὐδεὶς γὰρ ἀδικῶν τυγχάνει τιμωρίας.

Stobaeus Flor. XLVI 11. Vs. 1 *τινων* pro *τινος* Voss. et A. Vs. 2 editur vulgo *ἀπορίαν* pro *πονηρίαν*, quod Grotius e margine Gesneri adscivit.

570 **LII (4, 250)**

Δεῖ τὸν πολιτῶν προστατεῖν αἱρούμενον
τὴν τοῦ λόγου μὲν δύναμιν οὐκ ἐπίφθονον,
ἦθει δὲ χρηστῷ συγκεκραμένην ἔχειν.

Stobaeus Floril. XLV 8. Sententia cothurno quam socco dignior.

571 **LIII (4, 250)**

Τί διακενῆς εἶ χρηστός; εἰ γὰρ ὁ δεσπότης
αὐτὸς ἀπολαύει πάντα, σὺ δὲ μὴ λαμβάνεις,
σαυτὸν ἐπιτρίβεις, οὐκ ἐκεῖνον ὠφελεῖς.

Stobaeus Floril. LXII 10. Vs. 1 *εἰ γὰρ* addidit Iacobsius. Vs. 2 *ἀπολαύει* Gaisfordus. Vulgo *ἀπόλλει*. Codd. *ἀπολλύει*. Iacobsius *ἀπολάπτει*.

LIV (4, 250) 572

Πατρῷ᾽ ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα,
τὰ μετὰ γυναικὸς δ᾽ εἰσιόντ᾽ εἰς οἰκίαν
οὔτ᾽ ἀσφαλῆ τὴν κτῆσιν οὔθ᾽ ἱλαρὰν ἔχει.

Stobaeus Floril. LXVIII 28. Duos postremos versus idem LXXII 7. Vs. 2 editur *τὰ δὲ μετὰ γυναικός*. Correxit Porsonus. Vs. 3 altero loco Stobaeus *οὐκ ἀσφαλῆ — οὐδ᾽ ἱλαράν*.

LV (4, 250) 573

Ὅστις γυναῖκ᾽ ἐπίκληρον ἐπιθυμεῖ λαβεῖν
πλουτοῦσαν, ἤτοι μῆνιν ἐκτίνει θεῶν,
ἢ βούλετ᾽ ἀτυχεῖν μακάριος καλούμενος.

Stobaeus Flor. LXXII 11.

LVI (4, 250) 574

Ἐμοὶ πόλις ἐστὶ καὶ καταφυγὴ καὶ νόμος
καὶ τοῦ δικαίου τοῦ τ᾽ ἀδίκου παντὸς κριτής
ὁ δεσπότης. πρὸς τοῦτον ἕνα δεῖ ζῆν ἐμέ.

Stobaeus Flor. LXII 34.

LVII (4, 251) 575

Ὅταν πένης ὢν καὶ γαμεῖν τις ἑλόμενος
τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,
αὑτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει.

Stobaeus Flor. LXX 5. Vs. 2 alii *παρὰ* pro *μετά*.

LVIII (4, 251) 576

Δύ᾽ ἔσθ᾽ ἃ κρῖναι τὸν γαμεῖν μέλλοντα δεῖ,
ἤτοι προσηνῆ γ᾽ ὄψιν ἢ χρηστὸν τρόπον·
τὴν γὰρ ὁμόνοιαν τὴν πρὸς ἀλλήλους ποιεῖ.

Stobaeus Flor. LXX 7. Vs. 1 codd. Gaisfordi habent *ἔστι κρῖναι*. Hinc ille *Δύ᾽ ἔστι· κρῖναι* etc. Vs. 2 vulgo *προσηνῆ*. Cod. Par. *προσηνήν*. Ex quo apparet recte V. D. in Actis Erud. Lips. 1711 p. 35 scripsisse *προσηνῆ γ᾽*.

LIX (4, 251) 577

Αἰσχύνομαι τὸν πατέρα, Κλειτοφῶν, μόνον.
ἀντιβλέπειν ἐκεῖνον οὐ δυνήσομαι
ἀδικῶν, τὰ δ᾽ ἄλλα ῥᾳδίως χειρώσομαι.

Stobaeus Flor. LXXIX 14. Vs. 3 ante Bentleium *ἀδίκως*.

578 LX (4, 251)

Ὑπερήφανόν που γίνεθ' ἡ λίαν τρυφή,
ὅ τε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον
εἰς ἕτερον ἦθος, οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν.

Stobaeus Flor. XCIII 22. Vs. 1 *που* Trinc. om. Vs. 3 *τὸ* om. A.

579 LXI (4, 251. 252)

Κρεῖττον γάρ ἐστιν, ἂν σκοπῇ τις κατὰ λόγον,
μὴ πόλλ' ἀηδῶς, ὀλίγα δ' ἡδέως ἔχειν,
πενίαν τ' ἄλυπον μᾶλλον ἢ πλοῦτον πικρόν.

Stobaeus Flor. XCVII 2. Vs. 3 *τ'* om. A et Trinc.

580 LXII (4, 252)

Ἄνευ κακῶν γὰρ οἰκίαν οἰκουμένην
οὐκ ἔστιν εὑρεῖν, ἀλλὰ τοῖς μὲν ἡ τύχη
τούτων δίδωσιν ἀφθονίαν, τοῖς δ' οἱ τρόποι.

Stobaeus Flor. XCVIII 37.

581 LXIII (4, 252)

Ὦ μεταβολαῖς χαίρουσα παντοίαις τύχη,
σόν ἐστ' ὄνειδος τοῦθ', ὅταν τις ὢν ἀνὴρ
δίκαιος ἀδίκοις περιπέσῃ συμπτώμασιν.

Stobaeus Flor. CVII 3. Vs. 2 *ὅταν τις ὢν ἀνὴρ* cod. B et Stephanus. Vulgo *ὅταν οὗτος ἀνήρ*. Arsen. *ὅτ' ἀνήρ*. Voss. *ὅταν ἀνήρ*.

582 LXIV (4, 252)

Ὀργῇ παραλογισμός ποτ' οὐδεὶς φύεται.
αὕτη κρατεῖ νῦν· ἂν δὲ μικρὸν παρακμάσῃ,
κατόψεταί τι μᾶλλον εἰς τὸ συμφέρον.

Stobaeus Floril. XX 3. Schowii cod. A Philemoni tribuit. Vs. 1 forsan *ὀργῇ, πάτερ, λογισμὸς οὐδεὶς φύεται*. De quo admonui in ed. pr. Dobraeus Advers. II p. 280: *ὀῤγῇ λογισμὸς γάρ ποτ' οὐδεὶς φύεται*. Forsan tamen praestat *ὀργῇ, λογισμὸς οὔποτ' οὐδεὶς φύεται*. Pro *φύεται* Grotius *φαίνεται*. Vs. 3 *κατόψεταί τις* Dobraeus.

583 LXV (4, 252)

Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς
χρεία 'στ' ἰατροῦ, τῷ δὲ τὴν ψυχὴν φίλου·
λύπην γὰρ εὔνους οἶδε θεραπεύειν λόγος.

Stobaeus Flor. CXIII 14. Vs. 3 pro *φίλος* scripsi *λόγος*, ut est Gnom. monost. 319: *λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος*.

LXVI (4, 253) 584

Ὅταν ᾖ γέρων τις ἐνδεής τε τὸν βίον,
οὐδὲν τὸ θνήσκειν δεινόν, ἀλλ' ἐν τῷ καλῶς
ἑκάτερον αὐτῶν τὴν διάγνωσιν φέρει.

Stobaeus Flor. CXXI 10. Vs. 2 cod. A *οὐδ' αὖ*. Zedelius et Valck. *οὐδέν*. Grotius *οὐδ' ἄν*. Ibid. *καλῷ* pro *καλῶς* Valckenarius. Vs. 3 Grotius *ἀνάγνωσιν*. Dobraeus *ἀγανάκτησιν*.

LXVII (4, 253) 585

Πρᾶον κακοῦργος σχῆμ' ὑπεισελθὼν ἀνὴρ
κεκρυμμένη κεῖται παγὶς τοῖς πλησίον.

Antonius Mel. LXXVIII p. 134. Vs. 1 ante Grotium erat *ἀνὴρ κακοῦργος πρᾶον ὑπεισελθὼν σχῆμα*. Vs. 2 scripsi *κεῖται* pro *πρόκειται*.

LXVIII (4, 253) 586

Ἐμὲ δ' ἀδικείτω πλούσιος καὶ μὴ πένης·
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.

Antonius Mel. LX p. 61 et Stobaeus Frobenii p. 208. Vs. 1 *ἐμὲ δ' ἀδικείτω* Grotius. Antonius *ἀδικείτω με*. Frobenius *ἀδικείτω μοι*.

LXIX (4, 253) 587

Ὁ προσιών
γέρων ἁλιεύς, παρ' οὗ τὸ φερνίον τρίτην
ταύτην ἐπριάμεθ' ἡμέραν.

Eustathius ad Hom. p. 742 59: *φερνία δὲ ἰχθύων σπυρίδες. Μένανδρος Ὁ προσιών κτλ.*

LXX (4, 254) 588

Ὁ φθονερὸς αὑτῷ πολέμιος καθίσταται·
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί.

Stobaeus Flor. XXXVIII 11.

LXXI (4, 254) 589

Πολλοὺς δι' ἀνάγκην γὰρ πονηροὺς οἶδ' ἐγώ
ὅταν ἀτυχήσωσιν γεγονότας, οὐ φύσει
ὄντας τοιούτους.

Stobaeus Flor. CVII 8.

LXXII (4, 254) 590

Τὸ δ' εὖ φέρειν
ἔστιν τοιοῦτον, ἂν δύνῃ μόνος φέρειν,
καὶ μὴ 'πίδηλον τὴν τύχην ποιῇς.

Stobaeus Floril. CIX 4. Cod. B *τὸ εὖ φέρειν ἔστ', ἂν δύνῃ* etc. Versu tertio vulgo *ποιεῖν*. Codices *ποῇς*.

591 LXXIII (4, 254)

Ἐὰν κακῶς μου τὴν γυναῖχ' οὕτω λέγῃς,
τὸν πατέρα καὶ σὲ τούς τε σοὺς ἐγὼ πλυνῶ.

Artemidorus Onirocr. II 5: *πλύνειν καταχρηστικῶς καὶ τὸ ἐλέγχειν ἔλεγον οἱ παλαιοί, ὥς που καὶ Μένανδρος Ἐὰν κακῶς κτλ.* Eadem fere apud Suidam v. *πλύνεται*, ubi legitur *ἢν γὰρ κακῶς*.

592 LXXIV (4, 254)

Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεί,
οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης.

Stobaeus Ecl. Phys. II 8 p. 336 ed. Heer.

593 LXXV (4, 254)

Χαλεπόν γε τοιαῦτ' ἐστὶν ἐξαμαρτάνειν,
ἃ καὶ λέγειν ὀκνοῦμεν οἱ πεπραχότες.

Stobaeus Flor. IV 8. Vs. 2 Stephanus *πεπραγότες*.

594 LXXVI (4, 255)

Εὐηθία μοι φαίνεται, Φιλουμένη,
τὸ νοεῖν μὲν ὅσα δεῖ, μὴ φυλάττεσθαι δ' ἃ δεῖ.

Stobaeus Flor. IV 28. Ante Bentleium *δηλουμένη* pro *Φιλουμένη*.

595 LXXVII (4, 255)

Ὁ μὴ φέρων γὰρ εὖ τι τῶν ἐν τῷ βίῳ
ἀγαθῶν ἀλόγιστός ἐστιν οὐχὶ μακάριος.

Stobaeus Flor. IV 39. Vs. 2 *οὐχὶ* scripsi pro *οὐ*. Bentleius *οὗτοι*.

596 LXXVIII (4, 255)

Τὸ ψεῦδος ἰσχὺν τῆς ἀληθείας ἔχει
ἐνίοτε μείζω καὶ πιθανωτέραν ὄχλου.

Stobaeus Flor. XII 8. Vs. 1 *ψεῦδος* Valcken. Diatr. p. 258 pro *πιθανόν*. Vs. 2 Schowius ex cod. *λόγου* pro *ὄχλου*. Salmasius *ὄχλῳ*, quae sane usitatior structura est.

597 LXXIX (4, 255)

Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον
τὸ καλῶς ἀκούειν ταχὺ ποιεῖ πᾶσιν κακῶς.

Stobaeus Flor. XV 1 et Anton. Mel. LVI p. 83. Versu altero pro *πᾶσιν* Bentleius *πεινῆν*. Probabilius corrigas *πάσχειν*.

LXXX a. b (4, 255. 256) 598. 599

Μὴ πάντοθεν κέρδαιν', ἐπαισχύνου δέ μοι·
τὸ μὴ δικαίως εὐτυχεῖν ἔχει φόβον.

Stobaeus Flor. XVI 8. Hoc fragmentum vulgo arctissime coniungunt cum sequenti:

Ὦ τρὶς κακοδαίμων, ὅστις ἐκ φειδωλίας
κατέθετο μῖσος διπλάσιον τῆς οὐσίας,

ita quidem ut sententiae hoc modo continuentur: *ἐπαισχύνου δέ μοι τὸ μὴ δικαίως εὐτυχεῖν*, et tum: *ἔχει φόβον ὁ τρὶς κακοδαίμων*. Sed recte codd. Schowii dederunt *ὦ τρὶς κακοδαίμων*. Sunt igitur duo diversi loci fragmenta, de quo iam in prima edit. admonui, ubi etiam de *ἔχειν φόβον, metum afferre*, exempla attuli. Eadem nunc Dobraeus Adv. II p. 280. Vs. 1 ante Bentleium *κέρδαινε, αἰσχύνου*. Ibid. pro *μοι* Dobraeus *τι*.

LXXXI (4, 256) 600

Οὐπώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει.

Stobaeus Flor. XVI 7 et Anton. Mel. 140 p. 221. Antiphani vel Aristophani tribuitur Serm. XCIII 20 librariorum errore. Vide edit. pr. et ad Antiph. fr. 290.

LXXXII (4, 256) 601

Οὐ γὰρ τὸ πλῆθος, ἂν σκοπῇ τις, τοῦ ποτοῦ
ποιεῖ παροινεῖν, τοῦ πιόντος δ' ἡ φύσις.

Stobaeus Flor. XVIII 5 et Anton. Mel. 68 p. 116.

LXXXIII (4, 256) 602

Χαλεπὸν ὅταν τις ὢν πίῃ πλέον λαλῇ,
μηδὲν κατειδώς, ἀλλὰ προσποιούμενος.

Stobaeus Flor. XVIII 19 et Anton. Mel. 68 p. 116. Vs. 1 fort. *χαλεπόν γ'*. Tum vulgo *πίνῃ*. Correxit Bentleius.

LXXXIV (4, 256) 603

Οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικε, φάρμακον
ἄλλ' ἢ λόγος σπουδαῖος ἀνθρώπου φίλου.

Stobaeus Flor. XX 20 et Anton. Mel. 78 p. 134.

LXXXV (4, 256) 604

Οὐδεὶς ἐφ' αὑτοῦ τὰ κακὰ συνορᾷ, Πάμφιλε,
σαφῶς, ἑτέρου δ' ἀσχημονοῦντος ὄψεται.

Stobaeus Flor. XXIII 3 et corrupte Anton. Mel. 81 p. 140. Vs. 1 ante Stephanum *ἐπ' αὐτοῦ*.

605 LXXXVI (4, 257)

Ὁ συνιστορῶν αὐτῷ τι, κἂν ᾖ θρασύτατος,
ἡ σύνεσις αὐτὸν δειλότατον εἶναι ποιεῖ.

Stobaeus Flor. XXIV 3.

606 LXXXVII (4, 257)

Αἰσχρόν γ' ὅταν τις ἐπὶ γλώσσῃ φυείς
γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

Stobaeus Flor. XXXVI 12. Vs. 1 Grotius *ὅταν τις ἤπιος γλώσσῃ*. Bentleius *ὅταν τις νήπιος γνώμῃ*. Valckenarius *ὅταν τις εὐεπὴς γλώσσῃ*. Heringa *αἰσχρὸν γάρ ἐσθ' ὅταν τις εὔ-γλωσσος φυείς*. Nihil horum placet. Locum ex tragoedia petitum vere statuunt Valckenarius et Dobraeus.

607 LXXXVIII (4, 257)

Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώσσης λόγον.

Stobaeus Floril. XXXVI 14. Cfr. Plutarch. Mor. p. 507 a. Tragici poetae esse genitivus *χερὸς* docet.

608 LXXXIX (4, 257)

Καλὸν οἱ νόμοι σφόδρ' εἰσίν· ὁ δ' ὁρῶν τοὺς νόμους
λίαν ἀκριβῶς συκοφάντης φαίνεται.

Stobaeus Flor. XLIV 8.

609 XC (4, 258)

Ὁ προκαταγινώσκων δὲ πρὶν ἀκοῦσαι σαφῶς
αὐτὸς πονηρός ἐστι πιστεύσας κακῶς.

Stobaeus Flor. XLVI 7.

610 XCI (4, 258)

Μὴ τοῦτο βλέψῃς εἰ νεώτερος λέγω,
ἀλλ' εἰ φρονούντων τοὺς λόγους ἀνδρῶν ἐρῶ.

Stobaeus Flor. LII 9. Ita Brunckius ex cod. Par. pro *φρονοῦντος* et *ἀνδρός*. Bentleius *φέρω*.

611 XCII (4, 258)

Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν,
ἀλλ' ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων.

Stobaeus Flor. LII 10.

612 XCIII (4, 258)

Δεῖ τούς γε πενομένους μέχρι ἂν ζῶσιν πονεῖν·
ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον.

Stobaeus Flor. XXIX 17 et Arsenius Ion. p. 177. Vs. 1 *γέ* add. L. Dindorfius. Tum ante Bentleium *γινομένους*. Ibid. A et B *μέχρις*. Vs. 2 respicit fortasse Photius, *Λειτόν: τὸν πένητα, ὡς ἡμεῖς. οὕτω Μένανδρος.*

XCIV (4, 258) 613

Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος,
οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις.

Stobaeus Flor. LIV 23.

XCV (4, 259) 614

Εἰρήνη γεωργὸν κἂν πέτραις
τρέφει καλῶς, πόλεμος δὲ κἂν πεδίῳ κακῶς.

Stobaeus Flor. LV 9. Ita Salmasius pro *κἂν πεδίῳ κακὸς ἔφυ*. Apostol. VII 60 et Maximus Serm. 115 p. 190 *κακῶς ἔφυ*.

XCVI (4, 259) 615

Ἐν τοῖς πολεμίοις ὑπερέχειν τὸν ἄνδρα δεῖ·
τὸ γὰρ γεωργεῖν ἔργον ἐστὶν οἰκέτου.

Stobaeus Flor. LVII 3.

XCVII (4, 259) 616

Τὰ μεγάλα κέρδη ῥᾳδίως ἢ πλουσίους
τοὺς παραβόλως πλέοντας ἢ νεκροὺς ποιεῖ.

Stobaeus Flor. LIX 14.

XCVIII (4, 259) 617

Ὅταν τύχῃ τις εὐνοοῦντος οἰκέτου,
οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον βίῳ.

Stobaeus Flor. LXII 6.

XCIX (4, 259) 618

Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπος
χρηστός, διπλασίως ὁ προσιὼν ἁλίσκεται.

Stobaeus Flor. LXV 2 et Anton. Mel. CX p. 185.

C (4, 259) 619

Ἓν ἐστ' ἀληθὲς φίλτρον, εὐγνώμων τρόπος.
τούτῳ κατακρατεῖν ἀνδρὸς εἴωθεν γυνή.

Stobaeus Flor. LXVII 9. Vs. 1 scripsi *ἓν ἐστ'* pro *ἔνεστ'*.

CI (4, 259) 620

Οἰκεῖον οὕτως οὐδέν ἐστιν, ὦ Λάχης,
ἐὰν σκοπῇ τις, ὡς ἀνήρ τε καὶ γυνή.

Stobaeus Flor. LXVII 11.

621 CII (4, 260)

Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι
ἀγαθὸν μέγ' ἕξεις, ἂν λάβῃς μικρὸν κακόν.

Stobaeus Flor. LXVIII 11. Ante Bentleium vs. 2 *μεθέξεις*.

622 CIII (4, 260)

Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων, Παρμένων,
πατέρα μερίμνας τῷ βίῳ πολλὰς φέρει.

Stobaeus Flor. LXVIII 18. Locus fortasse ad Plocion revocandus.

623 CIV (4, 260)

Ὅστις πενόμενος βούλεται ζῆν ἡδέως,
ἑτέρων γαμούντων αὐτὸς ἀπεχέσθω γάμου.

Stobaeus Flor. LXVIII 25. Vs. 1 ante Bentleium *γενόμενος*.

624 CV (4, 260)

Τὸ γαμεῖν, ἐάν τις τὴν ἀλήθειαν σκοπῇ,
κακὸν μέν ἐστιν, ἀλλ' ἀναγκαῖον κακόν.

Stobaeus Flor. LXIX 10.

625 CVI (4, 260)

Τότε τὰς γυναῖκας δεδιέναι μάλιστα δεῖ,
ὅταν τι περιπλάττωσι τοῖς χρηστοῖς λόγοις.

Stobaeus Flor. LXXIII 43. Vs. 2 emendavit Salmasius. Deest vulgo *τι* post *ὅταν*. Idem suspicatur *περιπέττωσι*. Fortasse *περιπάττωσι*.

626 CVII (4, 260)

Οὐδέποθ' ἑταίρα τοῦ καλῶς πεφρόντικεν,
ἢ τὸ κακόηθες πρόσοδον εἰώθεν ποιεῖν.

Stobaeus Flor. LXXIII 45. Vs. 2 fortasse *ἤ* pro *ἥ*.

627 CVIII (4, 261)

Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν
τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ.

Stobaeus Flor. LXXXIII 4.

628 CIX (4, 261)

Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί,
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ.

Stobaeus Flor. LXXV 9. Versu secundo legendum videtur *ἢ σωφρονοῦντα κεὐτυχοῦντ' ἰδεῖν κτλ.*

CX (4, 261) 629

Οὐκ ἔστιν οὐδὲν ἀθλιώτερον πατρός,
πλὴν ἕτερος ἂν ᾖ πλειόνων παίδων πατήρ.

Stobaeus Flor. LXXVI 1. Vs. 2 Porsonus ἕτερος ὃς ἂν ᾖ.

CXI (4, 261) 630

Ὀδυνηρόν ἐστιν εὐτυχοῦντα τῷ βίῳ
ἔχειν ἔρημον διαδόχου τὴν οἰκίαν.

Stobaeus Flor. LXXV 8.

CXII (4, 261) 631

Ἔστιν δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός·
ἡ μὲν γὰρ αὐτῆς οἶδεν υἱόν, ὁ δ' οἴεται.

Stobaeus Flor. LXXVI 7. Eandem sententiam iisdem verbis expressit Euripides apud Eustathium ad Od. p. 1412, nisi quod priora verba *ἔστιν δὲ* ibi desunt, et secundo versu elegantius legitur *οἶδεν ὄνθ', ὁ δ' οἴεται.*

CXIII (4, 262) 632

Μηδὲν ὀδύνα τὸν πατέρα γινώσκων ὅτι
ὁ μέγιστον ἀγαπῶν δι' ἐλάχιστ' ὀργίζεται.

Stobaeus Flor. LXXIX 18. Vs. 1 *μηδὲν ὀδύνα τὸν* Bentleius. Vulgo *μηδὲν ἀδύνατον.* A *μηδένα δυνατόν.* Vs. 2 ante Bentleium *μέγιστ'.* Ibid. ὁ omittit A.

CXIV (4, 262) 633

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει.

Stobaeus Flor. LXXVII 2.

CXV (4, 262) 634

Οὐκ ἔστ' ἄκουσμ' ἥδιον ἢ ῥηθεὶς λόγος
πατρὸς πρὸς υἱὸν περιέχων ἐγκώμιον.

Stobaeus Flor. LXXXIII 1.

CXVI (4, 262) 635

Ἄνοια θνητοῖς δυστύχημ' αὐθαίρετον.
τί σαυτὸν ἀδικῶν τὴν τύχην καταιτιᾷ;

Stobaeus Flor. IV 4 et 6. Vulgo his versibus alius e Sophocle senarius interponitur. Vs. 2 codd. *ψυχήν.*

CXVII (4, 262) 636

Οὐδέποτ' ἀληθὲς οὐδὲν οὔθ' υἱῷ πατὴρ
εἴωθ' ἁπείλειν οὔτ' ἐρῶν ἐρωμένῃ.

Stobaeus Flor. LXXXIII 2. Vs. 2 ante Bentleium *εἴωθεν ἀπειλεῖν.*

637 CXVIII (4, 262)

Τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς
κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

Stobaeus Flor. LXXXIX 1. Vs. 1 cod. Par. *γεγῶτας.*

638 CXIX (4, 263)

Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Stobaeus Flor. XCII 8 et Antonius Mel. CIV p. 177. Vs. 1 codd. Par. *πλοῦτός τ'.*

639 CXX (4, 263)

Κρεῖττον ὀλίγ' ἐστὶ χρήματ' ἀνυπόπτως ἔχειν,
ἢ πολλὰ φανερῶς, ἀλλὰ μετ' ὀνείδους λαβεῖν.

Stobaeus Flor. XCIV 11. Vs. 2 *ἀλλὰ* Grotius. Libri *ἃ δεῖ.*

640 CXXI (4, 263)

Οὐκ ἔστι λύπης, ἄν περ ὀρθῶς τις σκοπῇ,
ἄλγημα μεῖζον τῶν ἐν ἀνθρώποις φύσει.

Stobaeus Flor. XCIX 7. Versu primo libri *ἐάνπερ — σκοπεῖ.* Stephanus *ἤνπερ — σκοπῇ.* Idem vs. 2 *ἀνθρώπων.*

641 CXXII (4, 263)

Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν
λαμπροί, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι.

Stobaeus Flor. CIV 14. Ita corrigendum esse ex Eurip. Androm. 330 monuit Valcken. ad Hipp. p. 267 e. Vs. 2 vulgo deest *λαμπροί,* et post *ἔνδον* additur *εἰσίν.*

642 CXXIII (4, 263)

Πολλῶν φύσει τοῖς πᾶσιν ἀνθρώποις κακῶν
ὄντων μέγιστόν ἐστιν ἡ λύπη κακόν.

Stobaeus Flor. XCIX 18. Respicit Plutarchus Cons. Apoll. p. 102 B. Vs. 1 *ἀνθρώπων* Stobaeus.

643 CXXIV (4, 263)

Οὐδέν με λυπεῖ μᾶλλον ἢ χρηστὸς τρόπος
εἰς χαλεπὸν ὅταν ᾖ συγκεκλεισμένος βίον.

Stobaeus Flor. CVII 1.

644 CXXV (4, 264)

Οἰκτρότατόν ἐστι πεῖραν ἐπὶ γήρως ὁδῷ
ἀδίκου τύχης δίκαιος εἰληφὼς τρόπος.

Stobaeus Flor. CVII 2. Ita Grotius et Scaliger. Vulgo *γήραος οὐδῷ*, codd. *γῆρας ὁδοῦ*.

CXXVI (4, 264) 645

Ἄνδρα τὸν ἀληθῶς εὐγενῆ καὶ τἀγαθά
καὶ τὰ κακὰ δεῖ πταίοντα γενναίως φέρειν.

Stobaeus Flor. CVIII 6. Vs. 1 libri *τὸν ἀληθῶς ἄνδρα εὐγενῆ*. Transposuit Porsonus.

CXXVII (4, 264) 646

Ταῖς ἀτυχίαισι μὴ 'πίχαιρε τῶν πέλας·
πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον.

Stobaeus Flor. CXII 1. Ante Bentleium *ἀτυχίαις μὴ ἐπίχαιρε*.

CXXVIII (4, 264) 647

Οὐκ ἐμὸν ἀνοίγειν λανθάνουσαν ἀτυχίαν
ἔστ', ἀλλὰ μᾶλλον κατακαλύπτειν φημὶ δεῖν.

Stobaeus Flor. CXII 2.

CXXIX (4, 264) 648

Μέγιστόν ἐστιν ἄρα τοῖς ἐπταικόσιν
τὸ παρόντας ἐγγὺς τοὺς συναλγοῦντας βλέπειν.

Stobaeus Flor. CXIII 13.

CXXX (4, 264) 649

Εἰ τἄλλ' ἀφαιρεῖν ὁ πολὺς εἴωθεν χρόνος
ἡμῶν, τό γε φρονεῖν ἀσφαλέστερον ποιεῖ.

Stobaeus Flor. CXV 4.

CXXXI (4, 264) 650

Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστίν. οὗτος καὶ σὲ νῦν ἰάσεται.

Stobaeus Flor. CXXIV 22.

CXXXII (4, 265) 651

Καλόν γε βασιλεὺς τῇ μὲν ἀνδρείᾳ κρατῶν,
τὰ δὲ τοῦ βίου δίκαια διατηρῶν κρίσει.

Stobaeus Flor. XLVIII 7.

CXXXIII (4, 265) 652

Νῦν δ' ἕρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γάρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν.

Clemens Alex. Paed. III 2 p. 254 Pott.: *τὴν ξανθίζουσαν τοὺς πλοκάμους ὁ κωμικὸς Μένανδρος εἴργει τῆς οἰκίας Νῦν δ' ἕρπ' ἀπ' οἴκων κτλ.* Vs. 1 *ἔρρ' ἀπ' οἴκων?*

653 CXXXIV (4, 265)

Μικρὰς τίθημι συμβολὰς ἀκροώμενος.

Athenaeus VI p. 270 d: *εἰ δὲ λουσάμενοι λογάρια δειπνοῦμεν, μικρὰς τίθημι συμβολὰς ἀκροώμενος, κατὰ τὸν Μένανδρον.*

654 CXXXV (4, 265)

Καλὸν τὸ Κείων νόμιμόν ἐστι, Φανία·
ὁ μὴ δυνάμενος ζῆν καλῶς οὐ ζῇ κακῶς.

Strabo X p. 486: *παρὰ τούτοις* (Ceis) *δὲ δοκεῖ τεθῆναί ποτε νόμος, οὗ μέμνηται καὶ Μένανδρος Καλὸν τὸ Κείων κτλ. προσέταττε γάρ, ὡς ἔοικεν, ὁ νόμιος τοὺς ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας κωνειάζεσθαι τοῦ διαρκεῖν τοῖς ἄλλοις τὴν τροφήν.* Cfr. Stephanum Byz. v. *Ἰουλίς.*

655 CXXXVI (4, 265)

Ἥλιε, σὲ γὰρ δεῖ προσκυνεῖν πρῶτον θεῶν,
δι' ὃν θεωρεῖν ἔστι τοὺς ἄλλους θεούς.

Clemens Alex. ad Gent. 68 p. 59 Pott.: *πεπλανῆσθαι γοῦν ὁ Μένανδρός μοι δοκεῖ ἔνθα φησίν Ἥλιε, σὲ γὰρ δεῖ κτλ.*

656 CXXXVII (4, 266)

Ἐγὼ δ' ἀνόητος εὐτελὴς ὑπερβολῇ,
ὁ δ' ἄσωτός ἐστι, πολυτελής, θρασὺς σφόδρα.

Suidas, *Εὐτελὴς ἐπ' ἀρετῆς, ὁ φειδωλός, καὶ ὀλιγοδάπανος, οὕτω Μένανδρος Ἐγὼ δ' ἀνόητος κτλ.* Ita distinxit Grotius. Vulgo *καὶ ὁ ἄσωτος*, ut sint Suidae verba.

657 CXXXVIII (4, 266)

Λανθάνει τὰ πράγματα
τοὺς λέγειν ἡμῶν ὀκνοῦντας τὰς ἀληθείας ἀεὶ
τοῖς ἀναγκαίοις.

Schol. Eurip. Hippol. 332: *κατὰ γὰρ Μένανδρον σοφῶν ἀνδρῶν ἐστι τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα, ἐν οἷς φησι Λανθάνει κτλ.*

658 CXXXIX (4, 266)

Ἅπανθ' ὅσα ζῇ καὶ τὸν ἥλιον βλέπει
τὸν κοινὸν ἡμῖν, δοῦλα ταῦτ' ἔσθ' ἡδονῆς.

Plutarchus de aud. poet. p. 21 c: *ὁ δὲ Μένανδρος ἐπῆρε*

μὲν ἀμέλει τὴν φιληδονίαν καὶ ὑπεχαύνωσε τοῖς ἐρωτικοῖς καὶ διαπύροις ἐκείνοις, Ἅπανθ' ὅσα ζῇ κτλ.

CXL (4, 266) 659

Ἔχω δὲ πολλὴν οὐσίαν καὶ πλούσιος
καλοῦμ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός.

Plutarchus l. c. p. 25 a: *Ὅμηρος μὲν γὰρ ὀρθῶς κέχρηται τοῖς ὀνόμασιν — καὶ Μένανδρος Ἔχω δὲ πολλήν κτλ.*

CXLI (4, 266) 660

Εἰ μὲν δή τινα
. . . πόρον ἔχεις· εἰ δὲ μή, νενόηκ' ἐγώ,
μισῶμεν ἀλλήλους.

Schol. Homeri MS apud Koenium ad Greg. Cor. p. 48 ed. Schaef.: *οὐκ ἐλλιπὲς τὸ τῆς φράσεως, ἀλλ' ἀρχαϊκόν. Ἀριστοφάνης ἐν Πλούτῳ — καὶ Μένανδρος Εἰ μέν κτλ.* Eadem leguntur apud Eustathium ad Hom. p. 66, sed postremis verbis *μισῶμεν ἀλλήλους* omissis. Vs. 2 fortasse *τούτων* excidit.

CXLII (4, 267) 661

Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ,
μή μ' ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ.

Compar. Men. et Phil. p. 358. Expressit poeta Euripidis dictum apud Plutarchum de *EI* Delph. p. 384 d. Compar. *αἰτῶν.*

CXLIII (4, 267) 662

Χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί,
ἡ δ' ἐν φίλοις εὔνοια καιρῷ κρίνεται.

Compar. Men. et Phil. p. 359 et Anton. Mel. CXXX p. 214. Vs. 1 Antonius *δοκιμάζεσθαι πυρί.* Vs. 2 Comparatio *γίνεται.*

CXLIV (4, 267) 663

Μισῶ πένητα πλουσίῳ δωρούμενον·
ἔλεγχός ἐστι τῆς ἀχορτάστου τύχης.

Compar. Men. et Phil. p. 358. Primus versus est etiam in gnom. monost. 360.

CXLV (4, 267) 664

Καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλος
καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου.

Compar. Men. et Phil. p. 359 et Anton. Mel. CXXX p. 214. Ita Grotius. Vulgo *ὁ εὐτυχοῦντα καιρῷ κολακεύων φίλον.* Antonius vero *ὁ καιρῷ εὐτυχοῦντα κολακεύων φίλον.*

665 CXLVI (4, 267)

Ἀπόντι μᾶλλον εὐχαριστίαν ποίει·
τῷ γὰρ παρόντι γίνετ᾽ εὐτονώτερον.

Compar. Men. et Phil: p. 359. Vs. 2 fortasse *εὐπορώτερον.*

666 CXLVII (4, 268)

Ὁ γὰρ ἀδίκως τι καθ᾽ ἑτέρου ζητῶν κακόν
αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.

Compar. Men. et Phil. p. 360. Vs. 1 *τι* addidit Grotius.

667 CXLVIII (4, 268)

Ὅταν ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζέ σ᾽ ἀρραβῶν᾽ ἔχειν.

Compar. Men. et Phil. p. 360.

668 CXLIX (4, 268)

Δούλῳ γενομένῳ, δοῦλε, δουλεύων φοβοῦ·
ἀμνημονεῖ γὰρ ταῦρος ἀρχήσας ζυγοῦ.

Georgidas Boisson. Anecd. I p. 28 et Compar. Men. et Phil. p. 360, ubi legitur *δουλογενεῖ* pro *δούλῳ γενομένῳ*, quod habet Georgidas. Bentleius *δουληγενεῖ δέ*. Vitiose item in Gnomis monost. 138 legitur *δοῦλος γεγονὼς ἑτέρῳ δουλεύειν φοβοῦ.*

669 CL (4, 268)

Ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται, νόμῳ,
δυσὶν δὲ δοῦλος, καὶ νόμῳ καὶ δεσπότῃ.

Compar. Men. et Phil. p. 360. Vs. 1 cod. *ἐλευθέρῳ*. Correxit Heinsius.

670 CLI (4, 268)

Νόμος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος,
ὃ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

Compar. Men. et Phil. p. 361. Philistioni assignat cod. apud Boissonadum Anecd. I p. 150. Non videtur antiqui poetae esse.

671 CLII (4, 268)

Μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε.
πρὸ τοῦ παθεῖν σε τῷ φόβῳ προλαμβάνου.

Compar. Men. et Phil. p. 361. Vs. 2 pro *σὲ* fortasse *δέ*. Non est antiqui poetae.

672 CLIII a. b. c (4, 269)

Μέλλων τι πράττειν μὴ προείπῃς μηδενί.
Ἅπαντα μεταμέλειαν ἀνθρώποις φέρει.
Μόνη σιωπὴ μεταμέλειαν οὐ φέρει.

Compar. Men. et Phil. p. 363 et 367. Priori loco haec Philemoni, altero Menandro tribuuntur. Vs. 2 priori loco sic fertur *ἅπαντα μεταμέλειαν φέρει ἀνθρώποις*, altero *ἅπαντ' ἀνθρώποις μεταμέλειαν φέρει*. Correxit Grotius.

CLIV (4, 269) 673

Γυναῖχ' ὁ διδάσκων γράμματ' οὐ καλῶς ποιεῖ,
ἀσπίδι δὲ φοβερᾷ προσπορίζει φάρμακον.

Compar. Men. et Phil. p. 363. Vs. 1 editur *γράμματα καλῶς*. Correxit Grotius. Vs. 2 addidi *δέ*. Heinsius *πονηρᾷ* pro *φοβερᾷ*. Ibid. cod. *προροτίζει*. Quod in prima editione conieci *προσπορίζει*, confirmat liber Paris. indicante Boissonado Anecd. I p. 148. Heinsius *προσποτίζει*.

CLV (4, 269) 674

Καλὴν γυναῖχ' ἐὰν ἴδῃς μὴ θαυμάσῃς·
τὸ γὰρ πολὺ κάλλος καὶ ψόγων πολλῶν γέμει.

Compar. Men. et Phil. p. 363. Vs. 2 vulgo *τῶν ψόγων*, secus ac cod. et Anton. Mel. CX p. 186.

CLVI (4, 269) 675

Γνώμην ἀρίστην τῇ γυναικὶ μὴ λέγε·
γνώμη γὰρ ἰδίᾳ τὸ κακὸν ἡδέως ποιεῖ.

Compar. Men. et Phil. p. 363. Vs. 1 Heinsius *γνώμην κακίστην*. Dobraeus Adv. II p. 291 *γνώμην πονηράν*.

CLVII (4, 269) 676

Μὴ κλᾶε τοὺς θανόντας· οὐ γὰρ ὠφελεῖ
τὰ δάκρυ' ἀναισθήτῳ γεγονότι καὶ νεκρῷ.

Compar. Men. et Phil. p. 364. Ita Heinsius pro *τὸν θανόντα*.

CLVIII (4, 270) 677

Τί τῷ θανόντι δῶρα λαμπρὰ προσφορεῖς,
ἃ μετ' ὀδύνης εἶασε κοὐκ ἐχρήσατο;

Compar. Men. et Phil. p. 364.

CLIX (4, 270) 678

Πράττων καλῶς μέμνησο τῆς δυσπραξίας·
ὡς γὰρ τὸ πράττειν οὕτω καὶ σκόπει.

Compar. Men. et Phil. p. 364. Alterum versum delendum censet Dobraeus Adv. II p. 292.

679 CLX (4, 270)

Ἐὰν τροφὴν δοὺς τὸν λαβόντ' ὀνειδίσῃς,
ἀψινθίῳ κατέπασας ἀττικὸν μέλι.

Compar. Men. et Phil. p. 365. Primo versu erat *ὀνειδήσεις*, quod correxi.

680 CLXI (4, 270)

*Εἰ * * γάμος ἦν ὁ σώζων τὴν ἄλλου νόσον*
νόσον σώζων αὐτὸς ἀποθνήσκει νοσῶν.

Compar. Men. et Phil. p. 365. Dobraeus Adv. II p. 292 versu altero *νοσοῦντα σώζων αὐτός* etc. ceteris deletis.

681 CLXII (4, 270)

Ὅταν τι μέλλῃς τὸν πέλας κατηγορεῖν,
αὐτὸς τὰ σαυτοῦ πρῶτον ἐπισκέπτου κακά.

Compar. Men. et Phil. p. 365. Vulgo *μέλλεις*. Vs. 2 malim *πρῶτ' ἐπισκέπτου*.

682 CLXIII (4, 270)

Μηδέποτε πειρῶ στρεβλὸν ὀρθῶσαι κλάδον,
φύσιν δ' ἐνεγκεῖν οὗ φύσις βιάζεται.

Compar. Men. et Phil. p. 365. Vs. 2 cod. *οὐ ἦν ἐνεγκεῖν ὅπου φύσις*. Correxit H. Iacobi.

683 CLXIV (4, 271)

Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ πολὺν χρόνον βίου.

Compar. Men. et Phil. p. 366. Vs. 1 addidi *ἄρα*, et vs. 2 scripsi *πολὺν χρόνον βίου* pro *πολύχρονον βίον* ex Euripid. Alc. 670.

684 CLXV (4, 271)

Ὅταν γέρων γέροντι γνώμην διδοῖ,
θησαυρὸς ἐπὶ θησαυρὸν ἐμπορίζεται.

Compar. Men. et Phil. p. 366. Pro *ἐμπορίζεται* malim *ἐκπορίζεται*. Ante *γνώμην* Grotius addidit *τινά*. Vocem *πρᾶγμα* in cod. post *ἐμπορίζεται* additam delevit Rutgersius.

685 CLXVI (4, 271)

Ἂν καλὸν ἔχῃ τις σῶμα καὶ ψυχὴν κακήν,
καλὴν ἔχει· ναῦν καὶ κυβερνήτην κακόν.

Compar. Men. et Phil. p. 366. Isocrati tribuitur in Sententiis Anton. Mel. CX p. 186, ubi vs. 1 legitur *ἐὰν* ut in Compar. Scripsi *ἄν*. Ibid. Antonius *καλὸν ἔχῃς σῶμα* et vs. 2 *ἔχεις* et *κακὸν κυβερνήτην*.

CLXVII (4, 271) 686

Φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις,
ἐπεὶ κεκλήσῃ καὶ σὺ παντελῶς ἄφρων.

Compar. Men. et Phil. p. 359 et Anton. Mel. CXXVII p. 217. Secundum versum adieci ex Antonio, qui priora verba *φρόνησιν ἀσκῶν* omisit. Vs. 1 Dobraeus Advers. II p. 285 *τοῖς ἄφροσιν*. Vs. 2 scripsi *κεκλήσῃ* pro *κληθήσῃ*.

CLXVIII (4, 272) 687

Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ,
κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.

Compar. Men. et Phil. p. 359 et Anton. Mel. CXXXVII p. 317. Secundo versu, quem ex Antonio addidi, legebatur *καὶ οὐ φοβηθήσῃ*. Correxit etiam Pflugkius Sched. cr. p. 25.

CLXIX (4, 272) 688

Ὁ λοιδορῶν τὸν πατέρα δυσφήμῳ λόγῳ
τὴν εἰς τὸ θεῖον ἐκμελετᾷ βλασφημίαν.

Compar. Men. et Phil. p. 366. Vs. 1 cod. *δυσφημεῖ*. Correxit Bentleius. Idem vs. 2 *ἐκμελετᾷ* pro *μελετᾷ*. Dobraeus *προμελετᾷ*.

CLXX (4, 272) 689

Ὦ δέσποτ' ὤναξ, ἔστι τοῖς σοφοῖς βροτῶν
χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι.

Stobaeus Ecl. Phys. I 9 p. 226. Ita Heerenius. Vulgo *ἄναξ*. Grotius *Αἴας*. Ad Menandrum haec relata sunt auctoritate cod. V. Videntur Critiae esse, Menandri autem quae ibidem Critiae tribuuntur: *ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον*.

CLXXI (4, 272) 690

Ἐπὰν ἐν ἀγαθοῖς εὐνοούμενός τις ὢν
ζητῇ τι κρεῖττον ὧν ἔχει, ζητεῖ κακά.

Stobaeus Flor. IV 29. Alii libri Euripidi adscribunt.

CLXXII (4, 272) 691

Λαμπρῶς μὲν ἔνιοι ζῶσιν, οἷς χαλεπώτερον
τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον.

Stobaeus Flor. XV 4. Trinc. Diphilo tribuit. Vs. 1 Grotius ante *ἔνιοι* addidit *γάρ*. Malui *μέν*. Nisi praestat *ἐνίοτε*. Ibid. *ζῶσιν* pro *σώζειν* Grotius.

CLXXIII (4, 273) 692

Ὃς δ' οὔτ' ἐρυθριᾶν οἶδεν οὔτε δεδιέναι,
τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει.

Stobaeus Flor. XXXII 2. Gesneri prima et Trinc. Menandro tribuunt, Grotius vero et Gesneri tertia Diphilo. Clericus ad Adelphos rettulit propter Terent. Adelph. IV 5 9.

693 CLXXIV (4, 273)

Ὁ τῶν γεωργῶν ἡδονὴν ἔχει βίος,
ταῖς ἐλπίσιν τἀλγεινὰ παραμυθούμενος.

Stobaeus Flor. LVII 1. Vs. 2 cod. A *τὰ δεῖνα* (sic). Trinc. locum Euripidi tribuit. Cfr. Gaisf.

694 CLXXV (4, 273)

Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

Stobaeus Flor. XCIII 1. In Gesneri margine legitur: *Alexidis, alias Antiphanis, alias Menandri.* Cod. A *Ἀλέξιδος, οἱ δὲ Μενάνδρου.* Menandro tribuitur etiam a Maximo CXL p. 221, ubi ante *παραπέτασμα* inseritur *καί.*

695 CLXXVI (4, 273)

Κἂν μυρίων γῆς κυριεύῃς πήχεων,
θανὼν γενήσει τάχα τριῶν ἢ τεττάρων.

Compar. Men. et Phil. p. 364. Philistioni tribuit Anton. Mel. CXL p. 222. Primo versu editur *πηχῶν κυριεύῃς.* Dobraeus *πηχέων ἧς κύριος.* Dedi *κυριεύῃς πήχεων.* Antonius: *κἂν μυρίων πηχῶν γῆς κύριος ὑπάρχῃς, θανὼν γενήσῃ τριῶν ἢ τεττάρων.*

696 CLXXVII (4, 273)

Κακῶς ἀκούων ὅστις οὐκ ὀργίζεται,
πονηρίας πλείστης τεκμήριον φέρει.

MSS Hercul. I p. 74 ed. Ox. *κακῶς γὰρ ἀκούων καὶ πάσχων ὅστις οὐκ ὀργίζεται πονηρίας πλείστης τεκμήριον φέρει, κατὰ τὸν Μένανδρον.* Indicavit locum et digessit Dobraeus Adv. II p. 286.

697 CLXXVIII (4, 274)

Ἅπαν' ὅσ' ὀργιζόμενος ἄνθρωπος ποιεῖ,
ταῦθ' ὕστερον λάβοις ἂν ἡμαρτημένα.

Stobaeus Flor. XX 5. Incerto poetae tribuit Grotius, Philemoni Schowius et cod. Paris. A. Vs. 2 Schowius e tribus codd. enotavit *εὕροις* pro *λάβοις.*

698 CLXXIX (4, 274)

Ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

Stobaeus Flor. LXII 7 cum lemmate *τοῦ αὐτοῦ*. Praecedit fragmentum Menandri inc. XCVIII. Philippo h. e. Philippidi tribuit Stobaeus l. l. n. 35. Gesnerus: *alias ad Philemonem refertur.*

CLXXX (4, 274) 699

Ἂν ἀγνοῶν τι παρά τινος θέλῃς μαθεῖν,
τὸ τοῦ μαθητοῦ πρῶτον, ἔχε τὴν σιγήν.

Compar. Men. et Phil. p. 363 et iterum p. 367. Priori loco Philemoni, altero Menandro tribuitur. Vs. 1 editur *ἐάν*. Vs. 2 fortasse *τὰ πρῶτα, τὴν σιγὴν ἔχε*, quo ducit prioris loci lectio *τὴν σιγὴν ἔσχε*.

CLXXXI (4, 274) 700

Ὁ μὴ γέλωτος ἄξιος ἂν ᾖ γέλως,
αὐτοῦ γέλωτος πέφυκε κατάγελως.

Compar. Men. et Phil. p. 363 et iterum p. 367. Priori loco Philemoni, altero Menandro tribuitur. Legendum videtur *ἄξιος ὢν ἂν* vel *ἄξιος δ' ἄν*, et vs. 2 *πέφυκεν αὐτοῦ τοῦ γέλωτος κατάγελως*, vel *αὐτοῦ πέφυκε τοῦ γέλωτος κατάγελως*. Nisi versus est politicus.

CLXXXII (4, 274) 701

Ὁ μὴ τρέφων τεκοῦσαν ἐκ τέχνης νέος
ἄκαρπος οὗτός ἐστ' ἀπὸ ῥίζης κλάδος.

Compar. Men. et Phil. p. 366. Versu altero legebatur *ἐστιν οὗτος ἀπό*.

CLXXXIII (4, 275) 702

Ἐπὰν ἐκ μεταβολῆς ἐπὶ κρεῖττον γένῃ,
ὅτ' εὐτυχεῖς μέμνησο τῆς προτέρας τύχης.

Compar. Men. et Phil. p. 365. Vs. 1 possis *ἐκ μεταβολῆς ἐπὰν ἐπὶ τὸ κρεῖττον*. Sed nec hoc placet. Vs. 2 cod. *ὅτ' τυχεῖς μέμνησο τῆς προτέρας σου τύχης*. Correxit Grotius.

CLXXXIV (4, 275) 703

Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
ἀγαθά, τὰ λίαν ἀγαθά.

Schol. Plat. Bekk. p. 369: *χαλεπὰ τὰ καλά, παροιμία ἐπὶ τῶν ἐν εὐπραγίᾳ μεταβαλλομένων εἰς ὠμότητα· — ὅθεν, οἶμαι, φησὶ καὶ Μένανδρος Ἀρχὴ μεγίστη κτλ.* Idem locus est apud Plutarchum adv. Stoic. p. 1076, qui *ἀγαθὰ* in initio vs. 2 omittit. Si quid corrigendum, coniiciam *τἀγαθὰ τὰ λίαν ἀγαθά*, cll. Scymno Per. 345: *τἀγαθὰ τὰ λίαν μὴ μαθόντες εὖ φέρειν*.

704 CLXXXV (4, 275)

Παίδων ἐπ' ἀρότῳ γνησίων
δίδωμί σοί γε τὴν ἐμαυτοῦ θυγατέρα.

Clemens Alex. Strom. II p. 502 Pott.: *γάμος μὲν οὖν ἐστι σύνοδος ἀνδρὸς καὶ γυναικὸς ἡ πρώτη κατὰ νόμον ἐπὶ γνησίων τέκνων σπορᾷ· ὁ γοῦν κωμικὸς Μένανδρος Παίδων, φησί, ἐπ' ἀρότῳ κτλ.* Ita Pors. correxit editum *παίδων σπόρῳ τῶν γνησίων.* Confirmat emendationem Apuleius Apol. p. 576 *ille celeberrimus in comoediis versus de proximo congruit* ΠΩΑΩ ΝΕΠΑ ΡΟΓΟΗΙ ΗΙ CIONe HICNOPeI. Ita cod. Flor. Similiter excerpta Lindenbr. *Πωλω Νεπω ΡΟΓΟΝΙΝΙΕΙΟΝ e ΝΙCΝΟΡΘΙ.* In quibus manifestum est latere quod Clementi Porsonus restituit *ΠΑΙΔΩΝ ΕΠΙΑΡΟΤΩΙ ΓΝΗCΙΩΝ.* Postremae autem literae *eHICNOPeI*, vel *e ΝΙCΝΟΡΘΙ*, ex *ἐπὶ σπόρῳ* corruptae videntur, sive id *ἐπισπόρων* scribendum, sive pro glossemate verborum *ἐπ' ἀρότῳ* habendum putes. Ceterum Casaubonus, quum graeca in eo quo ipse usus est libro non comparerent, aliud Menandri fragmentum (Plocii fr. 399) Apuleio obtrusit invito.

705 CLXXXVI (4, 275)

Μέμφομαί σοι τοῦθ' ὅτι
χρηστά με λέγοντ' οὐκ εὖ ποιήσειν προσδοκᾷς.

Priscianus XVIII p. 221 K.: *Attici μέμφεται σοὶ καὶ σέ. Μένανδρος Μέμφομαι κτλ.* Vulgo *οὐκ ἐποίησεν.* Correxit Bentleius. Confirmant Leid. et Monac., qui habent *οὐκ εὖ ποίησεν.*

706 CLXXXVII (4, 276)

Οὐκ ἄρα φροντίζει τις ἡμῶν ἢ μόνος
θεός.

Theophilus ad Autol. II p. 353 e: *καὶ Μένανδρος Οὐκ ἄρα κτλ. μόνος* fortasse Theophili est.

707 CLXXXVIII (4, 276)

Ἄνθρωπε, πέρυσι πτωχὸς ἦσθα καὶ νεκρός,
νυνὶ δὲ πλουτεῖς.

Eustathius ad Hom. p. 1833 58: *τὸν πτωχὸν ἀστείως νεκρῷ εἴκασεν ὁ Μένανδρος εἰπών Ἄνθρωπε κτλ.* Erat *νῦν*, correctum a Grotio.

708 CLXXXIX (4, 276)

Εὐκαταφρόνητος τῇ στολῇ
εἴσειμι, καὶ ταῦτ' εἰς γυναῖκας.

Schol. Par. Apoll. Rh. I 724: *ἄοπλος ὁ Ἰάσων εἰς τὴν Ὑψιπύλην εἰσέρχεται. ἀνὴρ γὰρ ὄντως* (leg. *ὢν τὰς*) *γυναῖκας οὐ δέδοικεν. καὶ Μένανδρος Εὐκαταφρόνητος κτλ.* Videntur haec ab aliquo male vestito dici eamque ob causam mulierum coetum intrare verenti.

CXC CXCI (4, 276) 709. 710

Πάντα γάρ
ταῖς ἐνδελεχείαις καταπονεῖται πράγματα.
Ὡς ἡδὺ πρᾶος καὶ νεάζων τῷ τρόπῳ
πατήρ.

Stobaeus Flor. XXIX 19 et LXXXIII 13. Vs. 2 *ἐνδελεχείαις* codd. *ἐντελεχείαις* vulgo.

CXCII (4, 277) 711

Κομψὸς στρατιώτης οὐδ' ἐὰν πλάττῃ θεός
οὐδεὶς γένοιτ' ἄν.

Stobaeus Flor. LIII 6. Vs. 1 vulgo *οὐδ' ἂν εἰ πλάττοι.* Codd. *οὐδ' ἂν πλάττῃ.* Correxit Gaisfordus.

CXCIII (4, 277) 712

Ἔργον ἐστί, Φανία,
μακρὰν συνήθειαν βραχεῖ λῦσαι χρόνῳ.

Stobaeus Flor. XLIII 31 et Anton. Mel. CII p. 168. Ita Grotius et Gatakerus Posth. X p. 504. Librj *Πανία* et *ἐν βραχεῖ*. Praeterea cod. Barocc. et Antonius pro *ἔργον ἐστί* habent *ἀμήχανον*. Forsan igitur . . . *ἀμήχανον δέ, Φανία, μακράν | συνηθίαν ἔστ' ἐν βραχεῖ λῦσαι χρόνῳ*. Ita etiam numeri evadunt correctiores; *συνηθία* autem formatum ut *εὐηθία* apud Menandr. fr. 594.

CXCIV (4, 277) 713

Οὐκ ἔστ' ἀνοίας οὐδέν, ὡς ἐμοὶ δοκεῖ,
τολμηρότερον.

Stobaeus Flor. IV 35. Anton. Mel. LXXIX p. 137 et Crameri AO. IV p. 254.

CXCV (4, 277) 714

Πᾶς ὁ μὴ φρονῶν
ἀλαζονείᾳ καὶ ψόφοις ἁλίσκεται.

Stobaeus Flor. XXII 12.

CXCVI (4, 277) 715

Μόνος ἔστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.

Stobaeus Flor. LXIV 3. Ita A pro edito *μόνον*.

716. 717 CXCVII CXCVIII (4, 278)

Ἔστι δέ
γυνὴ λέγουσα χρήσθ' ὑπερβάλλων φόβος.
Οὐ πάνυ
εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή.

Stobaeus Flor. LXXIII 2 et 59.

718 CXCIX (4, 278)

Ὦ νύξ, σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτης θεῶν
μετέχεις μέρος.

Schol. Theocr. II 10: *δεῖ δὲ τοῖς κλεπτομένοις ἔρωσι σιγῆς καὶ νυκτός. Μένανδρος Ὦ νύξ, σοὶ γὰρ δεῖ πλεῖστον Ἀφροδίτης.* Plutarchus de Fort. Rom. p. 318 d: *πλεῖστον γὰρ Ἀφροδίτης οὐ νύξ, κατὰ Μένανδρον, ἀλλὰ τύχη μετέσχηκεν.* Idem Sympos. III 6 p. 654 d: *ὁ Ἐπίκουρος παρὰ πᾶν δίκαιον ἀφαιρεῖ τὴν Ἀφροδίτην τῆς νυκτός. καίτοι κράτιστον* (Wyttenb. *πλεῖστον*) *αὐτῇ θεῶν μετεῖναί φησιν ἐρωτικὸς ἀνὴρ Μένανδρος.* Philostr. Vit. Soph. I 21 p. 518: *ὦ νύξ, σὺ γὰρ δὴ πλεῖστον μετέχεις σοφίας μέρος θεῶν.* Ex his locis inter se comparatis locum ita conformavi ut supra adscriptus est. Grotius *ὦ νύξ, σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτης ἔχεις.*

719 CC (4, 278)

Ὁ θάτερος μὲν τοῖν δυοῖν Διοσκόροιν.

Grammaticus apud Valcken. post Ammon. p. 195 et Boisson. Anecd. III p. 258. *Μένανδρος λέγει Ὁ θάτερος κτλ. ἀντὶ τοῦ φάναι ὁ ἕτερος.* Eadem per errorem ut videtur Chrysippo tribuit Eustath. p. 1573 62: *Χρύσιππος δὲ λέγων τὸν θάτερον τῶν Διοσκούρων ἐσχάτως βαρβαρίζει.*

720 CCI (4, 279)

Στυππεῖον, ἐλέφαντ', οἶνον, αὐλαίαν, μύρον.

Cosmas Topogr. Christ. V p. 197: *Ἀττικοὶ λέγουσιν αὐλαίαν τὸ μέγα καὶ ποικίλον παραπέτασμα. — ὁμοίως καὶ Μένανδρος Στυππεῖον, ἐλέφαντα, μύρον, οἶνον, αὐλαίαν.* Transposuit Porsonus.

721 CCII (4, 279)

Ἔθνον οὐ προσέχουσιν οὐδέν μοι θεοῖς.

Plutarchus Mor. p. 1102 b: *θύσας δὲ ἅπεισι λέγων τὸ Μενάνδρειον Ἔθνον κτλ.* Ante Reiskium *μὲν ἀνδρεῖον.*

CCIII (4, 279) 723

Λυκοφίλιοι μέν εἰσιν αἱ διαλλαγαί.

Eustath. p.809 42: *παρὰ Αἰλίῳ Διονυσίῳ κεῖται τὸ λυκοφιλίως ἀντὶ τοῦ ὑπόπτως, ὑπούλως. ὃς φέρει καὶ Μενάνδρου χρῆσιν ταύτην Λυκοφίλιοι κτλ.* Photius, *Λυκοφιλίως: ὑπόπτως, ὑπούλως. οὕτω Μένανδρος.*

CCIV (4, 279) 723

Ὁμοῦ δὲ τῷ τίκτειν παρεγένεθ' ἡ κόρη.

Schol. Apollonii Rh. II 121: *τὸ ὁμοῦ καὶ ἐπὶ τοῦ ἐγγύς, ὡς Ἀθηναῖοι εἰώθασι χρῆσθαι. Μένανδρος Ὁμοῦ κτλ.* Apud Photium et Suidam s. v. *ὁμοῦ* Menandrea ita exhibentur: *ἤδη γὰρ τοῦ* (Suidas *τῷ*) *τίκτειν ὁμοῦ.* Ita etiam Harpocratio s. v. *ὁμοῦ,* nisi quod *ἐστὶ* post *γὰρ* infert. At ea non Menandri, sed Aristophanis esse verba (fr. 535) recte suspicatur Dobraeus Adv. I p. 588.

CCV (4, 279) 724

Ἄνθρωπον ἐξαλλάξομεν κακόν τί σοι
δώσοντα.

Zonaras p. 767. *Ἐξαλλάξαι ἀντὶ τοῦ τέρψαι. Μένανδρος Ἄνθρωπον κτλ.* Cfr. Antiattic. p. 96 et Phryn. Epit. p. 363.

CCVI (4, 280) 725

Ἕκαστος . . .
κύψας καθ' ἑαυτὸν τῶν τραγημάτων ἔφλα.

Plutarchus de Sanit. p. 133 b: *τῶν παρὰ τῷ Μενάνδρῳ νεανίσκων ὑπὸ τοῦ πορνοβοσκοῦ παρὰ πότον ἐπιβουλευομένων καλὰς καὶ πολυτελεῖς εἰσάγοντος ἑταίρας, ἕκαστος, ὥς φησιν, κύψας κτλ. φυλαττόμενος καὶ φοβούμενος ἐμβλέπειν.* Editur vulgo *κύψας εἰς αὐτόν,* quod correxi ex Plutarcho Symp. VII 5 3 p. 706 b.

CCVII (4, 280) 726

Καθεδοῦμαι δ' ἐνθαδὶ τὸν Λοξίαν
αὐτὸν καταλαβών.

Zonaras p. 1170. *καθεδοῦμαι — καὶ Μένανδρος Καθεδοῦμαι κτλ.* Fortasse *τοῦτον.* Cfr. Plaut. Most. V 1 45: *ego interim hanc aram occupabo. Λοξίας* enim de Apollinis ara in scena posita intellegendum. V. Photium Bibl. p. 535 33 et Lexic. Segu. p. 230 11. Respicit grammaticus in Epimerismis Hom. p. 255 22,

ubi qui Menandro tribuitur versus Aristophanis esse Plut. 382, monuit Schneidewinus Coni. crit. p. 116.

727. 728 CCVIII a. b (4, 280)

Κόψω τὴν θύραν.

Ἀλλ' ἐψόφηκε τὴν θύραν τις ἐξιών.

Schol. Arist. Nub. 132 et Suidas v. *κόπτειν*: *ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων κόπτειν λέγεται, ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. Ἱκανῶς δὲ διέστειλε Μένανδρος, ἐπὶ μὲν τῶν ἔξω Κόψω τὴν θύραν εἰπών, ἐπὶ δὲ τῶν ἔσω Ἀλλ' ἐψόφει καί τις τὴν θύραν ἐξιών.* Ita Suidas. Scholiastes *ἐψόφηκε τὴν θύραν ἐξιών.* Correxit Kusterus.

729 CCIX (4, 280)

Ὦ παῖ σιώπα· πόλλ' ἔχει σιγὴ καλά.

Apostolius XXI 16 et Plutarch. de Garrul. p. 502 e. Apud Stobaeum Flor. XXXIII 3, Sophocli tribuitur.

730 CCX (4, 281)

Ποτήριον, τράπεζαν, ἁρπάγην, κάδον.

Ammonius sub *ἁρπαγὴ καὶ ἁρπάγη* p. 22: *καὶ παρὰ Μενάνδρῳ ἀναγινώσκομεν Ποτήριον κτλ.* Quod ante *κάδον* legitur *δεύτερον* delevit Bentleius. Cfr. Dobraeus Adv. II p. 285.

731 CCXI (4, 281)

Οὐχ οὗτος ἱππόκαμπός ἐστ' ἐν αἰθέρι;

Nonius p. 120: *Hippocampi, equi marini, a flexu caudarum, quae piscosae sunt: et est graecum. Menander Οὐχ οὗτος κτλ.* Emendavit Scaliger. Vulgo *Vehutos hippocampos in aeter.*

732 CCXII (4, 281)

Μαρτύρομαι ναὶ μὰ τὸν Ἀπόλλω τουτονί
καὶ τὰς θύρας.

Suidas s. v. *ναὶ μὰ τόν. οἱ ἀρχαῖοι οὐ προπετῶς κατὰ τῶν θεῶν ὤμνυον, ἀλλὰ κατὰ τῶν προστυχόντων, ὡς καὶ Μένανδρος Μαρτύρομαι κτλ.* Vulgo *μαρτύρομαι τὸν Ἀ. τοῦτον,* quod correxi in ed. prima. G. A. Schroeder Progr. schol. (Mariaeins 1845) *μαρτυρεῖ· Ναὶ μὰ τὸν Ἀ.*

733 CCXIII (4, 281)

Ἕν γάρ τι τούτων τῶν τριῶν ἔχει κακῶν.

Photius et Suidas, *Τῶν τριῶν κακῶν ἕν: λεγόμενόν τι ἐστί. καὶ Μένανδρος δύο προθεὶς ὡς παροιμιῶδες ἐπιλέγει παίζων τὸ Ἕν γάρ κτλ.* Aut in Photii verbis *τρία* scribendum pro *δύο,* aut quod malim in Menandri versu *δυοῖν* pro *τριῶν.* Hinc est quod *παίζων* dicit. Pro *κακὸν* Photius *κακῶν.*

CCXIV (4, 281) 734

Θρᾷξ εὐγενὴς εἶ πρὸς ἅλας ἠγορασμένος.

Zenobius II 12: *εἰς τὴν μεσόγειον ἀναβάντες οἱ ἔμποροι ἐκόμιζον ἅλας, ἀνθ' ὧν τοὺς οἰκέτας ἐλάμβανον· ὅθεν καὶ ὁ κωμικός φησι Θρᾷξ εὐγενής κτλ.* Menandro tribuit Diogen. I 100 et Apostol. II 59, ubi legitur *ὠνημένος*.

CCXV (4, 282) 735

Οὐδεὶς γὰρ ἀγαπῶν αὐτὸς ἀμελεῖθ' ἡδέως.

Plutarchus de Amic. p. 95 d et de amore frat. p. 491 c.

CCXVI (4, 282) 736

Κορινθίῳ πίστευε καὶ μὴ χρῶ φίλῳ.

Anthol. Palat. XI 438. In *πίστευε* vitium latere videtur. Bothius *Κορινθίῳ 'πίστει τε.*

CCXVII (4, 282) 737

Ὄνειδος αἰσχρὸς βίος ὅμως κἂν ἡδὺς ᾖ.

Plutarchus de aud. poet. p. 21 c: *ὁ δὲ Μένανδρος — τὴν θρασύτητα τῆς ἀκολασίας ἐξέκοψεν εἰπών Ὄνειδος κτλ.*

CCXVIII (4, 282) 738

Ἡ δ' εὐπάτειρα φιλόγελώς τε παρθένος
Νίκη μεθ' ἡμῶν εὐμενὴς ἕποιτ' ἀεί.

Schol. Aristidis p. 301 Dind. (69 Fromm.): *παρὰ τὸ (τὸν) κωμικὸν ἡ δὲ εὐπάτορα* (cod. *εὐπάτειρα*) *φιλόγελώς τε παρθενικὰ μεθ' ἡμῶν εὐμενὴς εὖ ποτ' ἀεί. λέγει δὲ τὴν Ἀθηνᾶν.* Corrige ut supra exhibui. Menandro vindicavi propter Grammaticum Bekkeri p. 368: *ἀκολουθεῖν μετ' αὐτοῦ — Μένανδρος Νίκη μεθ' ἡμῶν εὐμενὴς ἕποιτ' ἀεί.* Locus fortasse in ultima fabulae parte legebatur: ut victoriam sibi poeta a Minerva in certamine comico expeteret. Si *ὑμῶν* scriptum esset, e prologo petitum suspicarer.

CCXIX (4, 282) 739

Δεῖ γὰρ ἢ πλουτεῖν, ὅπως μὴ μάρτυρας πολλοὺς ἔχειν
τοὺς ὁρῶντας.

Schol. Hesiodi *Ἔργ.* 634 *οὐκ ἄφενος φεύγων*] *ἐπειδή τινες φεύγουσι τὴν πατρίδα μηδενὸς δεόμενοι· οὗτος δὲ* (Hesiodi pater) *πένης ὢν διέφυγε. Μένανδρος δέ φησι Δεῖ γὰρ ἢ πλουτεῖν κτλ.* Locus corruptus; Trinc. et duo codd. *ἕξειν* pro *ἔχειν*; in iisdem inter *πλουτεῖν* et *ὅπως* lacuna est circiter decem litterarum, annotante Gaisfordo.

740 CCXX (4, 283)

Δεδράμηκά σοι
δρόμον τοιοῦτον οἷον οὐδεὶς πώποτε.

Zonaras p. 618: *ἔδραμον — ἀπὸ τοῦ δραμῶ περισπωμένου, ἐξ οὗ καὶ τὸ παρὰ Μενάνδρῳ οἷον Δεδράμηκα κτλ.* Etymol. M. p. 316 48 *τοιοῦτον* omittit.

741 CCXXI (4, 283)

Τὸ δὴ λεγόμενον τοῦτο θᾶττον ἢ βάδην.

Etymol. M. p. 184 47: *Βάδην ἀπιόντος, ἡρέμα παραγινομένου. ἢ θᾶττον ἢ βραδέως Μένανδρος Τὸ δή κτλ.*

742 CCXXII (4, 283)

Ἐκάθηντ' ἐπὶ δίφρου μήτηρ τε καί
παρθένος.

Etymol. M. p. 279 37: *δίφρος, κυρίως τὸ ἅρμα. — λέγεται καὶ ἐπὶ τῆς καθέδρας — καὶ Μένανδρος Ἐκάθηντ' ἐπί κτλ.*

743 CCXXIII (4, 283)

Μικροῦ μὲν ἀρραβῶνά με
ἔπεισεν εὐθὺς καταβαλεῖν.

Etymol. M. p. 148 52: *ἀρραβὼν ἡ — παρὰ τῶν ὠνουμένων διδομένη προκαταβολὴ ὑπὲρ ἀσφαλείας. Μένανδρος Μικροῦ κτλ.*

744 CCXXIV (4, 283)

Κρωβύλῃ τῇ μητρὶ πείθου καὶ γάμει τὴν συγγενῆ.

Herodianus p. 454 ed. Piers. p. 302 Herm.: *οὐδὲ συγγενίδα (λέγομεν) ἀλλὰ συγγενῆ, ὥς που καὶ Μένανδρος Κρωβύλῃ κτλ.* Eadem in Crameri AO. III 247 5. Pro *Κρωβύλῃ* fortasse *Κρωβύλε* scribendum, id ut in fine praecedentis versus positum fuerit.

745 CCXXV (4, 284)

Οὐδὲ λόγον ὑμῶν, οὐδ' ἐπιστροφὴν ἔχω.

Etymol. M. p. 58 43: *λόγος ἡ φροντίς. Μένανδρος Οὐδὲ λόγον κτλ.* Eadem incertus Crameri AO. IV p. 327 20 et schol. Dionysii Thr. p. 839, ubi *οὔτε — οὔτε* legitur et *ἡμῶν* pro *ὑμῶν* et postremo *ἔχων*.

746 CCXXVI (4, 284)

Ὁρᾷς; ἀχαρὴς παραπόλωλας ἀρτίως.

Etymol. M. p. 45 23: *Ἀχαρής, ὁ ἐλάχιστος καιρός. ἐτίθετο δὲ κυρίως ἐπὶ οἱουδήποτε ἐλαχίστου. Μένανδρος Ὁρᾷς κτλ.* Etym. Gud. p. 24 *παραπόλλωνας*. Bentleius *ὁρᾷς; ἐν ἀχαρεῖ*. Fortasse *ὁρᾷς; ἀχαρὴς γὰρ παραπόλωλας*.

CCXXVII (4, 284) 747

Ἀσπίδιον ἐπριάμην τι καὶ μαχαίριον.

Stephanus Byz. v. *Ἀσπίς*: *ἔστι δὲ τοῦτο* (*ἀσπιδιώτης*) *παρὰ τὸ ἀσπίδιον. Μένανδρος Ἀσπίδιον κτλ.*

CCXXVIII (4, 284) 748

Παρ' αὐτὸν ἴσα βαίνουσ' ἑταίρα πολυτελής.

Harpocratio p. 102: *ἴσα βαίνων — ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μηδὲ βραχὺ ἀφιστάμενος. — Μένανδρος Παρ' αὐτόν κτλ.* Tres libri *πολυετής*.

CCXXIX (4, 284) 749

Πικροῦ γέροντος αὐθεκάστου τὸν τρόπον.

Grammat. Bekkeri p. 462: *λέγεται δὲ αὐθέκαστα καὶ τὰ αὐτόματα καὶ σκληρά. Μένανδρός φησι Πικροῦ κτλ.* Vulgatum *τοῦ τρόπου* correxi e Phrynicho Bekk. p. 17. An *τοὺς τρόπους*?

CCXXX (4, 284) 750

Ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φίλε.

Demetr. de Eloc. 193: *διὰ τοῦτο δὲ καὶ Μένανδρον ὑποκρίνονται λελυμένον ἐν τοῖς πλείστοις, Φιλήμονα δὲ ἀναγινώσκουσιν. ὅτι δὲ ὑποκριτικὸν ἡ λύσις παράδειγμα ἐγκείσθω τόδε Ἐδεξάμην κτλ.* In his *ἐδεξάμην* est *συνέλαβον*. Cf. Pollux II 6.

CCXXXI (4, 285) 751

Φορὰ γὰρ νῦν τούτου γέγονε καλή.

Ioh. Philop. ad Aristot. meteor. p. 98 b: *τὸ πολλοὺς γεγονέναι καρποὺς φορὰν καρπῶν λέγομεν, καὶ ἐπὶ τῶν χειρόνων ὁμοίως. Μένανδρος Φορὰ γάρ κτλ.* Fortasse *γέγονε τούτου*.

CCXXXII (4, 285) 752

Ἐν γειτόνων οἰκῶ γάρ, ὦ τοιχωρύχε.

Schol. Eurip. Phoen. 886: *ἔθος ποιητικὸν τὸ ἀπὸ τοῦ γὰρ ἄρχεσθαι. καὶ Μένανδρος Ἐν γειτόνων κτλ.* In his *ἐν γειτόνων* scripsi: cf. Sauppii Epist. ad Herm. p. 107. Tum *οἰκῶ γάρ* Porsonus; vulgo *γὰρ οἴκων*, Taur. *οἴκων γάρ*.

CCXXXIII (4, 285) 753

Ἵν' οὐχ αὑτῷ παρετράφην, ἀλλὰ σοί.

Priscianus XVIII p. 186 Kr.: *ἑαυτὸν proprie quidem est tertiae personae, invenitur tamen et primae et secundae adiunctum. Menander Ἵν' οὐχ ἑαυτῷ παρετράφην, ἀλλά σοι. τουτέστιν οὐκ ἐμαυτῷ.* Ald. *οὐχ αὑτῷ γὰρ ἐτράφην ἀλλά σοι.*

754 CCXXXIV (4, 286)

Ἡμέραν τρίτην
ἐπεκώμασ' ἡμῖν.

Zonaras p. 1745: *τρίτην ἡμέραν λέγουσιν, οὐχὶ τρίτης ἡμέρας, οὐχὶ (οὐδὲ) τρίτη ἡμέρα* (Tittm. *τρίτῃ ἡμέρᾳ*). *Ξενοφῶν "χθὲς καὶ τρίτην ἡμέραν ταὐτὸ τοῦτ' ἔπραττον". Μένανδρος Ἡμέραν κτλ.* Ita pro *ἐπενόμασεν* Lexicon apud Ruhnkenium de Antiph. p. 248.

755 CCXXXV (4, 286)

Ἤδη ἀλεαίνῃ πρὸς τὸ πῦρ καθημένη.

Zonaras p. 135: *ἀλεαίνειν τὸ θερμαίνεσθαι, οὐκ ἀλεαίνεσθαι· Ἀριστοφάνης "ἔπειθ' ἵν' ἀλεαίνοιμι τοῦτ' ἠμπισχόμην." καὶ Μένανδρος Ἤδη κτλ.* Fortasse *ἤδη δ' ἀλεαίνει*, vel *ἤδὶ δ' ἀλεαίνει.*

756 CCXXXVI (4, 286)

Οὐχὶ παρακληθέντας ὑμᾶς δεῖ γὰρ ἡμῖν εὐνοεῖν,
ἀλλ' ὑπάρχειν τοῦτο.

Photius et Suidas v. *ὑπάρχων. τὸ ὑπάρχειν ... τὸ πάλαι εἶναι καὶ προϋπεῖναι, φθάνειν. Μένανδρος Οὐχὶ παρακληθέντας κτλ.* Vs. 1 ante Porsonum *ὑμῖν*. Vs. 2 Photius *ἀλλὰ καὶ ὑπάρχειν*, Suidas *ἀλλὰ ὑπάρχειν τοῦτο.*

757 CCXXXVII (4, 286)

Ἀλλὰ σκατοφάγος ἐστὶ καὶ λίαν πικρός.

Photius, *Σκατοφάγος: ἀκάθαρτος. οὕτως Μένανδρος Ἀλλὰ κτλ.*

758 CCXXXVIII (4, 287)

Ἔγημε θαυμαστὴν γυναῖχ' ὡς σώφρονα.

Hesychius s. v. *ὡς. Σοφοκλῆς δὲ Λαρισσαίοις ἀντὶ τοῦ λίαν (κέχρηται τῷ ὡς) — καὶ Μένανδρος Ἔγημε κτλ.*

759 CCXXXIX (4, 287)

Πύλη τίς ἐστι Ταινάρου πρὸς ἑσχάτοις.

Tzetzes ad Lycophr. Cass. 90: *ἔστι γὰρ ἐν τῷ Ταινάρῳ τῆς Λακωνικῆς στόμα, καὶ Ἅιδου κάθοδον αὐτὸ λέγουσιν, ὡς καὶ Μένανδρός φησι Πύλη τις κτλ.* Idem versus legitur apud schol Pindari Pyth. IV 76.

760 CCXL (4, 287)

Οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει.

Choeroboscus Bekkeri p. 1175: *παρὰ τοῖς ποιηταῖς πολλάκις ἡ αι καὶ ἡ οι δίφθογγοι ἀντὶ κοινῆς παραλαμβάνονται —*

καὶ παρὰ Μενάνδρῳ Οἱ τηλικοῦτοι κτλ. Photius, *Τηλικοῦτος: ἐπὶ ἡλικίας τίθεται. οὕτως Μένανδρος.*

CCXLI (4, 287) 761

Λελουμένη γὰρ ἡτέρα καὶ διαφανὲς
χιτωνάριον ἔχουσα.

Eustathius p. 1166 52: *χιτώνιον καὶ χιτωνάριον λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές. Μένανδρος Λελουμένη κτλ.* Ita Bentleius pro *ἡ ἑταῖρα.*

CCXLII a. b (4, 287) 762. 763

Ἐξακεῖσθαί μοι δοκῶ τὸ δίκτυον.
Ἱμάτιον ἀκούμεθα.

Aelius Dionysius apud Eustathium p. 1647 58: *Ἀκέστριαν, οὐχ ἠπήτριαν. Μένανδρος Ἐξακεῖσθαί μ. δ. τὸ δίκτυον, καὶ Ἱμάτιον ἀκούμεθα.*

CCXLIII a (4, 288) 764

Ἀπασχαριῶ δ' ἐγὼ γέλωτι τήμερον.

Suidas, *Ἀπασχαρίζειν: Ἀριστοφάνης Ταγηνισταῖς "Ἀπασχαρίζειν ὥσπερεὶ πέρκην χαμαί." Μένανδρος Ἀπασχαριῶ κτλ.* Scripsi δ' pro σ', ut sensus sit *exultabo prae risu.*

CCXLIII b (4, 288) 765

Μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς.

Schol. Aristidis p. 132 ed. Fr. *ποιητής τις*] *ὁ Μένανδρος. εἶπε γὰρ Μάντις κτλ.* Euripidi tribuitur a Plutarcho def. orac. p. 432 c. Sed idem proverbialem versum fuisse indicat in libro de Pyth. orac. p. 399 a.

CCXLIV (4, 288) 766

Νόμον φοβηθεὶς οὐ ταραχθήσῃ νόμῳ.

Compar. Men. et Phil. p. 361. Legitur vulgo *μὴ ταραχθήσῃ* praeter codicis auctoritatem.

CCXLV (4, 288) 767

Ἡδύ τ' ἀποθνήσκειν ὅτῳ ζῆν μὴ πάρεσθ' ὡς βούλεται.

Stobaeus Flor. CXXI 6. Fortasse *ἡδύ γ'*, vel *ἡδύ τοι θνήσκειν.*

CCXLVI a. b. c (4, 288) 768–770

Ὁ χρηστός ἐστι πολλαχοῦ σωτήριος.
Τὸ χρηστὰ πράττειν ἔργον ἔστ' ἐλευθέρου.
Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης.

Stobaeus Flor. XXXVII 6. 7. 8.

771–774 CCXLVII—CCL (4, 288. 289)

Οὐδὲν κατὰ λόγον γίνεθ' ὧν ποιεῖ τύχη.
Τυφλόν τι τἀνόητον εἶναί μοι δοκεῖ.
Χρηστοῦ πρὸς ἀνδρὸς μηδὲν ἐννοεῖν κακόν.
Τὸ δοκεῖν διαβολὴν ἔσχε μείζω τοῦ ποιεῖν.

Versus primus est apud Stob. Ecl. phys. I 8, secundus Flor. IV 13, tertius Flor. IX 9 (ubi v. Gaisfordum), quartus Flor. XLII 5.

775–777 CCLI—CCLIII (4, 289)

Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου.
Οὐκ ἔστι τόλμης ἐπιφανεστέρα θεός.
Ἀγροῖκος εἶναι προσποιεῖ πονηρὸς ὤν.

Versus primus est apud Stob. Flor. LI 20, secundus ib. 25, tertius LVI 9.

778–780 CCLIV—CCLVI (4, 289)

Ἔχει τι τὸ πικρὸν τῆς γεωργίας γλυκύ.
Λυπεῖ με δοῦλος μεῖζον οἰκέτου φρονῶν.
Ἔργον γυναικὸς ἐκ λόγου πίστιν λαβεῖν.

Versus primus est apud Stob. Flor. LVII 9, secundus LXII 5, tertius LXXIII 4.

781 CCLVII (4, 290)

Τοῦτ' ἔστι τὸ ζῆν, οὐχ ἑαυτῷ ζῆν μόνον.

Stobaeus Flor. CXXI 5. Cfr. supra Philadelph. fragm. V p. 963. Cod. A *ζῆ μόνον*.

782 CCLVIII (4, 290)

Πολὺ χεῖρόν ἐστιν ἐρεθίσαι γραῦν ἢ κύνα.

Stobaeus Flor. LXXIII 44. Trincav. *χειρότερον*.

783 CCLIX (4, 290)

Φύσει γυνὴ δυσάνιόν ἐστι καὶ πικρόν.

Stobaeus Flor. LXXIII 46. Vulgo *δυσήνιον*, quod correxi ex optimis codd. A et Voss. Ac fortasse ex hoc ipso loco vocem *δυσάνιος* enotavit Harpocratio p. 64 2: *Ἱπποκράτης ἐχρήσατό που τῷ ὀνόματι καὶ Μένανδρος.* Respicere videtur etiam Hesychius, *Δυσανίας*: *ὁ λύων τὰς ἀνίας, καὶ δυσάνιος γυνή, ἡ ἐπὶ τοῖς τυχοῦσιν ἀχθομένη.*

784–786 CCLX—CCLXII (4, 290)

Δίκας γραφόμενος πρὸς γονεῖς μαίνει, τάλαν.
Υἱὸς δ' ἀμείνων ἐστὶν εὐνοίᾳ πατρός.
Ἡδύ γ' ἐν ἀδελφοῖς ἐστιν ὁμονοίας ἔρως.

Versus primus est apud Stobaeum Flor. LXXIX 32, secundus LXXXIII 11, tertius LXXXIV 1. Libri ὡς ἡδύ γ', correxit Porsonus Misc. p. 194.

CCLXIII CCLXIV (4, 291) 787. 788

Ἄνθρωπος· ἱκανὴ πρόφασις εἰς τὸ δυστυχεῖν.
Αἰσχυνόμενος αἴσχιστα πενίαν ἂν φέροις.

Versus primus est apud Stobaeum Flor. XCVIII 7, secundus ibid. XCV 6 et ap. Plutarchum praec. sanit. p. 128a. Vulgo Stobaeus *πενίαν φέρεις.* Cod. A *πενίαν φέροις,* ut Plutarchus. Hinc correxit Porsonus ad Orest. 485.

CCLXV CCLXVI (4, 291) 789. 790

Πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν.
Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις.

Versus primus est apud Stobaeum Flor. CVIII 5, secundus CXIII 11. Porsonus Misc. p. 195: *ἡδύ γε λόγος φίλου 'στί.*

CCLXVII (4, 291) 791

Ἕλληνές εἰσιν ἄνδρες οὐκ ἀγνώμονες
καὶ μετὰ λογισμοῦ πάντα πράττουσίν τινος.

Schol. Aristidis ed. Fromm. p. 3: *σοφοὺς (τοὺς Ἕλληνας λέγει) καὶ Μένανδρος Ἕλληνές εἰσιν κτλ.*

CCLXVIII (4, 291) 792

Φοβούμενοι τὸ θεῖον ἐπὶ τοῦ σοῦ πάθους.

Nemesius de Nat. Hom. p. 179: *φυσικῶς ὁρῶντές τινας πάσχοντας συστελλόμεθα, ὡς εἴρηται καλῶς καὶ Μενάνδρῳ τὸ Φοβούμενοι κτλ.*

CCLXIX—CCLXXII (4, 291. 292) 793—796

Μὴ 'πὶ μικροῖς αὐτὸς αὑτὸν ὀξύθυμον δείκνυε.
Κρεῖττον δ' ἑλέσθαι ψεῦδος ἢ ἀληθὲς κακόν.
Ἦ πού τι χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν.
Πικρόν ἐστι θρέμμ' ἐν οἰκίᾳ γέρων.

Vs. 1 Antonius Mel. LXXIII p. 143 ubi Menandro, et Stob. Flor. XX 8 ubi Epicharmo tribuitur. Vs. 2 Stob. Flor. XII 5. Alii libri Euripidi tribuunt, Menandro Par. et Anton. Mel. XLV p. 69. Vs. 3 Stob. Flor. XII 9. Alii Euripidi assignant. *τί* add. Grotius. Vs. 4 est apud Stobaeum Flor. CXVI 20. Ita cod. Par. et Trinc. Vulgo *θρέμμα γέρων ἐν οἰκίᾳ μένων.* Voss. *θρέμμα* omittit et *γέρων* cum *μένων* habet in margine. Fortasse *πικρὸν γάρ.*

797–800 CCLXXIII—CCLXXVI (4, 292)

Οὐδεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποιεῖ.
Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.
Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.
Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται.

Vs. 1 Stobaeus Flor. XXXVII 1 ubi libri *οὐθείς*. Vs. 2 ibid. XXXVII 2. Vs. 3 ibid. CXXVI 2 non recte Menandro tribui videtur. Vs. 4 ibid. III 11, Apostol. IV 16 et Antonius Mel. XXVI p. 38. Antonius, cod. A et Voss. *τοῦ*. Vulgo *τῷ*.

801–804 CCLXXVII—CCLXXX (4, 292. 293)

Πένης λέγων τἀληθὲς οὐ πιστεύεται.
Ἐλευθέρως δούλευε· δοῦλος οὐκ ἔσῃ.
Πᾶν τοὔργον ὀρθῶς ἐκμαθεῖν χρόνου μέτα.
Ἅπαντα σιγῶν ὁ θεὸς ἐξεργάζεται.

Vs. 1 et 2 Compar. Men. et Phil. p. 357, 360 ubi *ἐλευθέρῳ*. Vs. 3 Stobaeus Ecl. phys. I p. 226. Vs. 4 ibid. p. 28.

805–807 CCLXXXI a. b. c (4, 293)

Ἐπὶ τοῦτ' ἐγένοντο πάντες, ἐνθάδ' ἥξομεν.
Ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν, ξένε.
Τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα.

Stobaeus Flor. CXXIV 6. Sunt tria diversi loci fragmenta, quae vulgo in unum coniuncta sunt. Vs. 1 editur *ἔνθα λήξομεν*. Correxit Porsonus. Sophocles Aiac. 1365: *καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι*, ubi schol. *ὑπόκειμαι τῇ ὁμοίᾳ τύχῃ —*. Vs. 2 et 3 respexit Plutarch. Cons. Apoll. p. 118 c: *τὰ κοινὰ τοῦ βίου συμπτώματα κοινῶς φέρειν καὶ τὰ ἀνθρώπινα ἀνθρωπίνως*.

808. 809 CCLXXXII CCLXXXIII (4, 293)

Τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει.
Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.

Vs. 1 Stobaeus Flor. IX 10. Trinc. *τὸ μὴ ἀδικεῖν*. Fortasse igitur *τὸ μὴ ἀδικεῖν ἅπασιν*. Vs. 2 Stob. Flor. VII p. 98 et monost. 13. Omisit Grotius et Gaisfordus.

810–814 CCLXXXIV—CCLXXXVIII (4, 294)

Λέγεις, ἃ δὲ λέγεις ἕνεκα τοῦ λαβεῖν λέγεις.
Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.
Συγκέχυκε νῦν τὴν πίστιν ὁ καθ' ἡμᾶς βίος.
Ἀπειρυθριᾷ πᾶς, ἐρυθριᾷ δ' οὐδεὶς ἔτι.
Οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.

Versus primus est apud Stob. Flor. X 6 et Maximum CXL p. 221, secundus Stob. Flor. XX 19 (cfr. Philem. fr. 157), tertius XXVIII 7, quartus XXXII 1, quintus XXXIII 2. Pro *οὐδὲν* libri et hic et multis aliis locis *οὐθέν*, quae forma in novae comoediae poetis fortasse ferenda est. Cfr. Fragm. 851.

CCLXXXIX (4, 294) 815

Προποιήσεις ἀστικὸν σαυτὸν πάλιν.

Grammat. Bekkeri p. 454: *Ἀστεῖος καὶ ἀστικός, διττῶς. Μένανδρος Προποιήσεις κτλ.* Probabiliter Toupius corrigit *Μένανδρος Ἥρῳ Ποιήσεις κτλ.*

CCXC (4, 294) 816

Εἰς τὰ καθαρὰ λιμὸς εἰσοικίζεται.

Suidas v. *εὐρωτιῶν. ὁ τῶν ἀστικῶν (βίος) εἰς πενίαν συνεχῶς ὑπὸ τῶν ποιητῶν τύπτεται καὶ ὀνειδίζεται, ὥς φησι Μένανδρος Εἰς τὰ καθαρά κτλ.* Alii aliter; ego suspicor *εἰς τὰ καθάρεια.*

CCXCI (4, 295) 817

Ὡς ὡραΐζεθ' ἡ τύχη πρὸς τοὺς βίους.

Ammonius ad Aristot. *περὶ ἑρμηνείας* p. 96 14 (ed. Berol.): *τὸ δὲ ὅμοιον ἀξιώματι, οἷον Ὡς ὡραΐζεται ἡ τύχη ἐν τοῖς βίοις.* Poetae nomen servavit schol. Theocr. I 109: *καὶ τὸ θρύπτεσθαι ὡραΐζεσθαί φησι Μένανδρος Ὡραΐζεθ' ἡ τύχη πρὸς τοὺς βίους.*

CCXCII (4, 295) 818

Οὐχ ὅθεν ἀπωλόμεσθα σωθείημεν ἄν;

Suidas, *Ἀπ' ἐχθρῶν πολλὰ μανθάνουσιν οἱ σοφοί. — καὶ Μένανδρος Οὐχ ὅθεν κτλ. ἀπὸ τῶν ἐχθρῶν.* Idem locus apud schol. Aristoph. Av. 374, ubi legitur *ἀπολλύμεθα.* Ven. *ἀπολλύμεσθα.* Praeterea Dobraeus *καὶ σωθεῖμεν.*

CCXCIII (4, 295) 819

Πρὸς ταῖς ἐμαυτοῦ νῦν θύραις ἕστηκ' ἐγώ.

Apollonius Synt. II 21: *παρὸν οὖν φάναι, πρὸς ταῖς ἐμαῖς θύραις ἕστηκα, καὶ μεταλαβεῖν πρὸς ταῖς θύραις μου ἕστηκα, ἀλλὰ καὶ Πρὸς ταῖς ἐμαυτοῦ — ἐγώ, καὶ πάνυ ἀναγκαίως τοῦ Μενάνδρου τὴν σύνθετον παραλαβόντος κτλ.* Abest vulgo *νῦν*, quod addidi ex eodem Apollon. de Pronom. p. 342, ubi priora verba Menandri nomine omisso apponuntur.

CCXCIV a. b (5, 110) 820. 821

Φιλῶ σ', Ὀνήσιμε, καὶ σὶ περίεργος εἶ.
Οὐδὲν γὰρ γλυκύτερον ἢ πάντ' εἰδέναι.

Incertus apud Cramer. AP. IV p. 418: *ὡς δηλοῖ τὸ ἐκ παίδων φιλομύθους ἡμᾶς εἶναι καὶ χαίρειν ἐν (ἐπὶ?) τῇ περιεργίᾳ, ὥς φησι Μένανδρος Φιλῷ — εἶ. καὶ πάλιν Οὐδὲν γάρ κτλ.* Vs. 1 forsan *καὶ σὺ γὰρ περίεργος εἶ.* Alterum fragmentum omisso poetae nomine est apud Cicer. Ep. ad Att. IV 11, qui *γὰρ* omittit. Cfr. Themistius Or. XXI p. 262 c: *οὐκ ἔστι γάρ, φασί, γλυκερώτερον ἢ πάντ' εἰδέναι.* Menander scripsisse videtur *οὐκ ἔστι γὰρ γλυκύτερον ἢ πάντ' εἰδέναι.*

822 CCXCV (4, 296)

Zenobius VI 15. *Ταῦτά σοι καὶ Πύθια καὶ Δήλια: ἡ παροιμία εἴρηται ἐπὶ τῶν ὕστατα καὶ τελευταῖα ποιούντων. μέμνηται δὲ αὐτῆς Μένανδρος.* Fortasse distinguendum *ταῦτά σοι καὶ Πύθια | καὶ Δήλι' [ἔσται].* Cfr. Dobr. Adv. II p. 607.

823 CCXCVI (4, 296)

Pollux IV 178: *τάχα δ' ἂν ἰατρῷ προσήκοι καὶ κρίσιμος ἡμέρα. Μένανδρος γὰρ περὶ τῆς ἑβδόμης λέγων φησί Κρίσιμος γὰρ αὕτη γίνεται.*

824 CCXCVII (4, 296)

Ἐλεύθερόν τι τολμήσει ποιεῖν,
θηρᾶν λέοντας, ὅπλα βαστάζειν.

Schol. Odyss. β' 10: *οὕτω γὰρ οἱ εὐγενεῖς τῶν νέων ἐπαιδεύοντο. καὶ ὁ Μένανδρος, ἐλεύθερόν τι τόλμης εἶ ποιεῖν θήραν λέγοντας ὅπλα βαστάζειν.* Correxit Buttmannus; quamquam dubito num *ὅπλα* prima longa Menander dixerit. Respicit fortasse Nausicrates apud Athen. IX p. 399 e.

825 CCXCVIII (4, 297)

Schol. Eurip. Hec. 229: *οἱ Ἀττικοὶ χρῶνται τοῖς προστακτικοῖς ἀντὶ ὁριστικῶν. Μένανδρος Οἶσθ' ὅ τι ποίησον;* Cfr. Gregorius Cor. p. 15, Suidas v. *ψεῦσον* et schol. Arist. Thesm. 870, ubi pro *ὅ τι* est *ὅ.*

826 CCXCIX (4, 297)

Plutarchus de Esu carn. p. 995 e: *Τοὺς γὰρ Βοιωτοὺς ἡμᾶς οἱ Ἀττικοὶ καὶ παχεῖς καὶ ἀναισθήτους καὶ ἠλιθίους μάλιστα διὰ τὰς ἀδηφαγίας προσηγόρευον. "Οὗτοι δ' αὖ σῦς" καὶ ὁ Μένανδρος Οἳ γνάθους ἔχουσι.* De verbis *οὗτοι δ' αὖ σῦς* dixi supra p. 74 sq. Menander autem de Boeotiis dixisse videtur: *ὑῶν γνάθους ἔχουσι*, vel *ὄνων γνάθους ἔχουσι.* Hesychius, *Ὄνου γνάθος: Εὔπολις παίζει εἰς πολυφαγίαν.*

CCC (4, 297) 827

Etymol. M. p. 302 26: *τὸ προστακτικὸν εἶπον εἰπάτω εἰπάτωσαν. Μένανδρος Εἶπον δὲ τί ποιεῖν μέλλετε;* Eadem apud Choeroboscum Crameri An. Ox. IV p. 202 et apud Buttmannum Exc. I ad Platonis Menon. p. 70. Cfr. Lascaris Gramm. III p. 308: *εἶπον εἰπάτω παρὰ Μενάνδρῳ.* Horti Adon. apud Sturz. de dial. Alex. p. 63: *τὸ δὲ εἶπον παρὰ Μενάνδρῳ.*

CCCI (4, 298) 828

Schol. Ven. Iliad. φ′ 31: *νήϑειν. Μένανδρος· Κρόκην δὲ νήσεις | καὶ στήμονα.*

CCCII (4, 298) 829

Τί γὰρ ἐγὼ κατελειπόμην;

Sextus Empir. Pyrrh. Hyp. I 189: *καὶ τὸ τί ἀντὶ τοῦ διὰ τί παραλαμβάνεται παρὰ Μενάνδρῳ Τί γὰρ ἐγὼ κατελειπόμην;*

CCCIII (4, 298) 830

Schol. Ven. Iliad. ί 394: *γαμέσσεται. ἐντεῦϑεν ἔλαβε Μένανδρος τὸ Ἐγάμησεν ἣν ἐβουλόμην ἐγώ.*

CCCIV (4, 298) 831

Ἐξάραντες ἐπιχροτήσατε.

Schol. Aristoph. Plut. 689: *ἐκτείνει κατὰ τῆς χύτρας, ἵνα μηδεὶς αὐτὴν λάβῃ. ἢ ἐξέτεινε, καὶ Μένανδρος Ἐξάραντες ἐπιχροτήσατε.* Dindorfius supplet *τὰς χεῖρας.*

CCCV (4, 298) 832

Plutarchus Symp. IV 3 p. 666 f: *ὁ Μένανδρος πρὸς τὸν κελεύοντα ταῖς λοπάσι περιφράττειν Δεινὸν σὺ πρᾶγμα τῆς νύμφης λέγεις.* Ita Scaliger. Vulgo *δεινῶς οὐ πρᾶγμα νύμφης λέγεις.* Inter *δεινὸν* et *σὺ* aliquid excidit. Pro *πρᾶγμα* Buttmannus *φράγμα.*

CCCVI (4, 299) 833

Nonius Marc. IV 411 p. 387: *Servare, sollicite et suspiciose observare. Virg. in Georg. lib. I. quod superest, caeli menses et sidera serva, quod est Menandri: Τηρῶ τὸν Δία ὕοντα πολλῷ.* Gothofredus *τηρῶ τὸν ἥλιον τά τ᾽ ἄστρα.* Mercerus e cod. *τηρῶ τὸν ἥλιον τάποχω.* Vossius in MS Tornesii reperit: *τηρῶ τὸν Δία ὕοντα τιόχω.* Correxit Porsonus.

CCCVII (4, 299) 834

Schol. Aristoph. Equ. 51: *ἔντραγε. οὕτω τὸ ἀκρατίζειν. καὶ Μένανδρος Παλαιὸν ἐντραγεῖν.*

835 CCCVIII (4, 295. 299)

Eustath. ad Hom. p. 1350: *χρίζειν, οὗ ἡ χρῆσις παρὰ Μενάνδρῳ, οἷον Ἀλλὰ καὶ χαμαιτύπη χρίζει τις.* Eundem locum fort. respicit Schol. Aristoph. Av. 1258: *εὐρὰξ πατάξ — ἔπλασεν ἐπίφθεγμα παρὰ τὸ εὑρέως — καὶ τὸ πατάξαι. ὅθεν καὶ χαμαιτύποι (— αι?) αἱ πόρναι παρὰ Μενάνδρῳ πρώην . . . ἄρας ἐπάταξα.* Ita enim haec scribenda. Post *πρώην*, quod fortasse *Ἥρωι* scribendum, indicavi lacunam; verba *ἄρας* (ante Bentl. *ἄρης*) *ἐπάταξα* Aristophanis esse (Equ. 1130) monuit Dindorfius.

836 CCCIX (4, 300)

Schol. Aristoph. Ran. 280: *ἠλαζονεύετο ἀντὶ τοῦ ἐψεύδετο. καὶ Μένανδρος Ἀλλ' ἀλαζὼν καὶ θεοῖσιν ἐχθρός.*

837 CCCX (4, 300)

Schol. Aristoph. Acharn. 202: *ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. — Μένανδρος Τραγῳδὸς ἦν ἀγὼν Διονύσια.* Dindorfius *τραγῳδῶν.*

838 CCCXI (4, 300)

Suidas, *Εἰς ἀγορὰν ὑφαίνειν, τὸ εἰς τὴν ἀγορὰν ἐκφέρειν τὰ ὑφαινόμενα. οὕτω Μένανδρος.*

839 CCCXII (4, 300)

Οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν, Ὀνήσιμε,
ὁ νῦν ἔχων Ἀβροτόνιον τὴν ψάλτριαν,
ἔγημ' ἔναγχος; Β. πάνυ μὲν οὖν.

Schol. Aristot. p. 93 13: *τῷ μὲν ἐρωτηματικῷ ταχεῖα ἕπεται ἡ ἀπόκρισις, ὡς παρὰ Μενάνδρῳ Οὐχ ὁ τρόφιμος — ἔναγχος; πρὸς ὃ ταχεῖα ἡ ἀπόκρισις εἰπόντος Πάνυ μὲν οὖν.* Vs. 1 editur *Ὀνήσιμος*, quod correxi e Rhet. Walzii vol. II p. 289 et VIII 496, ubi versus ille omisso auctoris nomine citatur. Eundem respicit fortasse schol. Aristidis p. 53 Dind.: *δύο οὖν ἡ λέξις (τρόφιμος) σημαίνει, καὶ τὸν θρέψαντα καὶ τὸν τραφέντα. θρέψαντα τὸν δεσπότην, ὡς παρὰ Μενάνδρῳ.* Vs. 2 cod. *Ἀβρότονον.* Ad vs. 3 respicit schol. Apoll. Rh. III 294: *ἄγχι: ἀντὶ τοῦ ἐγγύς. τίθεται δὲ καὶ ἐπὶ χρόνου. Μένανδρος Ἔγημεν ἔναγχος. ἀντὶ τοῦ νῦν. ἢ ἀντὶ τοῦ ταχέως.*

840 CCCXIII (4, 300)

Strabo XIV p. 637: *τοὺς ἐπαινοῦντας (τὴν Σάμον) μὴ ὀκνεῖν ἐφαρμόττειν αὐτῇ τὴν λέγουσαν παροιμίαν, ὅτι φέρει καὶ ὀρνίθων γάλα, καθάπερ που καὶ Μένανδρος ἔφη.*

CCCXIV CCCXV (4, 301) 841. 842

Photius et Suidas, *Πατάγημα*: *ἀντὶ τοῦ λάλος καὶ πανοῦργος. Μένανδρος Οἷον πατάγημ' ἥκεις.* Eadem habet Suidas. Suidas, *Οὐ μετὸν αὐτῷ*: *ἀντὶ τοῦ οὐκ ἐξόν. Ἀριστοφάνης Νεφέλαις. καὶ Μένανδρος Ὕδατος αὐτοῖς οὐ μετόν.*

CCCXVI (4, 301) 843

Herodianus apud Boisson. Anecd. III p. 269 de discrimine inter *ἑαυτοῖς* et *ἀλλήλοις* disserens: *ὅθεν καὶ Μένανδρος ὁ κωμικὸς ἀκυρολογεῖ λέγων Οὐκ ὡρίσαμεν αὐτοῖς ἤδη εἰμὶ σῶς.* Eustathius ad Hom. p. 1547 29: *Μένανδρος οὖν, φασίν, ἁμαρτάνει λέγων Οὐκ ἠρκέσαμεν ἑαυτοῖς. ἐχρῆν γὰρ ἀλλήλοις εἰπεῖν.* Schneidewinus *οὐκ ἠρέσαμεν αὑτοῖσιν, ἤδη δ' εἰμὶ σῶς.*

CCCXVII (4, 301) 844

Ammonius s. v. *κηρῦξαι* p. 81: *ἀποκηρῦξαι λέγουσιν ἐπὶ τοῦ ὑπὸ κήρυκι ἀποδίδοσθαί τι. Μένανδρος Ἀπεκήρυξεν αὐτὴν ἀγαγών, οἷον ὑπὸ κήρυκι ἐπώλησε.* Herenius Philo p. 157 pro *ἀγαγὼν* habet *Ἀγαμέμνων*. Fortasse legendum *ἀπαγαγών*.

CCCXVIII (4, 301) 845

Photius, *Ἐσχάτως*: *ἄκρως. Μένανδρος Φοβοῦμαί σ' ἐσχάτως.* Cf. Zonaras et Suidas.

CCCXIX (4, 301) 846

Photius, *Ἡράκλεις*: *ἐπίφθεγμα θαυμαστικόν. — ἐπικαλοῦνται δὲ καὶ τοὺς Ἡρακλείδας ὁμοίως. Μένανδρος Ἀλλ' Ἡρακλεῖδαι καὶ θεοί.* Suidas s. v. *Ἡράκλεις* habet *ἀλλ' ὦ Ἡρακλεῖδαι.* Huc refero quae ex Pausania tradit Eustathius ad Odyss. p. 1593 14: *τὸν δὲ Ἡρακλῆν καὶ Ἡρακλείδην Παυσανίας καλεῖσθαι φησίν.* Anonymus Crameri Anecd. Oxon. III p. 390 in. *τὸ γὰρ ὦ Στρεψιάδη καὶ τὸ ὦ Ἡρακλείδη γινόμενα ἐν τῇ κλητικῇ Στρεψίαδες* (Arist. Nub. 1206) *καὶ Ἡράκλειδες παιγνίου χάριν λέγονται παρὰ τοῖς κωμικοῖς.* Itaque Menander dixisse videtur *Ἀλλ' Ἡράκλειδες καὶ θεοί.*

CCCXX — CCCXXII (4, 302) 847–849

Artemidorus Onir. II 12: *οὕτω (κάπροι) λέγονται αἱ κατωφερεῖς, καὶ τὸ Καπρᾶς κακόδαιμον, Μένανδρός φησι.* Photius, *Περινομαί*: *περιχωρίαι. Ἦσαν περινομαὶ τῇ θεῷ. Μένανδρος.* Schol. Luciani Iove Trag. IV p. 186 ed. Iac. *Μένανδρος ἄστικτον χωρίον εἰώθει (εἴωθε) λέγειν τὸ ἀνεπιδάνειστον.*

850. 851 CCCXXIII CCCXXIV (4, 302)

Hesychius, *Ἀλλ' ἀχρί: ἔξεστιν, ἀντὶ τοῦ ἔστω. Μένανδρος.* Kusterus: *Ἀλλὰ χρή. B. ἔξεστιν.* Fortasse: *ἀλλὰ χρὴ κἄξεστιν.* Etymol. M. p. 640 13: *ὁ τε σύνδεσμος ἀπαιτεῖ καὶ ἕτερον σύνδεσμον, οὔτε τοῦτο, οὔτε τοῦτο. ὅθεν σεσημείωται τὸ παρὰ Μενάνδρῳ Οὐδέν μέλει σοι, ὅτι οὐκ ἔχει ἑτέρου συνδέσμου ἐπιφοράν.*

852. 853 CCCXXV CCCXXVI (4, 302. 303)

Etymol. M. p. 652 22 et Zonaras p. 1521: *παραιτεῖσθαι — ἐπὶ τοῦ αἰτεῖν, ὡς παρὰ Μενάνδρῳ Παραιτοῦμαί σε συγγνώμην ἔχειν.* Etymol. M. p. 688 13: *Πρίεται. ἰστέον ὅτι οἱ Ἀθηναῖοι οὐ λέγουσι πρίζω, ἀλλὰ χωρὶς τοῦ ζ πρίω. καὶ παρὰ Μενάνδρῳ Ἔνδοθεν δὲ πρίεται.*

854 CCCXXVII (4, 303)

Eustath. ad Hom. p. 998 30: *ἀπὸ τῶν τοιούτων ῥινῶν δοκεῖ λέγεσθαι ἐπὶ ἀπάτης τὸ ῥινᾶν — ἡ δὲ χρῆσις τῆς λέξεως καὶ παρὰ Παυσανίᾳ, ὅς φησιν ὅτι ῥινᾶν τὸ ἐξαπατᾶν. Μένανδρος Ἔγωγ' ἐπίσταμαι ῥινᾶν.* Eadem fere repetit p. 1822, ubi Menandri locum non e Pausania, sed ex Aelio Dionysio affert. Cfr. Photius, *Ῥινᾶν: ἐξαπατᾶν. οὕτως Μένανδρος.* Ad eundem Menandri locum respexit Aelianus An. Nat. IX 7, ex quo discimus illa *ἔγωγ' ἐπίσταμαι ῥινᾶν* Theronis parasiti verba esse, de quo homine ed. pr. dixi p. 99. *Ὁ μὲν τοῦ Μενάνδρου Θήρων*, inquit Aelianus, *μέγα φρονεῖ, ὅτι ῥινῶν ἀνθρώπους φάτνην αὐτοὺς ἐκείνους εἶχεν.*

855 CCCXXVIII (4, 303)

Schol. Aristoph. Pac. 59: *ἦν δὲ καὶ ἀρά τις αὕτη τοῖς ἀρχαίοις, ὥς που καὶ ὁ Μένανδρός φησι πολλάκις, ἐκκορηθείης σύ γε.* Vbi *πολλάκις* male vulgo cum Menandri verbis coniunctum est. Cfr. Zonaras p. 671, Suidas s. v. *ἐκκορηθείης* et Eustath. p. 1887 34.

856 CCCXXIX (4, 303)

Quintilianus Inst. Orat. IX 3 89: *Etiam in personae fictione accidere quidam idem putaverunt, ut in verbis esset haec figura: crudelitatis mater est avaritia, et apud Sallustium in Ciceronem: o Romule Arpinas. Quale est et apud Menandrum: Oedipus Thriasius.* Menander coniectorem aliquem risisse videtur, quod genus hominum in Thriasio campo sedes suas habuisse constat.

CCCXXX (4, 304) 857

Zonaras p. 309 et Grammat. Bekkeri p. 447 20: *Ἀρτιχροτεῖσθαι, συμφωνεῖσθαι. Ἀρτιχροτοῦνθ' οἱ γάμοι, φησὶ Μένανδρος.* Fortasse *ἠρτιχροτοῦντο δ' οἱ γάμοι.* Photius, *Ἠρτιχροτοῦντο: συνεφώνουν.*

CCCXXXI (4, 304) 858

Herodianus Hermanni p. 317: *ὁ Μένανδρος ἀπὸ τοῦ οἰδῶ τὸν παρατατικὸν μετέβαλεν εἰς τὸ ω, εἰπών Ὤιδουν τ' ἐν ἐμαυτῷ.* Eadem Anecd. Ox. Cram. III p. 260 13. Fortasse *ᾤδουν ἐπ' ἐμαυτῷ* vel *ᾤδουν ἐμαυτῷ, ipse mihi irascebar.* Huc refer Hesychii glossam, *Ὤιδουν: ὠργιζόμην, ἐν ἑαυτῷ ἠγανάκτουν, ἢ ἐμαυτῷ.* Scribe *Ὤιδουν (ἐν) ἐμαυτῷ: ἠγανάκτουν.* Vel etiam sic, *Ὤιδουν, ὠργιζόμην, ἐμαυτῷ, ἠγανάκτουν ἐμαυτῷ.*

CCCXXXII (4, 304) 859

Schol. Aristoph. Av. 1736: *Ὑμὴν ὦ Ὑμέναιε. εἴρηται περὶ τούτου ἐν τοῖς Μενανδρείοις ὅτι ἐν τοῖς γάμοις ᾄδετο.*

CCCXXXIII (4, 304) 860

Zenobius IV 63. *Κριὸς τροφεῖ' ἀπέτισεν: ἡ παροιμία ἐπὶ τῶν ἀχαρίστων, ἐπεὶ τὰς φάτνας πλήττουσιν οἱ κριοί. — μέμνηται αὐτῆς Μένανδρος.*

CCCXXXIV CCCXXXV (4, 305) 861. 862

Schol. Aristoph. Thesm. 572 et Suidas, *Ὁμοῦ: — ἐγγύς — καὶ Μένανδρος Ἔστιν δ' ὁμοῦ τὸ χρῆμα.* Suidas s. v. *ἄγριος. καὶ Μένανδρος ἄγριον εἶπε κυβευτὴν τὸν λίαν περὶ τὸ κυβεύειν ἐσπουδακότα.*

CCCXXXVI (4, 305) 863

Aelianus apud Suidam s. v. *παίσωμεν. καὶ ἕδνα ᾖτει γενέσθαι βασιλίς, τὸ τοῦ Μενάνδρου, ἵνα τι καὶ παίσω, Τριχορυσία βασίλιννα, καὶ αἴτη δέσποινα εἶναι τοῦ Πόντου ἐθέλουσα.* Idem locus est apud Suidam s. v. *Τριχορυσία*, ubi male legitur *βασίλισσα.* Eustathius p. 1425 40: *βασίλισσα κατὰ Αἴλιον Διονύσιον ἀττικῶς. βασίλινναν δέ, φησί, Μένανδρος λέγει.* Tricorysiam reginam autem poeta dixisse videtur de muliere Tricorysia superba et fastu elata. Aliter Hemsterhusius ad Luc. p. 92.

CCCXXXVII CCCXXXVIII (4, 305) 864. 865

Zenobius III 87. *Ἐς κόρακας: ἐν Θεσσαλίᾳ τόπος ἐστὶ Κόρακες, ὅπου τοὺς κακούργους ἐνέβαλλον. ὅθεν ἡ παροιμία.*

μέμνηται δὲ ταύτης Μένανδρος συνεχῶς. Grammat. Bekkeri p. 373: *Ἀκούσας ἥκειν, οὐχ ἥκοντα, Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν ἔφη καὶ Μένανδρος καὶ ἄλλοι.*

866 CCCXXXIX (4, 305)

Eustathius p. 1595: *μύρα καὶ κρόμυον, οἱ τόποι ἐν οἷς αὐτὰ ἦσαν. οὕτω καὶ Μένανδρος Ἀναμένῳ σε, φησί, πρὸς τοὔλαιον, ἦγουν ἔνθα πωλεῖται τὸ ἔλαιον.* Schol. ad Odyss. *ϑ'* 260: *Μένανδρος, ἀνάμεινόν με πρὸς τοὔλαιον.*

867 CCCXL (4, 306)

Eustath. p. 1799 16: *Ἀττικὸς δὲ ἀνὴρ τὸ μελαγχροινὴς μελαγχρὴς λέγει. ὅϑεν καὶ Μένανδρος μελαγχρές, φασίν, εἶπε μειράκιον.*

868 CCCXLI (4, 306)

Seneca Quaest. Nat. Praef. libri IV p. 693: ***Aut illud Menandri (quis enim non in hoc magnitudinem ingenii sui concitavit detestatus consensum humani generis tendentis ad vitia); omnes ait malos vivere, et in scenam velut rusticus poeta prosiluit. non senem excipit, non puerum, non feminam, non virum; et adiicit non singulos peccare, nec paucos, sed iam scelus esse confectum.***

869 CCCXLII (4, 306)

Ausonius Praef. Cent. Nupt. p. 169 poetas quorum ***lasciva pagina, vita proba*** fuit, commemorans: ***Nam quid Aniani fescenninos? quid antiquissimi poetae Laevii Erotopaegnion libros loquar? quid Euenum, quem Menander sapientem vocavit? quid ipsum Menandrum? quid comicos omnes, quibus severa vita est, et laeta materia?*** Euenum dicit haud dubie eum, cuius elegias amatorias memorat Artemidorus.

870. 871 CCCXLIII CCCXLIV (4, 306)

Plinius N. H. XIII 2: ***Telinum fit ex oleo recenti, cypero, meliloto, melle, maro, amaraco. Hoc erat celeberrimum Menandri poetae comici aetate.*** Idem XXXVI 5 de marmoribus agens: ***Versicolores quidem maculas et in totum marmorum apparatum Menander etiam, diligentissimus luxuriae interpres, primus et raro attigit.***

872–874 CCCXLV—CCCXLVII (4, 307)

Plinius N. H. XVIII 14: ***Antiquissimum in cibis hordeum, sicut Atheniensium ritu, Menandro auctore, apparet.*** Idem XX 93: ***Blitum iners videtur ac sine sapore aut acrimonia ulla, unde convicium feminis apud Menandrum faciunt mariti.***

Suidas s. v. *βλιτάδες. βλιτάδας οἱ παλαιοὶ τὰς εὐτελεῖς γυναῖκας ἔλεγον.* Idem XXXVII 31 de sardonyche: ***hac certe apud Menandrum et Philemonem fabulae superbiunt.***

CCCXLVIII (4, 307) 875

Athenaeus V. p. 189 e: *νῦν δὲ τὰ βασίλεια λέγουσιν αὐλάς, ὥσπερ Μένανδρος Αὐλὰς θεραπεύειν καὶ σατράπας.*

CCCXLIX (4, 307) 876

Galenus de qual. corp. vol. II p. 61 Chart.: *εἰ δὲ λέγοι τις ταῦτά τε καὶ τὰ τοιαῦτα πάντα ὑπάρχειν ἀέρα πεπληγμένον πως, καλὸν ἐπειπεῖν αὐτῷ τὸ Μενάνδρειον Ταῦτά σ' ἀπολώλεκ' ὦ πονηρέ.* Editur *ταῦτά τε ἀπολώλεκεν ὦ π.*

CCCL (4, 307) 877

Ammonius p. 118: *πότος βαρυτόνως τὸ συμπόσιον, ὡς Μένανδρος Πότοι συνεχεῖς, κύβοι.*

CCCLI (4, 307) 878

Lucianus Pseudolog. III p. 165: *παράκλητός ἡμῖν τῶν Μενάνδρου προλόγων εἷς ὁ Ἔλεγχος, φίλος Ἀλήθειά καὶ Παρρησία θεός, οὐχ ὁ ἀσημότατος τῶν ἐπὶ τὴν σκηνὴν ἀναβαινόντων.* Aphthonius Prog. XII p. 101: *Προσωποποιία, ὅταν ἅπαντα πλάττηται, καὶ ἦθος καὶ πρόσωπον, ὥσπερ ἐποίησε Μένανδρος Ἔλεγχον.* Hermogenes Prog. IX: *προσωποποιία δέ, ὅταν πράγματι περιτιθῶμεν πρόσωπον, ὥσπερ ὁ Ἔλεγχος παρὰ Μενάνδρῳ.* Adde Theon. Prog. p. 164, Lucian. Pisc. c. 17 et anonymum apud Cramer. A. P. vol. I p. 398: *Μενάνδρου φίλος ἀλήθεια καὶ θεοὶ παρρησία,* quae quo modo scribenda sint iam quivis viderit. Menandri verba fuere forsan haec: *Ἔλεγχος οὗτός εἰμ' ἐγώ | ὁ φίλος ἀληθείᾳ τε καὶ παρρησίᾳ | θεός.*

CCCLII (4, 308) 879

Aristides vol. II p. 399 Dind.: *εἰ δέ τις αὐτῶν περὶ τῆς ἐγκρατείας διαλεγομένων ἀπαντικρὺ σταίη ἔχων ἔνθρυπτα καὶ στρεπτούς, ἐκβάλλουσι τὴν γλῶτταν ὥσπερ Μενέλεως τὸ ξίφος* (Eurip. Androm. 629). *αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς Σατύρους τοῦ Σοφοκλέους.*

CCCLIII (4, 308) 880

Iustinus Mart. Apol. p. 55 e: *τῷ δὲ καὶ μὴ δεῖν χείρονι ἀνθρώπους προσκυνεῖν, Μενάνδρῳ τῷ κωμικῷ καὶ τοῖς τὰ*

τοιαῦτα φήσασι ταὐτὰ φράζω· μείζονα γὰρ τὸν δημιουργὸν τοῦ σκευαζομένου ἀπεφήναντο.

881 CCCLIV (4, 308)

Apostolius XIX 83 et incertus in Anecd. Ox. Crameri IV p. 254: *Ὕβρις καὶ οἶνος εἰώθασιν ἀποκαλύπτειν φίλοις τὰ ἤθη τῶν φίλων, ὥς φησι Μένανδρος.* Plutarcho tribuit Antonius Mel. LXVIII p. 116. Cfr. Dobraeus Advers. II p. 282.

882. 883 CCCLV CCCLVI (4, 309)

Zonaras et Suidas, *Ἀνατρέχω: Μένανδρος ἀντὶ τοῦ ἀναλύω.* Iidem *Διαρτῆσαι: τὸ ἐξαπατῆσαι. οὕτως Μένανδρος.*

884–887 CCCLVII — CCCLX (4, 309)

Photius, *Ἀδιάφθορον: καὶ τὸ μήπω μετ' ἀνδρὸς παιδισκάριον γεγονός, ὡς Μένανδρος.* Idem *Ἔσχεν: ἐπέσχε. Μένανδρος.* Idem *Ἠγρηγόρειν καὶ ἐγρηγόρειν φησὶ Μένανδρος.* Idem *Κατάστικτον: χιτωνίσκου γένος. οὕτως Μένανδρος.* Legitur *κατατικον.*

888–890 CCCLXI — CCCLXIII (4, 309. 310)

Photius, *Κατεγνυπωμένως: νωθρῶς, ἀνάνδρως. οὕτω Μένανδρος.* Vide Grammat. Bekk. p. 233. Idem *Κνύειν: ξύειν καὶ οἱονεῖ θεῖν· Μένανδρος.* Fort. *οἷον κνήθειν.* Idem *Κύμινον: ἐπὶ μικρολόγου. Μένανδρος.*

891–894 CCCLXIV — CCCLXVII (4, 310)

Photius, *Κυραννή: ὄνομα θεοῦ γυναικείας Κιλικίου. οὕτω Μένανδρος.* Hesychius, *Κυρράνη: ὄνομα γυναικείας θεοῦ.* Photius, *Μάγαρον: οὐ μέγαρον, εἰς ὃ τὰ μυστικὰ ἱερὰ κατατίθενται. οὕτως Μένανδρος.* Eadem Aelius Dionysius apud Eustath. p. 1387. Idem *Μακαρίτας: τοὺς τεθνηκότας. οὕτως Μένανδρος.* Idem *Μᾶλλον: οὕτως λέγουσιν ἄνευ τοῦ καὶ συνδέσμου. οὕτω Μένανδρος.* Scribe *μᾶλλον μᾶλλον.*

895–897 CCCLXVIII — CCCLXX (4, 310)

Photius, *Μαρμάριον: τῆς Εὐβοίας ὄρος, καὶ ἱερὸν Ἀπόλλωνος. οὕτως Μένανδρος.* Idem *Μάρτυς: ὁ μάρτυρ. καὶ τὸν μάρτυν καὶ τὸν μάρτυρα. Μένανδρος.* Idem *Μονοπείρας: τοὺς μὴ ἀθρόους ἀλλὰ μονολήστας. οὕτω Μένανδρος.* Ita Coraes pro *μόνον ληστάς.*

898–902 CCCLXXI — CCCLXXV (4, 310. 311)

Photius, *Νεαλής: ἐκτείνεται τὸ α. Ἀριστοφάνης Δημνίαις. Ἕως νεαλὴς ἐστιν αὐτὴν τὴν ἀκμήν. Μένανδρος.*

Idem *Οἰκείαν. τὰ τοιαῦτα παρεσημειοῦτο Ἀριστοφάνης πρὸς τὴν οἰκείαν, ὅτι οὐ κυρίως κέχρηται* (leg. *κέχρηνται*) *τῷ ὀνόματι. Οἰκείους γὰρ ἐκτίθενται* (leg. *ἐκτίθεται*) *ἐν τῷ περὶ συγγενῶν τοὺς κατ' ἐπιγαμίαν παρεσηγμένους ἔξωθεν. ὁ δὲ Μένανδρος ἐνίοτε ἐπὶ τῶν συγγενῶν λέγει, οὐχ ὡς ἡμεῖς ἐπὶ τῶν κατ' ἐπιγαμίαν φίλων.* Idem *Ὅλολυν: Μένανδρος τὸν γυναικώδη καὶ κατάθεον καὶ βάκηλον.* Idem *Οὐ μηκέτι: ἀντὶ τοῦ οὐκέτι. Μένανδρος.* Idem *Ὄφελον: — οἷον ὄφελε μὴ γεγενῆσθαι τόδε, ὄφελον μὴ πεπραχέναι τοῦτο. Μένανδρος.*

CCCLXXVI — CCCLXXX (4, 311) 903—907

Pholius, *Ὀψιπέδων: ὁ μέχρι πολλοῦ ἐν πέδαις γεγονώς· σύνηθες Μενάνδρῳ τὸ ὄνομα.* Idem *Πεντηκοστολόγοι: τελῶναι. Μένανδρος.* Idem *Πέπλεκται: ἥπται. Μένανδρος.* Legendum videtur *πέπληκται* cum Dobraeo. Idem *Πέφηνας: τὸ εἴρηκας. Μένανδρος.* Vix credibile est Menandrum *πέφηνα* transitive dixisse. Idem *Πλοκαμῖδα: Μένανδρος καὶ οἱ ἄλλοι.*

CCCLXXXI — CCCLXXXIV (4, 312) 908—911

Pholius, *Προτέλεια: ἡ πρὸ τῶν γάμων θυσία. Μένανδρος.* Eadem Aelius Dionys. et Pausanias apud Eustathium p. 881, nisi quod ibi male legitur *θέα* pro *θυσία.* Idem *Ῥυτίσματα: αἱ ἀκέστριαι τῶν διερρυηκότων ἱματίων τὰ ἀναπληρώματα ῥυτίσματα ἐκάλουν. οὕτως Μένανδρος.* Idem *Σάγη: ἡ πανοπλία. οὕτως Μένανδρος.* Idem *Σημαίνειν καὶ ἐπισημαίνειν: τὸ σφοδρῶς αὐλεῖν, ὥσπερ οἱ σαλπιγκταί. οὕτως Μένανδρος.*

CCCLXXXV — CCCLXXXVII (4, 312) 912—914

Pholius, *Σκάφας: ἔφερον οἱ μέτοικοι ἐν τῇ πομπῇ τῶν Παναθηναίων, οἱ μὲν χαλκᾶς, οἱ δὲ ἀργυρᾶς, κηρίων καὶ ποπάνων πλήρεις, ἐνδεδυκότες φοινικίους χιτῶνας. οὕτως Μένανδρος.* Idem *Σκηνή: ἡ οἰκία καὶ καταγωγή. ὡς Ἀσιαγενῆ τὴν λέξιν* (scil. *σημειοῦνται*). *οὕτως Μένανδρος.* Idem *Σπαρτοπώλιον: ὡς ἡμεῖς. καὶ Μένανδρος σπαρτόπωλις ὁμογραῦς.* Scribe *ὠμόγραυς* cum Lobeckio Paralip. 227, et *σπαρτοπόλιος* pro *σπαρτόπωλις.* V. Polluc. IV 153 et Schol. Ven. Homeri Il. 13 361.

CCCLXXXVIII CCCLXXXIX (4, 312) 915. 916

Pholius, *Στασιασμόν: τὴν στάσιν. Μένανδρος.* Idem *Στιγμήν: ὡς ἡμεῖς, τὸ ἐλάχιστον. οὕτως Μένανδρος.*

917–919 CCCXC—CCCXCII (4, 313)

Photius, *Στραγγαλᾶν εἴρηκέν που Μένανδρος.* Fortasse *στραγγαλιᾶν.* Idem *Συμβόλαια: τὰ συναλλάγματα. οὕτως Μένανδρος.* Idem *Τύντλος: πηλὸς καὶ τάραχος. Μένανδρος.*

920–922 CCCXCIII—CCCXCV (4, 313)

Pollux VI 12: *ὁ παρακατακείμενός τινι, συμπότης, συγκλίτης — σύγκλινον δὲ Μένανδρος λέγει.* Ibid. 38: *Θουγενίδης δὲ ἔφη, Ἥιτησεν εἰς ὀψώνιον τριώβολον. παμπόνηρον γὰρ Μενάνδρου ὁ ὀψωνιασμός* (Fragm. 974). Bekk. *ὀψωνισμός.* Ibid. 161: *τὸ μέντοι Μενάνδρου ἡμιφυὲς καὶ ἡμίγραφον ἀνεκτά. τὸ δὲ ἡμιλάσταυρον παμπόνηρον.*

923–926 CCCXCVI—CCCXCIX (4, 313)

Pollux VII 86: *τὸ δὲ σανδάλιον οὐ μόνον Μένανδρος εἴρηκε καὶ Ἡρόδοτος — ἀλλὰ καὶ Κρατῖνος.* Idem VIII 26: *εἰσὶ δὲ καὶ παρὰ Μενάνδρῳ δικάσιμοι ἡμέραι.* Idem IX 139: *φαῦλος ὁ Μενάνδρου νουθετισμός.* Idem IV 87: *Μένανδρος δέ τινας καλεῖ λῃστοσαλπιγκτάς.* Photius, *Λῃστοσαλπιγκτάς: τοὺς Τυρρηνούς, ἀπὸ Πισαίου τοῦ εὑρόντος.* Hesychius, *Λῃστοσάλπιγγες: οἱ Τυρρηνοί, ἐπειδὴ πρῶτοι σάλπιγγος εὑρεταὶ γεγόνασιν.*

927–933 CD—CDVI (4, 314)

Pollux I 71: *ὥρα καὶ ἡμιώριον, ὡς Μένανδρος, σημεῖον ὠνομάζετο παρὰ τοῖς παλαιοῖς.* Ibid. 79: *εἰ γὰρ καὶ Μένανδρος αὐτὸ (κοιτῶν) βαρβαρικὸν οἴεται, ἀλλ' Ἀριστοφάνης τὰ τοιαῦτα πιστότερος.* Idem II 78: *καὶ μυκτηρισμὸν τὴν ἐξαπάτην Μένανδρος.* Ibid. 82: *φαῦλον δὲ ὁ Μενάνδρου ἀκουστὴς ἀντὶ τοῦ ἀκροατής.* Ibid. 149: *ὀξύχειρ καὶ ὀξυχειρία, τὸ μὲν παρὰ Μενάνδρῳ εἴρηται, τὸ δὲ παρ' Ἀλέξιδι.* Ibid. 194: *Μένανδρος δὲ καὶ περισκελίδας εἴρηκε φορεῖν τὰς κόρας.* Cfr. idem V 100. Idem III 29: *οἱ ἐκ τῶν ἀνεψιαδῶν ἀλλήλοις ἐξανέψιοί τε καὶ ἐξανέψιαι. οὕτω γὰρ Μένανδρος ὠνόμασεν.*

934. 935 CDVII CDVIII (4, 314)

Hesychius, *Ἔμπυος: ὁ ἐμπυϊκός, παρὰ Μενάνδρῳ.* Idem *Καλαθίσκος: εἶδος ὀρχήσεως, καὶ σκεῦος γυναικεῖον παρὰ Μενάνδρῳ.*

936–939 CDIX—CDXII (4, 315)

Apollonius de synt. I 17: *διστάζεται τὸ παρὰ Μενάνδρῳ ὦ Λάχης Λάχης κτλ.* V. supra ad fragm. 222. Harpocratio s. v. *ἀγυιᾶς: οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὥς φασι*

Κρατῖνος καὶ Μένανδρος. Idem s. v. *Ἐλευθέριος*: *ὅτι δὲ (Ζεὺς) ἐπιγέγραπται μὲν Σωτήρ, ὀνομάζεται δὲ καὶ Ἐλευθέριος, δηλοῖ καὶ Μένανδρος.* Idem s. v. *τρίγωνον δικαστήριον — μνημονεύουσιν αὐτοῦ ἄλλοι τε καὶ Μένανδρος ἐν τῇ* * * *

CDXIII—CDXVI (4, 315) 940—943

Suidas, *Βουκόρυζαν*: *τὴν μεγάλην κόρυζαν. καὶ κορυζᾶν τὸν ἰσχυρῶς κορυζῶντα. Μένανδρος.* Idem *Βαθύς*: *ἀντὶ τοῦ πονηρός. οὕτω Μένανδρος.* Idem *Ἀσχολοῦμαι, καὶ ἀσχολεῖται, καὶ ἀσχολεῖσθαι. πάντα ταῦτα Μένανδρος λέγει.* Eadem fere Grammat. Bekk. p. 457. Idem *Ἀποσοβῶμεν*: *ἀποτρέχωμεν. Μένανδρος.* Eadem Grammat. Bekk. p. 436.

CDXVII—CDXX (4, 316) 944—947

Suidas et Grammat. Bekk. p. 423. *Ἀπέφησεν*: *ἀντὶ τοῦ ἀντεῖπε. Μένανδρος.* Suid. et Gramm. Bekk. p. 342. *Ἀδράστεια*: *οἱ μὲν τὴν αὐτὴν τῇ Νεμέσει λέγουσι — ἔνιοι μέντοι ὡς [μὴ] διαφέρουσαν συγκαταλέγουσιν αὐτὴν τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος.* Idem Suidas et Etym. M. *Φρυάττεσθαι*: *τὸ καταπλήττεσθαι. οὕτως Μένανδρος.* Idem Suidas, *Χλωρόν*: *τὸ ἁπαλόν. Μένανδρος.*

CDXXI—CDXXIV (4, 316) 948—951

Charax p. 228 b et Bekk. A. G. p. 1154: *παρὰ Μενάνδρῳ σημειοῦνται τὸ πρός με ἐγκλιθέν.* Schol. Dionysii Thracis p. 857: *τὸ ὑποχοριστικὸν ἐλάττωσίν τινα σημαίνει — ὡς παρὰ Μενάνδρῳ νηττάριον.* Grammaticus Crameri Anecd. Ox. IV p. 329 15: *πολλάκις ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασιν, ὡς παρὰ Μενάνδρῳ νηττάριον.* Grammat. Bekkeri p. 353: *Ἄθαπτος*: *ὁ μὴ τεθαμμένος, παρὰ Μενάνδρῳ.* Antiatticista p. 115: *Ὑπόθεσιν*: *ἀντὶ τοῦ ὑποθήκην. Μένανδρος.*

CDXXV—CDXXVII (4, 317) 952—954

Photius v. *φερνή* et Etymol. M. p. 790 49: *φερνὴν δὲ τὴν προῖκα, καὶ Αἰσχίνης καὶ Μένανδρος.* Apollonius Bekk. Anecd. p. 587: *τὸ παρὰ Μενάνδρῳ νουνεχόντως δοκεῖ ἀσύστατον εἶναι.* Grammat. Bekkeri p. 421: *ἀπέλιπε μὲν ἡ γυνὴ τὸν ἄνδρα λέγεται, ἀπέπεμψε δὲ ὁ ἀνὴρ τὴν γυναῖκα. οὕτω Μένανδρος.*

CDXXVIII (4, 317) 955

Grammat. Bekkeri p. 461. *Ἀττικουργές*: *τὸ εἰργασμένον τὸν ἀττικὸν τρόπον, οὐ μόνον ὑποδήματα καὶ σκεῦος, ἀλλὰ καὶ*

ῥήματα καὶ εἴτι ἄλλο. ἀττικουργῆ φησί που Μένανδρος. Scribendum videtur *καὶ σκεῦος καὶ εἴτι ἄλλο· ἀλλὰ καὶ ῥήματα ἀττικουργῆ φησί που Μένανδρος.*

956–958 CDXXIX—CDXXXI (4, 317)

Eustathius ad Hom. p. 1840 3: *κάθου* (pro *κάθησο*) *παρὰ Μενάνδρῳ.* Erotianus p. 328: *Στλεγγὶς οὐκ ἔστι χρυσοῦν ταινίδιον, ὡς αὐτὸς* (Heraclides Tarentinus) *οἴεται, ἀλλ' ἡ συνήθης ξύστρα, καθὼς καὶ Μένανδρος μέμνηται καὶ οἱ λοιποὶ τῶν ἀρχαίων.* Plutarchus Symp. IV 6 p. 671 f: *Σαβούς — τοὺς βάκχους καλοῦσι, καὶ ταύτην ἀφιᾶσι τὴν φωνήν, ὅταν ὀργιάζωσι τῷ θεῷ, οἷόν ἐστι δήπου καὶ παρὰ Δημοσθένους λαβεῖν καὶ παρὰ Μενάνδρου.*

959–962 CDXXXII—CDXXXV (4, 318)

Schol. Nicandri Alexiph. p. 74b ed. Ald.: *βρυχᾶται, κλαυθμυρίζει, ὡς παιδίον φωνεῖ ἢ δακρύει, ὡς Μένανδρος.* Schol. Sophoclis Antig. 136: *βακχεύων, ἐνθουσιῶν, καὶ μέγα φυσῶν, καὶ πνέων ὀργήν, ὡς τὸ Μενάνδρου Ἀλλὰ καὶ πν* * * * Athenaeus XI p. 781 e: *Μένανδρος δέ πού φησι καὶ ποτήριον τορνευτόν, καὶ τορευτά.* Schol. Aristoph. Pac. 869: *σησαμῆ: [παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι, ὅς ἐστι] πλακοῦς γαμικὸς ἀπὸ σησάμων πεποιημένος, διὰ τὸ πολύγονον, ὥς φησι Μένανδρος.*

963–966 CDXXXVI—CDXXXIX (4, 318)

Eustathius p. 1161 med: *τὸ ἀλάβαστρον παρὰ Μενάνδρῳ ἄνευ τοῦ ρ κατὰ Αἴλιον Διονύσιον.* Idem p. 962 18: *ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς, δηλοῖ καὶ ὁ παρὰ Μενάνδρῳ βοίδης, ὅ ἐστι πρᾶος, εὐήθης, καθ' ὁμοιότητα τοῦ ἀμνοκῶν.* Antiatticista p. 89: *Δεδείπνηκας: Μένανδρος.* Etymol. M. p. 733 48: *τὸ συκοφαντεῖν παρὰ Πλάτωνι καὶ Μενάνδρῳ οἷον κνίζειν ἐρωτικῶς.* Suidas, *Συκοφαντεῖν: κνίζειν ἐρωτικῶς. οὕτως Πλάτων καὶ Μένανδρος.*

967 CDXL (4, 319)

Schol. Hesiodi Theog. 138 Menandro tribuens haec: *Ἐρᾷ μὲν ὄμβρων γαῖα,* aut Menandrum nominavit pro Euripide, cuius notissimus est locus: *ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον κτλ.*, aut Menander imitatus est Euripidem.

968 CDXLI (5, 109)

Arsenius Viol. p. 507. *Μένανδρος τὸν φθόνον πρόνοιαν τῆς ψυχῆς εἶπεν.*

CDXLII—CDXLVI (4, 319. 320) 969–973

Helladius Photii Bibl. p. 530 13: *τὰς νῦν λεγομένας κουρίδας οἱ Ἀττικοὶ κομμωτρίας ἐκάλουν. εὕρηται δὲ παρὰ Μενάνδρῳ καὶ τὸ κουρίδα.* Etymol. M. p. 470 45: *Ἰκόνιον, πόλις Λυκαονίας — γράφεται δὲ διὰ τοῦ ι, ἐπειδὴ εὑρέθη (εὕρηται) ἡ ἀρχὴ συστελλομένη παρὰ Μενάνδρῳ.* Schol. Thucyd. I 30: *τροπαῖον ἡ παλαιὰ Ἀτθίς — τρόπαιον ἡ νέα, ἧς ἐστι Μένανδρος.* Stephanus Byz. v. *Τέμβριον, πόλις Φρυγίας. Χάραξ δὲ Τέμβριον αὐτήν φησι, Μένανδρος δὲ Τεμβρίειόν φησιν, ὡς Γορδίειον.* Phrynichus Ecl. Att. p. 196: *Μεγιστᾶνες. Ἀντίοχος ὁ σοφιστής — τοὔνομα ἔθηκεν, ἴσως Μενάνδρῳ ἀκολουθήσας, οὐ γὰρ δή τινι τῶν ἀρχαίων.*

CDXLVII (4, 320) 974

Phrynichus Epit. p. 418 graviter invehitur in Balbum Trallensem, *ὃς εἰς τοῦτο προθυμίας καὶ θαύματος ἦκει Μενάνδρου, ὥστε καὶ Δημοσθένους ἀμείνω ἐγχειρεῖν ἀποφαίνειν, τὸν λέγοντα μεσοπορεῖν, καὶ γῦρος* (v. supra p. 931), *καὶ λήθαργος, καὶ σύσσημον, καὶ πορνοκόπος, καὶ ὀψωνιασμός* (fr. 921), *καὶ ὀψώνιον, καὶ δύσριγος.* Cf. p. 416. Ex his *λήθαργος* et *πορνοκόπος* tanquam Menandrea vocabula exsignavit etiam Thomas Mag. p. 222: *Ἀττικοὶ μὲν οὖν λήθαργον ἐπὶ τῆς νόσου φασίν, ἐπὶ δὲ τοῦ ταύτην νοσοῦντος ἐπιλήσμων. Μένανδρος δὲ καὶ τὸν νοσοῦντα λήθαργον λέγει.* Et p. 291: *Πορνοκόπος Μένανδρος λέγει, οἱ δ' ἀρχαῖοι πορνότριψ.* Cfr. Phryn. p. 415.

CDXLVIII—CDL (4, 320) 975–977

Phrynichus Epit. p. 425. *Μετριάζειν: τοῦτο οἱ μὲν ἀρχαῖοι ἐπὶ τοῦ τὰ συμβαίνοντα μετρίως φέρειν τιθέασι, Μένανδρος δ' ἐπὶ τοῦ ἀσθενεῖν, παρὰ τὴν τῶν δοκίμων χρῆσιν.* Idem 442. *Ἀκρατεύεσθαι: ἀδοκίμῳ ὄντι οἵ γε πολλοὶ χρῶνται τούτῳ τῷ ὀνόματι, καὶ Μένανδρος.* Idem ibid. *Αἰχμαλωτισθῆναι: τοῦθ' οὕτως ἀδόκιμον ὡς οὐδὲ Μένανδρον αὐτῷ χρήσασθαι. διαλύων οὖν λέγε αἰχμάλωτον γενέσθαι.* Idque ipsum etiam Menander dixisse videtur.

CDLI (4, 321) 978

Stephanus Byz. s. v. *Τάναγρα. καὶ Ταναγρική. Ἡρόδοτος πέμπτῃ Ταναγρικὴ μοῖρα, καὶ Μένανδρος Ταναγρικὴ γυνή.*

CDLII (4, 321) 979

Aristophanes apud Boisson. ad Herod. Epim. p. 289: *Ἄγγαρος, ὁ ἐκ διαδοχῆς γραμματοφόρος, ὡς Ἡρόδοτος ἐν ὀγδόῳ.*

καὶ οἱ εὐτελεῖς δὲ καὶ ἄφρονες οὕτως ὠνομάζοντο, ὡς Μένανδρος. Vide quae de his dixit A. Nauckius Diss. de Aristoph. p. 41.

980 CDLIII a (4, 321)

Quintilianus Inst. III 11 27: *Caput rei est; apud Menandrum κεφάλαιόν ἐστι.* E iudiciali oratione apud Menandrum haec petita esse vidit Spalding.

981 CDLIII b (4, 321)

Quintilianus Inst. X 1 69: *hunc* (Euripidem) *et admiratus maxime est, ut saepe testatur, et sequutus, quamquam in opere diverso, Menander.*

982 CDLIV (4, 321)

Schol. Dionysii Bekk. p. 854: *ὥσπερ ἐστὶ καὶ παρὰ Ἀριστοφάνει τὸ αὐτότατος καὶ παρὰ Μενάνδρῳ τὸ αἰτιώτατος.*

983 CDLV (4, 321)

Πυθοῦ παρ' αὐτῆς διὰ τίν' αἰτίαν.

Schol. Dionysii p. 871: *τὸ δὲ πευστικὸν μακρηγορίας δεῖται καὶ διὰ πολλῶν ἀπολογίας, ὡς καὶ παρὰ τῷ Μενάνδρῳ εὑρίσκομεν Πυθοῦ κτλ. ἀντὶ τοῦ ἐρωτήσας ἄκουσον.*

984 CDLVI (4, 322)

Ioannes Alexandr. *τον. παραγγ.* p. 36 32: *Οἴκει παρὰ Μενάνδρῳ ἀντὶ τοῦ οἴκοι.* Cfr. Heraclides Eustathii p. 1907 50.

985 CDLVII (4, 322)

Choeroboscus Bekk. p. 1290: *βούλει Ἀττικῶς διὰ τῆς ει διφθόγγου, ὡς παρὰ Μενάνδρῳ Βούλει Κνήμων εἰπέ μοι.* Corrigendum esse: *Βούλει τι, Κνήμων; εἰπέ μοι,* monui edit. pr. p. 625. Atque ita nunc ex Michaele Syng. edidit Cramerus An. Ox. IV p. 351.

986 CDLVIII (4, 322)

Choeroboscus Bekk. p. 1294: *καὶ ἐν συνθέσει παρήειν καὶ ἐξήειν, ὡς παρὰ Μενάνδρῳ Ἀπήειν τῶν τόκων ἔχων τόκους.* Idem fragmentum ex Michaele Syng. edidit Cramerus An. Ox. IV p. 368, ubi legitur *ἀπήει.*

987 CDLIX (4, 322)

Choeroboscus Bekk. p. 1316: *καὶ πάλιν ὁ Μένανδρος Οὐκ ἔχω οὔτε ἄλας οὔτε ὄξος οὔτ' ὀρίγανον.* Possis: *οὐκ ἔχω γὰρ οὔθ' ἅλας | οὔτ' ὄξος οὔτ' ὀρίγανον.*

CDLX (4, 323) 988

Ἐλεεῖθ' ὁ ποιμὴν καὶ καλεῖται γλυκύτατος.

Choeroboscus Bekk. p. 1368 sq.: *ἐλεῶ ἐλεεῖς. καὶ ὁ Μένανδρος ἐδήλωσεν εἰπών Ἐλεεῖται ὁ ποιμὴν καὶ καλεῖται γλυκύτατος.* Michael Syng. apud Cram. An. Ox. IV p. 420: *παρὰ Μενάνδρῳ Ἐλεεῖται ὁ ποιμὴν καὶ καλεῖται ἡδύτατος.* Correxi edit. pr. p. 626.

CDLXI (4, 323) 989

Choeroboscus Bekk. p. 1431: *χοᾶ παρὰ τῷ Μενάνδρῳ Τὸν χοᾶ ἐκκέχυκας.* Apud Menandrum *ἐκκέχυκας* initio versus positum erat. Pro *χοᾶ* scribendum *χόα*.

CDLXII a (4, 323) 990

Proculus ad Hesiodi Opp. et Dies 491: *ἀλέα δὲ ἡ θέρμη ἢ περὶ τὸν ἥλιον, κυρίως ὕπαιθρος τόπος ὑπὸ ἡλίου θερμαινόμενος. Μένανδρος ἀλέας Ἀθήνας.* Rectius fuerit *Ἀλέας Ἀθηνᾶς.*

CDLXII b (4, 323) 991

Horatius Epod. I 33: *haud paravero, Quod aut avarus ut Chremes terra premam, Discinctus aut perdam nepos.* Ad Menandri fabulam, in qua Chremes thesaurum terra abscondiderat, haec spectare videntur.

CDLXIII (4, 324) 992

Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν,
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.

Stobaei Append. Flor. p. 12 2 ed. Gaisford. Hermodoto haec tribuuntur apud Stobaeum Flor. LX 3.

CDLXIV (4, 324) 993

Τί δ' ὄφελος εὖ λαλοῦντος, ἂν κακῶς φρονῇ;

Stobaei App. Flor. p. 12 5. *εὖ* addidit Schneidewinus Coni. crit. p. 115.

CDLXV (4, 324) 994

Ὁ μὲν λόγος σου συνέσεως πολλῆς γέμει,
τὰ δ' ἔργα σύνεσιν οὐκ ἔχοντα φαίνεται.

Stobaei Append. Flor. p. 12 11. Versu primo *σου* addidit Gaisfordus.

CDLXVI (4, 324) 995

Ὁ μὴ φρονῶν μέν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν
δείκνυσιν αὑτοῦ τὸν τρόπον τοῖς ῥήμασιν.

Stobaei App. Flor. p. 13 8.

996 CDLXVII (4, 324)

Ὁ μὲν λόγος σου, παῖ, κατ᾽ ὀρθὸν εὐδρομεῖ,
τὸ δ᾽ ἔργον ἄλλην οἶμον ἐκπορεύεται.

Stobaei App. Flor. p. 13 4. Versu primo cod. *καί*, quod *παῖ* scripsit Schneidewinus Coni. crit. p. 115. Idem vs. 2 *ἐμπορεύεται*.

997 CDLXVIII (4, 324)

Ἡ τῶν ὁμοίων αἵρεσις μάλιστά πως
τὴν τοῦ βίου σύγκρασιν ὁμόνοιαν ποιεῖ.

Stobaei App. Flor. p. 20 8.

998 CDLXIX (4, 325)

Γυναικὶ δ᾽ ὅστις ὅρκον ὀμνύων ἀνὴρ
μηδὲν ποιεῖ δίκαιον, οὗτος εὐσεβής.

Stobaei App. Flor. p. 23 7.

999 CDLXX (4, 325)

Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος,
μήθ᾽ ὁ πονηρὸς κατεχέτω χρηστοῦ τόπον.

Stobaei App. Flor. p. 30 24. Vs. 1 editur *ἀχάριστος ἄνθρωπος*. Vide ad Gnom. monost. 40. Vs. 2 *μηδ᾽ αὖ πονηρός*?

1000 CDLXXI (4, 325)

Οὐχὶ τὴν αὐτὴν ἔχει
διάνοιαν αἰτῶν εἷς ἕκαστος καὶ λαβών.

Stobaei App. Flor. p. 31 10. *ἔχει* addidit Iacobsius.

1001 CDLXXII (4, 325)

Ἀεὶ δ᾽ ὁ σωθείς ἐστιν ἀχάριστον φύσει.
ἅμ᾽ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις,
ἣν δεόμενος τότ᾽ ἀθάνατον ἕξειν ἔφη.

Stobaei App. Flor. p. 31 11. Videntur duo fragmenta esse. Vs. 1 *ἀχάριστος* Gnom. monost. 34. Alterum versum habes apud Zenobium I 81, Eustathium p. 982 47 et 1256 48 et schol. Ven. ad Iliad. p. 397 22, ubi legitur *ἅμα τετέλεσται*. Eum iam olim composui cum Ausonii Epigr. 134 ex Menandro: ***Nil homine terra peius ingrato creat. Vicinus, hospes, notus, ignotus, cliens, Et si qua genera civium sunt id genus. Si quid petenti promptus opis impertias, Vt misereare, gratia actutum perit.***

CDLXXIII (4, 326) 1002

. . . *μανθάνειν·*
ὅτου δ' ἂν ἔργου τυγχάνῃς ἄπειρος ὤν,
τὸ πυνθάνεσθαι τῶν κατειδότων καλόν.

Stobaei App. Flor. p. 35 1. Vs. 2 cod. *οἷον*, quod correxi.

CDLXXIV (4, 326) 1003

Πολὺ κρεῖττόν ἐστιν ἓν καλῶς μεμαθηκέναι
ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα.

Stobaei App. Flor. p. 35 4.

CDLXXV (4, 326) 1004

Ὅταν λέγῃς μὲν πολλά, μανθάνῃς δὲ μή,
τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσει.

Stobaei App. Flor. p. 35 14.

CDLXXVI — CDLXXVIII (4, 326. 327) 1005—1007

Οὐδὲν γὰρ αἰσχρόν ἐστι τἀληθῆ λέγειν.
Ἀδύνατον ὡς ἔοικε τἀληθὲς λαθεῖν.
Ἐὰν ἐγὼ φῶ νῦν ἔχειν βακτηρίαν
χρυσῆν, τί μοι σεμνότερον ἔσται τὸ ξύλον;
ἀληθὲς εἶναι δεῖ τὸ σεμνόν, οὐ κενόν.

Stobaei App. Flor. p. 76 20.

CDLXXIX (4, 327) 1008

Κἀν ταῖς ἀπορίαις ἔσθ' ὁ χρηστὸς χρήσιμος.

Stobaeus Flor. XXXVII 12. Vulgo *χρήσιμον*. A et B m s *χρήσιμος*.

CDLXXX (4, 327) 1009

Ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαὶ νῷν αἱ γυναί.

Epimerismi Homer. apud Cramerum An. Ox. vol. I p. 102: *τὸ παρὰ Μιμνέρμῳ Ὦ Ζεῦ πολυτίμητε ὡς καλαὶ νῷν αἱ γυναῖ, εἰ μὲν περισπάσεις ἀποκοπὴ ἐκ τοῦ γυναῖκες, εἰ δὲ ὀξύνεις ἐκ τῆς γυνὴ εὐθείας.* In his *Μιμνέρμῳ* edidit Cramerus. Cod. *μιμηέρμω*. Correxi *Μενάνδρῳ*. Cfr. Aristoph. Equ. 1390 *ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί.*

CDLXXXI (4, 327) 1010

Εἰ μὴ γαμεῖς γάρ, ἔσχατον νόμιζέ με
Μυσῶν.

Schol. Eurip. Rhes. 244 de proverbio *Μυσῶν ἔσχατος* agens: *καὶ Μένανδρος Εἰ μή κτλ.*

1011 CDLXXXII (4, 327)

Θυγάτριον, ἡ νῦν ἡμέρα δίδωσί μοι
ἢ δόξαν ἤτοι διαβολήν.

Grammat. in Museo phil. Cantabr. II p. 111 et apud Boissonadum Anecd. III p. 237: *γίνεται σολοικισμὸς οὕτως ὡς παρὰ Μενάνδρῳ Θυγάτριον — διαβολήν. ἐχρῆν γὰρ ἤτοι δόξαν ἢ διαβολήν.*

1012–1014 CDLXXXIII – CDLXXXV (4, 328)

Append. Vat. Prov. II 71: *τὸν Θίμβιν ὁ Μένανδρος συνεχῶς Τίβιον ὀνομάζει.* Suidas, *Ἀναπετῶ: ἀναπετάσω. Μένανδρος Ἁλιεῦσι καὶ ἐν Συνερώσῃ καὶ ἑταίραις.* **Legendum** *ἑτέραις.* Syrianus apud Walzium Rhet. IV p. 98: *διττὸν τὸ τῆς διαβολῆς ὄνομα. ἐπί τε γὰρ τῆς διαβολῆς αὐτῆς τάττεται, ὡς παρὰ Μενάνδρῳ Οὐκ ἔστιν οὔτε διάβολος | γραῦς ἔνδον, καὶ ἐπὶ τῆς κατηγορίας.*

1015 CDLXXXVI (4, 328)

Καθιζάνει μὲν ἐνίοτ᾽ εἰς τὰ σήσαμα.

Grammat. in Museo phil. Cantabr. II p. 113 sive apud Boissonadum Anecd. III p. 340 et 257: *παρὰ Μενάνδρῳ Καθιζάνει κτλ.*

1016–1018 CDLXXXVII — CDLXXXIX (4, 328. 329)

Cod. Marc. Bekkeri ad Harpocr. p. 13: *ἀλεκτρυὼν ἐπὶ θήλεος καὶ ἄρρενος λέγεται· καὶ Μένανδρος Τὴν ἀλεκτρυόνα μοι δοὺς ᾤχετο.* Fortasse *μοι* delendum. Idem p. 14: *ἀμβλυώττειν ἀττικῶς τὸ μὴ σφόδρα ὁρᾶν· γράφεται δὲ κοινῶς ἀμβλωπεῖν, ὡς Μένανδρος ἀμβλωπούντων ἀνδρῶν.* Idem p. 25: *ἀπονυχίζειν τὸ ἀφαιρεῖν τὰς ὑπεραυξήσεις τῶν ὀνύχων παρὰ Μενάνδρῳ.*

1019 CDXC (4, 329)

Schol. Demosth. in Mid. e cod. Bav. p. 521 ed. Schaef.: *ἐξ Ἀργούρας, παρὰ Μενάνδρῳ Ἀργυρᾶς.* **Menandrum dicit fortasse non comicum, sed rhetorem, quem in Demosthenis interpretibus praeter alios commemorat Iohannes Sicel. in Rhet. Walzii vol. VI p. 382.**

1020. 1021 CDXCI CDXCII (4, 329)

Schol. Dionysii Perieg. 311: *Βορυσθένης ποταμὸς περὶ τὸν Πόντον, ὅθεν καὶ οἱ Ποντικοὶ Βορυσθενῖται, ὡς Μένανδρος λέγει Διεμέριζε γὰρ ὁ Βορυσθενίτης.* **Suidas,** *Ἀνάριστος: μᾶλλον δὲ ἀναρίστητος. — Μένανδρος δὲ ἀνάριστον.*

CDXCIII (4, 329) 1022

Ἀλλὰ προσέδωκας τάλαντον ἵνα παρ' ἡμῶν . . .
καὶ τὸν ἵκτινον λάβῃς.

Choeroboscus Bekkeri ad Etymol. M. p. 902: *καὶ ἡ αἰτιατικὴ ἵκτινον, ὡς παρὰ Μενάνδρῳ Ἀλλὰ προσέδωκας τάλαντον εἶναι παρ' ἡμῖν τὸν ἵκτινον.* Scripsi *ἵνα παρ' ἡμῶν* pro *εἶναι παρ' ἡμῖν*. In fine excidisse videtur substantivum; ideo vs. 2 addidi *καί*.

CDXCIV (4, 330) 1023

Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

Incertus apud Boissonadum Anecd. I p. 124: *Μενάνδρου Ὁ μηδέν κτλ.* Stobaeus Antiphani assignat, cuius vide fr. 265.

CDXCV (4, 330) 1024

Photius, *Ὀλολύττουσιν: οὐχὶ ὀλολύζουσι. Μένανδρος.*

CDXCVI (4, 330) 1025

Gregorius Nazianz. Apol. p. 14 ed. Bas.: *οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις ὡς τὸ λαλεῖν τἀλλότρια.* Ex Menandro haec petita esse, indicante Porsono ad Eurip. Orest. 228, monuit Elias Cretensis. Porsonus coniicit *οὐδὲν γὰρ οὕτως ἐστὶν ἀνθρώποις γλυκύ,* | *ὡς τοὐκλαλεῖν τἀλλότρια.*

CDXCVII (4, 330) 1026

Eunapius fragm. p. 99 ed. Bekk.: *ὁ Στιλίχων οὐκ ἐφόνευσε τοὺς ἀνθρώπους, ἀλλὰ ζῆν αἰσχρῶς ἠνάγκαζε πάντα ἀφαιρούμενος, καὶ πρὸς τὸ βαρύτατον, ὡς ἔφη Μένανδρος τὴν πενίαν, θηρίον καί . .* Reliqua non sunt integra. Fortasse *θηρίον διαπαλαίειν*. Menandri nomen restituendum esse vidit Bekkerus. Vulgo *ὡς φαμὲν ἀνδρός*. In Menandri gnomis monost. 450 paupertate negatur esse *βαρύτερον φορτίον*. Aristophani Plut. 439 est *δειλότατον θηρίον*.

CDXCVIII (4, 330) 1027

Schol. Aeschinis c. Ctesiph. Bekk. p. 257: *σύνταγμα οἱονεὶ πλῆθος χρημάτων. λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ σύνταγμα καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. ὅθεν καὶ παρὰ Μενάνδρῳ ἀνέγνωμεν τὸ σύνταγμα τῆς ἀρχῆς.*

CDXCIX (4, 330) 1028

Schol. Aeschin. Legat. § 179: *δοκοῦσιν αἱ γυναῖκες πικραὶ σφόδρα εἶναι περὶ τὸ ὀργίζεσθαι. διὸ καὶ ὁ Μένανδρός φησι Φιλόνεικος δ' ἐστὶ καὶ μία γυνή* | *εἰς μῆνιν.* Pro *καὶ μία* Schneidewinus *καὶ πικρά*. Malim *Σιμία*.

1029 D (4, 331)

Palladas Alex. Anth. P. X 52: *εὖ γε λέγων τὸν καιρὸν ἔφης θεόν, εὖ γε Μένανδρε.* Nisi haec referenda sunt ad fr. 284.

1030 DI (4, 331)

Simplicius ad Aristot. p. 355 35 Bekk.: *ὅταν λέγωμεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος καὶ λυτρωσάμενος τὸν αἰχμάλωτον, ὡς ὁ παρὰ Μενάνδρῳ Δημέας τὴν κράτεαν, ἀπῆλθεν.* Pro *τὴν κράτεαν* cod. reg. *τὸν Κράτην*, quod *Κράτητα* scribendum videtur.

1031 DII (4, 331)

Ἀράβιον ἐξεύρηκα σύμβουλον.

Proverbia Coisl. 40 p. 124: *ἀπὸ τούτου ἐλήφθη ἡ παροιμία (Ἀράβιος αὐλητής), ἣν μεταλλάξας Μένανδρος Ἀράβιον, φησίν, ἐξεύρηκα σύμβουλον.*

1032 DIII (4, 331)

Caelius Aurelianus Morb. acut. III 15: *Comicus Menander, inducens senem irascentem, istius passionis* (hydrophobiae) *imaginem vinolentis adscripsit, dicens non posse bibere eos qui vinum usque ad vexationem potant.*

1033 DIV (4, 331)

Proverbia Coisl. 253: *Ἤτοι κρίνον ἢ κολοκύντην, ἐπὶ τῶν ἀδήλων. τὸ γὰρ τῆς κολοκύντης ἄνθος καλεῖται κρίνον. ἄδηλον δὲ εἰ μέχρι κρίνου προβήσεται ἢ καὶ καρπὸν οἴσει. μέμνηται ταύτης Μένανδρος.* Cfr. Diphili fragm. inc. XI.

1034 DV (4, 332)

Schol. Aristidis p. 205 Fromm.: *ἀντὶ σπόρου καὶ Μένανδρος (τὸ καταβάλλειν) Τὰ δ' ἄλλ' ἐάν τις καταβάλῃ.* Schneidewino Coni. crit. p. 66 haec cum fragm. 96 coniungenda videntur.

1035. 1036 DVI DVII (4, 332)

Orion Theb. p. 23 1: *ὅπερ (ᾄδειν) λέγεται καὶ ἐπὶ τοῦ τὰ αὐτὰ ἐπαναλαμβάνειν. Μένανδρος Ἡ πόλις | ὅλη γὰρ ᾄδει τὸ κακόν.* Codex Havn. apud Blochium ad Etym. M. p. 949. *Ἀήδιον: τὸ τριβώνιον. Μένανδρος.*

1037. 1038 DVIII DIX (4, 332)

Schol. Aristoph. Thesm. 506: *οὐ γάλα πρότερον τοῖς βρέφεσιν ἐδίδοσαν, ἀλλὰ μέλι ἀπολείχειν. Μένανδρος δὲ οὐκ ὀρθῶς (!) ποιεῖ τὰ ἀρτίτοκα γάλακτος δεόμενα.* Pollux VI 11:

καυνάκας δέ τινας πορφυροῦς ἐπὶ στρωμάτων Μένανδρος ὠνόμασεν. Cfr. idem X 123.

DX (4, 332) 1039

Michael Syngelus apud Cram. An. Ox. IV p. 273 9: *γίνεται τὰ ὑποχορίσματα — δι' ἀναγκαιότητα, ὡς ἐὰν ὁ αἰτῇ τις σμικρύνῃ, ἵνα μὴ μεγάλην ποιήσῃ τὴν χάριν· ᾧ κέχρηνται οἱ κωμικοί, ὡς ἔχει τὸ παρὰ Μενάνδρῳ λεβήτιον.*

DXI DXII (4, 332. 333) 1040. 1041

Incertus Crameri Anecd. Ox. IV p. 412 15: *ἑστιῶ σημαίνει τὸ ἀριστοποιῶ, ὡς παρὰ Μενάνδρῳ Ἑστιᾶν τοὺς φίλους.* Fortasse *ἑστιάσω.* Idem p. 413 3: *τὸ ἐρῶ ἐρᾷς, τουτέστι τὸ ἐρωτικῶς ἔχω, διὰ τοῦ η γίνεται κατὰ τὸ παρωχημένον, οἷον ἤραον ἤρων ἁρμολογῶ καὶ νῦν δ' ἐρῶ, παρὰ Μενάνδρῳ.* Schneidewinus *ἤρων, ὁμολογῶ· καὶ νῦν δ' ἐρῶ.*

DXIII (4, 333) 1042

Galenus de natur. fac. I 17 de medicis Erasistrateis et Asclepiadeis dicens: *ὁμοίως τοῖς ὑπὸ τοῦ βελτίστου Μενάνδρου κατὰ τὰς κωμῳδίας εἰσαγομένοις οἰκέταις, Δάοις τισὶ καὶ Γέταις, οὐδὲν ἡγουμένοις σφίσι πεπρᾶχθαι γενναῖον, εἰ μὴ τρὶς ἐξαπατήσειαν τὸν δεσπότην.* Ovidii locos de fallacibus apud Menandrum servis attuli ad huius fragm. ed. pr. p. 47.

DXIV (4, 333) 1043

Libanius Orat. XIX p. 497 b: *κεκλεῖσθαι τοῖς ὑποκριταῖς τὸ θέατρον, ἵνα μὴ τραγῳδὸς εἰσελθὼν Πασιφάην μιμήσηται τὴν ἐξοκείλασαν εἰς ἀλλόκοτον ἔρωτα, μηδ' αὖ κωμῳδὸς τὰς παρὰ Μενάνδρῳ τεκούσας.* Referenda haec ad eas Menandri fabulas, in quibus puerperas exhibuerat, ex quo genere fuit Andria et Plocium.

DXV (4, 333. 334) 1044

Hermogenes de Ideis p. 117 Ald. (vol. III p. 306 Rhet. Walz.) de *ἀφελείᾳ* (*Naivetät*) disserens: *καὶ τὰ πολλὰ τῶν βουκολικῶν τοιαῦτά ἐστι. καὶ παρὰ τῷ Ἀνακρέοντι δὲ ὡσαύτως, παρά τε αὖ τῷ Μενάνδρῳ μυρία ἂν εὕροις τοιαῦτα καὶ γυναῖκας λεγούσας καὶ νεανίσκους ἐρῶντας καὶ μαγείρους καὶ παρθένους θρυπτομένας καί τινας ἄλλους.*

DXVI (4, 334) 1045

Athenaeus XIII p. 594 d: *ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς ἦρα Γλυκέρας κοινόν. ἐνεμεσήθη δέ. Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν ταύτην ὀνομάσαντος διὰ τοῦ δράμα-*

τος, ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς. Fortasse praestat *Χρήστην*.

1046 DXVII (4, 334)

Plinius N. H. XIX 34: *Menander auctor est, allium edentibus, si radicem betae in pruna tostam supererint, odorem extingui.* Fortasse ad Synaristosas referendum, cuius fabulae vide fr. VIII.

1047 DXVIII (5, 109)

Τύχην ἔχεις, ἄνθρωπε, μὴ μάτην τρέχε.
εἰ δ' οὐκ ἔχεις, κάθευδε, μὴ κενῶς πόνει.

Orion a Ritschelio editus p. VI 9. Cfr. Boissonadus ad Philostr. Epist. p. 211. Non est Menandri.

1048 DXIX (5, 110)

Io. Lydus de Mens. ed. Haas. p. 277. *ἐν τῷ κατ' αὐτὸν (Κρόνον) ἱερῷ, ὥς φησι Φύλαρχος καὶ Μένανδρος, οὔτε γυνὴ οὔτε [κύων οὔτε] μυῖα εἰσήει.* V. Lobeck. Aglaoph. p. 1095. Dubito num Menander intellegi debeat comicus.

Alia fragmenta probabili coniectura ad Menandrum referenda vide in fragmentis poetarum anonymorum, praesertim in iis quae ex Plutarchi scriptis composui. Ex Alciphronis epistolis, quae plurimis et manifestis Menandreae imitationis vestigiis impressae sunt, huc referre possis quae leguntur II 3 22: *βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγόμενον τοῦτο τῆς γῆς τἀγαθά*, cll. Terentio Phorm. I 2 17: *is senem per epistolas pellexit modo non montes auri pollicens.* Ex III 32: *καρηβαρῶ τὴν κραιπάλην τ' ἀπερυγγάνω.* Denique ex III 55: *ὁ γεγηρακὼς καὶ δυσότερον βαλλαντίων | ἔχων τὸ μέτωπον.*

EPIGRAMMATA

I (4, 335)

ΕΙΣ ΕΠΙΚΟΥΡΟΝ ΚΑΙ ΘΕΜΙΣΤΟΚΛΕΑ

Χαῖρε Νεοκλείδα δίδυμον γένος, ὧν ὁ μὲν ὑμῶν
πατρίδα δουλοσύνης ῥύσαθ', ὁ δ' ἀφροσύνης.

Servavit Anthol. Palat. VII 72 sive apud Brunckium Anal. I p. 203.

II (4, 335)

AUSONII EPIGRAMMA CXXXIX EX MENANDRO

Re fruere ut natus mortalis, dilige sed rem
tanquam immortalis: sors est in utroque verenda.

Eandem sententiam similiter expressit Lucianus Anth. Palat. X 26: *ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε, ὡς δὲ βιωσόμενος φείδεο τῶν ἀγαθῶν.*

Γ Ν Ω Μ Α Ι
ΜΕΝΑΝΔΡΟΥ ΚΑΙ ΦΙΛΙΣΤΙΩΝΟΣ *)

ΜΕΝΑΝΔΡΟΣ

Πολλῶν ὁ καιρὸς γίνεται παραίτιος·
ἂν γὰρ μέγιστα κομπάσῃς φρονῶν μέγα,
οὐκ οἶδας ὡς πολλὰς μεταβολὰς ἔχει.
ὃ νῦν δίδωσιν, οὐ δίδωσιν αὔριον.

ΜΕΝΑΝΔΡΟΣ

Χρόνος γὰρ οὗτός ἐστιν ἀνθρώποις ἀεί.
τὸν οὖν παρόντα καιρὸν ἅπανταν ἀφεῖς
οὐκ ἔστιν αὐτὸν προσλαβεῖν πάλιν ταχύ.

ΦΙΛΙΣΤΙΩΝ

Ἐπάν σ' ὁ καιρὸς ἐμβάλῃ πολλοῖς κακοῖς,
μὴ ἐκκακήσῃς πάντα εὐθύμως φέρειν.
πάλιν γὰρ ὄψει τῶν κακῶν περιτροπήν·
ἀεὶ γὰρ ὡς τροχὸς ὁ χρόνος κυλίεται.

ΜΕΝΑΝΔΡΟΣ

Καιρὸς ὁ τυχών ἐστιν ἀνθρώποις ἀεί·
πᾶσιν γὰρ οὐ πέφυκεν ἀνθρώποις ἴσος.
κέρδη γὰρ ἄλλοις χἡδονὰς ἐρεύεται,
ἄλλοις δὲ λύπας προσπορίζει καὶ βλάβας.

ΦΙΛΙΣΤΙΩΝ

Μίαν πρόνοιαν τῶν ἄνω τε καὶ κάτω
θεὸν νόμιζε, καὶ σέβου παντὶ σθένει.
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου,
καὶ μή μ' ἐρώτα, μηδὲ μανθάνειν θέλε·
οὐ γὰρ θέλω σε μανθάνειν τί δεῖ θεός.

Vs. 5 *οὐκ ἔσθ' αὐτός*? — Vs 6 fortasse *ἅπαξ ἂν ἀφῇς*, vel si antiquum auctorem versus habet, *ἂν ἅπαξ ἀφῇς*. — Vs. 9 possis *οὐ μὴ κκακήσῃς, πάντα δ' εὐθύμως φέρε*, sive malis *οὐ μὴ κκακήσῃς, πάντα δυσθύμως φέρων*. — Vs. 14 *θηρεύεται*? — Vs. 17 sqq. Vide Philem. fragm. 112 et 186. — Vs. 19 addidi *μ'*. — Vs. 20 pro *δεῖ* Boiss. *δή*, quod non sufficit. Elegans esset *μανθάνειν ὃ μὴ θέμις*.

*) Descripsit has sententias ex cod. Reg. 1166 Boissonadus Anecd. I p. 146—150. Eas ut reciperem in hanc syllogen vix a me impetravi; adeo barbara pleraque et indigna plane, quibus emendandis operam impendas.

ΜΕΝΑΝΔΡΟΣ

Λόγος κατάγει ταρτάρου κατώτερον,
λόγος δὲ αὖθις εἰς ὕψος ψυχὴν ἄγει.

ΜΕΝΑΝΔΡΟΣ

Ὁ πονηρὰ ποιῶν εὐθέως οὐκ αἴσθεται·
τότ' οἶδεν ὃ πεποίηκεν, ὅτε κολάζεται.

ΦΙΛΙΣΤΙΩΝ

Ὁ δυσσεβῶν τι καὶ δοκῶν λαθεῖν θεῷ,
κολάζεθ' οὗτος ὑπὸ συνειδότος θεοῦ.

ΜΕΝΑΝΔΡΟΣ

Ὁ μὴ κολασθείς, τῷ νόμῳ πράξας κακῶς,
αὐτὸς ἀφ' ἑαυτοῦ τῷ νόμῳ κολάζεται.

ΦΙΛΙΣΤΙΩΝ

Εὐσχημονεῖν φρόντιζε μὴ τῷ σχήματι,
τὸ σῶμα κοσμῶν, ἀλλὰ τῷ φρονήματι.

ΜΕΝΑΝΔΡΟΣ

Νίκα σιωπῶν τὸν νόμον καὶ μάνθανε·
πρὸ τοῦ μαθεῖν τῷ νόμῳ προλαμβάνεις.

ΦΙΛΙΣΤΙΩΝ

Νόμος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος,
ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

ΜΕΝΑΝΔΡΟΣ

Πόντου γυναικὸς κρίματα θηρὸς πυρός
χειρότερός ἐστιν ὁ προδότης τῶν φίλων.

ΦΙΛΙΣΤΙΩΝ

Ἂν μὴ δυνάμενος, ἐθέλων δὲ βλάψῃς φίλου,
καὶ μὴ δυνάμενος καὶ θέλων πείσῃ κακόν.

ΜΕΝΑΝΔΡΟΣ

Ὁ μὴ δικαίως κατὰ φίλων ζητῶν κακόν,
αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.

ΦΙΛΙΣΤΙΩΝ

Ἄνθρωπος ὢν μηδέποτε καθ' ἑτέρου κακόν
ἀδίκως φρονήσῃς· ἡ δίκη γὰρ πάνθ' ὁρᾷ.

Vs. 23 cod. *ἔσθεται.* **Boiss.** *ἦσθετο.* **Debebat** *αἴσθεται.* — **Vs. 25 fort.** *θεόν.* — **Vs. 28 Boiss.** *τῷ λόγῳ* **vel** *τῷ φόβῳ.* — **Vs. 31 et 32. Vide Menandri fragm. 671. — Vs. 33 cod.** *λόγος* **pro** *νόμος.* **Correxit Boissonadus ex Menandri fragm. 670. — Vs. 35 Boiss.** *κρυμάτων.* **Poterat lenius** *κρύματος.* **Sed** *κρῦμα* **nusquam legi. Fortasse** *καύματος,* **quamvis sequatur** *πυρός.* **— Vs. 36 fort.** *ὃς προδότης ἦ.* **Boiss. post** *προδότης* **inserit** *ὤν.* **— Vs. 39 sq. Vide Menandri fr. 666.**

ΜΕΝΑΝΔΡΟΣ

Ἐὰν πονηροῦ γείτονος γείτων ἔσῃ,
πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ.

ΦΙΛΙΣΤΙΩΝ

Ἀγαθοῦ γείτονος ἄν ποτε γείτων ἔσῃ,
ὡς προδιδάσκει ἀγαθὸν προσλάμβανε.

ΜΕΝΑΝΔΡΟΣ

Αὐτὸς ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν θέλε·
μέμψει γὰρ ἄλλους, οὐχὶ μεμφθήσῃ δὲ σύ.

ΦΙΛΙΣΤΙΩΝ

Δίκην φυλάσσου, κἂν δικαίως ἐγκαλῇ.
μετέρχεται τὸ δίκαιον εἰς πλεονεξίαν.

ΜΕΝΑΝΔΡΟΣ

Ἐὰν πένης ᾖς, δίκαιος εἶ κἀγαθός.
εἰμὶ δίκαιος ἢ γὰρ οὐκ ἂν ἦς πένης.

ΦΙΛΙΣΤΙΩΝ

Πενία καθ' αὑτήν ἐστιν ἰσχυρὰ νόσος·
ἔρωτα προσλαβοῦσα δύο νόσους νοσεῖ.

MENANDRI

ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ

EX QVINQVE CODICIBVS MSS DVCTAE *)

Ἄνθρωπον ὄντα δεῖ φρονεῖν τἀνθρώπινα.
Ἀναφαίρετον κτῆμ' ἐστὶ παιδεία βροτοῖς.
Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.
Ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν.
Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.
Ἅπαν τὸ κέρδος ἄδικον ὃν φέρει βλάβην.

Vs. 43—46. Vide Menandri fragm. 539. Boissonado indicante vs. 46 alius cod. *ὡς προσδιδάσκεις τὰ ἀγαθὰ καὶ προμανθάνεις.* — Vs. 50 codex *μετέρχετε γὰρ τὸ δίκαιον.* Correxit Boissonadus. — Vs. 51 Boiss. *εἰ δίκαιος κἀγαθός.* — Vs. 52 fortasse *εἰ μὴ δίκαιος ἦς γάρ, οὐκ ἂν ἦς πένης.* — Vs. 54 *νοσεῖς*?

Vs. 3 Menandri (Ploc.) est. — Vs. 4 *ὀργὴν* pro *ἔχθραν* Grotius, fortasse ex Aristot. Rhet. II 21: *ἀθάνατον ὀργὴν μὴ φύλαττε θνητὸς ὤν.*

---

*) V. Praef. edit. pr. p. XI sqq.

Ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.
Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.
Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
Ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ.
Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
Ἀγαθὸν μέγιστον ἡ φρόνησίς ἐστ' ἀεί.
Ἀνδρὸς τὰ προσπίπτοντα γενναίως φέρειν.
Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
Ἀβουλίᾳ τὰ πολλὰ βλάπτονται βροτοί.
Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
Ἀνεξέταστον μὴ κόλαζε μηδένα.
Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.
Ἄνθρωπος ὢν γίνωσκε τῆς ὀργῆς κρατεῖν.
Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην.
Ἅπαντας αὑτῶν κρείσσονας ἀνάγκη ποιεῖ.
Αἰσχρὸν δὲ μηδὲν πρᾶττε μηδὲ μάνθανε.
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.
Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε.
Ἀνὴρ γὰρ ἄνδρα καὶ πόλις σώζει πόλιν.
Ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.
Ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.
Ἀεὶ δ' ὁ σωθεὶς ἐστιν ἀχάριστος φύσει.
Ἄνευ προφάσεως οὐδὲν ἀνθρώποις κακόν.
Ἀνελεύθεροι γάρ εἰσιν οἱ φιλάργυροι.
Ἆρ' ἐστὶ θυμοῦ φάρμακον χρηστὸς λόγος.
Ἅπαντας εὖ πράττοντες ἥδομεν φίλους.

Vs. 8 Hippothoonti tribuitur apud Stobaeum Flor. 22 25. Ex Menandri monostichis disertim citat Doxopater ad Aphthon. in Walzii Rhet. gr. II p. 294. — Vs. 14 incerto poetae tribuitur a Stobaeo Ecl. Phys. T. I p. 128 Heer. — Vs. 15 Vind. *γὰρ πολλά*. Cod. apud Boiss. Anecd. I p. 152 *γὰρ τὰ πολλά*. Delevit Boiss. *γάρ*. — Vs. 25 Orion a Ritschelio editus p. V 3 *ἀνδρῶν δ' ἀπίστων*. — Vs. 26 ex Menandro affertur. V. p. 882. 895. — Vs. 30 *ἄριστος* Syll. Brunck. 186 et Schneiderus. Vind. 2 *ἀγαθός*. Vind. 3 *βέλτιστος*. Fort. fuit olim *ἀνὴρ γὰρ ἀγαθός*. — Vs. 32 Sophocli tribuit schol. Aristidis p. 37 ed. Fromm. ubi legitur *φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι*.

Ἃ μὴ προσήκει μήτ᾽ ἄκουε μήθ᾽ ὅρα.
Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος.
Ἅπαντας ἡ παίδευσις ἡμέρους τελεῖ.
Αἱ δ᾽ ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
Αὐτὸς πενόμενος τοῖς ἔχουσι μὴ φθόνει.
Ἀρχῆς τετευχὼς ἴσθι ταύτης ἄξιος.
Ἀνὴρ ὁ φεύγων καὶ πάλιν μαχήσεται.
Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ᾽ ἁμαρτάνοντες οὐ γινώσκομεν.
Ἄρεσκε πᾶσι καὶ σὺ μὴ σαυτῷ μόνῳ.
Ἀνουθέτητόν ἐστιν ἡ παρρησία.
Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
Ἀνὴρ δίκαιος πλοῦτον οὐκ ἔχει ποτέ.
Ἀρχὴν νόμιζε τὸν θεὸν φοβεῖσθαι.
Ἀδίκοις φίλοισιν ἢ κακοῖς μὴ συμπλέκου.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Ἄλυπον ἄξεις τὸν βίον χωρὶς γάμου.
Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.
Βιοῦν ἀλύπως θνητὸν ὄντ᾽ οὐ ῥᾴδιον.
Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Βραδὺς πρὸς ὀργὴν ἐγκρατὴς φέρειν γενοῦ.
Βέβαιος ἴσθι καὶ βεβαίοις χρῶ φίλοις.
Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ᾖς.
Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν.
Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ᾽ οὐ δυνάμεθα.
Βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
Βίος κέκληται δ᾽ ὃς βίᾳ πορίζεται.
Βίου δικαίου γίνεται τέλος καλόν.

Vs. 39 ex Menandri monost. affert Doxopater apud Walz. rhet. II p. 294. — Vs. 40 *ἀνὴρ ἀχάριστος* dedi pro *ἀχάριστος ἀνήρ*. Vind. 4 *ἀνὴρ ἄχρηστος*. V. fr. 999. — Vs. 41 Aldus *ποιεῖ* pro *τελεῖ*. — Vs. 43 *πενόμενος* scripsi ex Boiss. Anecd. I p. 153 pro *πενωθείς*. — Vs. 46 et 47 Euripidi tribuit Stob. Flor. 23 5. Cf. Matthiae p. 433 et Ritschelium ad Orionis sent. p. VIII. — Vs. 50 Menandro tribuit Stob. Flor. 2 6. — Vs. 53 est Christiani hominis foetus. Sententiam requiro fere hanc: *ἀρχὴν σοφίας νόμιζε τοῦ θεοῦ φόβον*. — Vs. 56 ante Schneiderum *ἕξεις*. — Vs. 57 Diphilo tribuit Stob. Flor. 105 47. — Vs. 59 Menandro assignatur ab Anonymo in Walzii Rhet. II p. 16, Doxopatro ibid. p. 251. 294. 295. — Vs. 60 addidi *γενοῦ*. Confirmat codex Boissonadi Anecd. I p. 154. — Vs. 65 Diphili versus apud Stob. Flor. 105 47. — Vs. 67 pro *βίου* apud Boiss. Anecd. I p. 153 *ἀνδρός*.

Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βροτοῖς ἅπασιν ἀποθανεῖν ὀφείλεται.
Βουλὴν ἅπαντος πράγματος προλάμβανε.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.
Βοηθὸς ἴσθι τοῖς καλῶς εἰργασμένοις.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.
Βούλου δ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνον.
Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
Βίον καλὸν ζῇς, ἂν γυναῖκα μὴ ἔχῃς.
Βασίλεια δ' εἰκὼν ἐστιν ἔμψυχος θεοῦ.
Γλώσσης μάλιστα πανταχῇ πειρῶ κρατεῖν.
Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
Γίνωσκε σαυτὸν νουθετεῖν ὅπου τρέχεις.
Γυναιξὶ πάσαις κόσμον ἡ σιγὴ φέρει.
Γυναικὸς ἐσθλῆς ἐστι σώζειν οἰκίαν.
Γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
Γυνὴ γὰρ οὐδὲν οἶδε πλὴν ὃ βούλεται.
Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
Γῇ πάντα τίκτει καὶ πάλιν κομίζεται.
Γέρων ἐραστὴς ἐσχάτη κακὴ τύχη.
Γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
Γυναικὶ κόσμος ὁ τρόπος, οὐ τὰ χρυσία.
Γυνὴ δικαία τοῦ βίου σωτηρία.
Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.
Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
Γάμει δὲ μὴ τὴν προῖκα, τὴν γυναῖκα δέ.
Γυνὴ δὲ χρηστὴ πηδάλιόν ἐστ' οἰκίας.

Vs. 69 est Euripidis. V. Alcest. vs. 782. — Vs. 72 Philemonis est fragm. 207. — Vs. 78 Philetae h. e. Philem. tribuitur a Stobaeo. V. Philem. fr. 206. — Vs. 79 *ἐστὶν εἰκὼν* transposui. — Vs. 80 et 81 e Charete citat Stob. Flor. 33 4 et 17 3. — Vs. 89 Euripidis est apud Orion. Gnomol. II 1. — Vs. 91 Philemonis est, cuius v. Fr. 205. — Vs. 94 a Stob. 68 21 tribuitur Diphilo, ubi pro *ἐσθλῆς* exhibetur *ἀγαθῆς*. — Vs. 95 Orion a Ritschelio editus p. V 28: *γυναῖκα γὰρ θάπτειν [κρεῖσσον] ἢ γαμεῖν*. Chaeremoni tribuitur a Stobaeo Flor. 68 22. Grotius *κρεῖττον*, ut Stobaeus. — Vs. 96 Philomidi tribuitur a Stobaeo Flor. 35 6.

Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
Γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν.
Γαμεῖν δὲ μέλλων βλέψον εἰς τοὺς γείτονας.
Γύμναζε παῖδας· ἄνδρας οὐ γὰρ γυμνάσεις.
Γονεῖς δὲ τίμα καὶ φίλους εὐεργέτει.
Γυνὴ δ' ὅλως τὸ συμφέρον οὐ βουλεύεται.
Γνώμη γερόντων ἀσφαλεστέρα νέων.
Γελᾷ δ' ὁ μῶρος, κἄν τι μὴ γέλοιον ᾖ.
Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
Γέρων γενόμενος μὴ γάμει νεωτέραν.
Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.
Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίνεται.
Γήρως δὲ φαύλου τίς γένοιτ' ἂν ἐκτροπή;
Δίκαιος εἶναι μᾶλλον ἢ χρηστὸς θέλε.
Δεῖ τοὺς φιλοῦντας πίστιν, οὐ λόγους ἔχειν.
Δοῦλος πεφυκὼς εὐνόει τῷ δεσπότῃ.
Δύσμορφος εἴην μᾶλλον ἢ κακηλόγος.
Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
Δίκαιος ἴσθι ἵνα δικαίων τύχῃς.
Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
Διάλυε, μὴ σύγχρουε μαχομένους φίλους.
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
Δοὺς τῇ τύχῃ τὸ μικρὸν ἐκλήψῃ μέγα.
Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς τοὺς δ' εὐτυχεῖς.
Δίκαια δράσας συμμάχους ἕξεις θεούς.
Δεινότερον οὐδὲν ἄλλο μητρυιᾶς κακόν.
Δειλοῦ γὰρ ἀνδρὸς δειλὰ καὶ φρονήματα.
Δέσποινα γὰρ γαμοῦντι νυμφίῳ γυνή.
Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.
Δόλιον γὰρ ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.

Vs. 101 Euripidis est Belleroph. 13. — Vs. 104 cod. Vind. 1 habet *γύμναζε δαῖμ', ἄνδρα γάρ με γυμνάζεις.* **Anthimos Gazes** *γύμναζε παῖδας, ἄνδρα γὰρ οὐ γυμνάσεις.* **Quo adiutus scripsi** *ἄνδρας οὐ γὰρ γυμνάσεις.* **— Vs. 106 emendavi ex Boisson. Anecd. I p. 159. Cod. Vind.** *γυνὴ τὸ συμφέρον οὐ βούλεται.* **— Vs. 111 est Aeschyli Prom. 329. — Vs. 113** *γένοιτ' ἂν ἐκτροπὴ* **dedi pro** *γένοιτο ἐκτροπή,* **quod habet Vind. 4. At Vind. 3** *γένοιτ' ἂν τροπής.* **Ald.** *γένοιτ' ἀνατροπή.* **— Vs. 119 non est antiqui poetae. — Vs. 120 Menandri est; v. p. 872. — Vs. 123 schol Theocr. V 65** *παρούσης.* **— Vs. 129 Stob. Tit. 71 1 Euripidi tribuit. — Vs. 130 Euripidis Iph. T. 1032.**

Δαίμων ἐμαυτῷ γέγονα γήμας πλουσίαν.
Δούλου δὲ χεῖρον οὐδὲν οὐδὲ τοῦ καλοῦ.
Διὰ τὰς γυναῖκας πάντα τὰ κακὰ γίνεται.
Δίκαιος ἂν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.
Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.
Δίωκε δόξαν κἀρετήν, φεῦγε ψόγον.
Δοῦλος γεγονὼς ἑτέρῳ δουλεύειν φοβοῦ.
Ἔπαινον ἕξεις, ἂν κρατῇς ὧν δεῖ κρατεῖν.
Ἔρως δίκαιος καρπὸν εὐθέως φέρει.
Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός.
Ἐλπιζε τιμῶν τὸν θεὸν πράξειν καλῶς.
Ἐν ταῖς ἀνάγκαις χρημάτων κρείττων φίλος.
Ἐλεύθερον φύλαττε τὸν σαυτοῦ τρόπον.
Ἐπ' ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.
Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός.
Ἐν τοῖς κακοῖσι τοὺς φίλους εὐεργέτει.
Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.
Ἐκ τῶν πόνων γὰρ τἀγάθ' αὔξεται βροτοῖς.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίνεται.
Ἐνεγκε λύπην καὶ βλάβην ἐρρωμένως.
Ἐχθροὺς ἀμύνου μὴ 'πὶ τῇ σαυτοῦ βλάβῃ.
Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
Ἐλπιζε τιμῶν τοὺς γονεῖς πρᾶξαι καλῶς.
Ἔρωτα παύει λιμὸς ἢ χαλκοῦ σπάνις.
Εὔτακτον εἶναι τἀλλότρια δειπνοῦντα δεῖ.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶσι δ' οὔ.
Ἔνεισι καὶ γυναιξὶ σώφρονες τρόποι.
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
Ἐλευθέρου γάρ ἐστι τἀληθῆ λέγειν.
Ἔνιοι κακῶς φρονοῦσι πράττοντες καλῶς.

Vs. 135 et 136 Menandro tribuit Stobaeus Flor. 9 9. — Vs. 138. Cfr. supra fr. 668. — Vs. 146 factus ad imitationem Aeschylei: *ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.* **— Vs. 149** *γὰρ* **Grot. Exc. p. 923. Stob. Flor. 29 11** *τοι*, **ubi Euripidi tribuitur. — Vs. 154 apud Boiss. An. I p. 157:** *νέος ὢν ἐφόδιον ὡς τὸ γῆρας κατατίθου.* **— Vs. 156 "alii legunt** *εἰ δὲ μὴ χρόνος*, **ut e Diog. Laert. adnotavit Stephanus p. 289." Schneider. — Vs. 159 "cod. mutilum dat** *πλησμονῇ κύπρις, πεινῶσι.* **Est Euripidis, teste Athenaeo, qui** *πεινῶντι* **habet, schol. Sophoclis** *πεινῶσι.*" **Schneider. — Vs. 162 pro** *ἐστι* **cod.** *ἀνδρός.* **Correxi in edit. pr. Confirmat nunc cod. apud Boiss. An. I p. 154.**

Ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην.
Ἐὰν δ' ἔχωμεν χρήμαθ', ἕξομεν φίλους.
Ἐχθροῦ παρ' ἀνδρὸς οὐδέν ἐστι χρήσιμον.
Εὐκαταφρόνητός ἐστι σιγηρὸς τρόπος.
Εἷς ἐστι δοῦλος οἰκίας ὁ δεσπότης.
Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
Ἔνιοι δὲ καὶ μισοῦσι τοὺς εὐεργέτας.
Εἰ μὴ φυλάσσεις μικρ', ἀπολεῖς τὰ μείζονα.
Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.
Εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς ἕξεις φίλους.
Ἔστιν τὸ τολμᾶν, ὦ φίλ', ἀνδρὸς οὐ σοφοῦ.
Ἐν μυρίοισι τὰ καλὰ γίνεται πόνοις.
Ἔργοις φιλόπονος ἴσθι μὴ λόγοις μόνον.
Εὑρεῖν τὸ δίκαιον πανταχῶς οὐ ῥᾴδιον.
Ἔστιν Δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ.
Ἐλεεινότατόν μοι φαίνετ' ἀτυχία φίλου.
Ἐκ τῶν γυναικῶν ὄλλυται κόσμιος μέγας.
Ἔστι κἀν κακοῖσιν ἡδονῆς τι μέτρον.
Εὔπειστον ἀνὴρ δυστυχὴς καὶ λυπούμενος.
Ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
Εὐνοῦχος ἄλλο θηρίον τῶν ἐν βίῳ.
Ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
Ζήτει σεαυτὸν καλλίστην εὐδοξίαν.
Ζήτει σεαυτῷ σύμμαχον τῶν πραγμάτων.
Ζῶμεν πρὸς αὐτὴν τὴν τύχην οἱ σώφρονες.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.
Ζῆθι προσεχόντως, ὡς μακρὰν ἐγγὺς βλέπων.

Vs. 168. Aristides vol. III p. 253c (vol. II p. 204 Dind.) *τὸ τοῦ κωμῳδιοποιοῦ βεβαίως καὶ παγίως ἔχει ὡς ἂρ' εἷς εἴη τῆς οἰκίας δοῦλος ὁ δεσπότης.* Schol. ad Aphthon. apud Walzium rhet. gr. vol. II p. 23: *τῶν γνωμῶν αἱ μὲν ἄνευ αἰτίας προφέρονται, ὡς τὸ εἷς ἐστι δοῦλος κτλ.* Eadem p. 594. Vtitur eo versu etiam Libanius orat. de Servis vol. II p. 88. — **Vs. 169** Euripidis est Pel. 5 3. — **Vs. 172** *φυλάξεις* Brunck. — **Vs. 173** Antiphani tribuitur a Stob. Flor. 21 4. — **Vs. 178** legebatur *πανταχοῦ*. — **Vs. 179** vid. Philem. ed. pr. p. 433. — **Vs. 182** fort. *ἔνεστι* et *ἡδονῆς μέτρον*. — **Vs. 183** rectius *εὔπιστον*, *suspicax*. Menand. fr. 372 *εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει*. Corruptis numeris plus una ratione succurras; quod certum sit, vix afferas. Suspicabar *εἴπιστον ἀτυχής ἐστ' ἀνὴρ λυπούμενος*. — **Vs. 185** Vind. 4 *τῶν* omittit. Mihi non liquet. — **Vs. 186** Schneiderus dedit *ἄριστον*. — **Vs. 187** legendum videtur *σεαυτῷ καταλιπεῖν*. Quo ducit Aldinus versus: *ζήτει σεαυτῷ δόξαν ἐγκαταλιπεῖν*.

Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.
Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος.
Ζῆν βουλόμενος μὴ πρᾶττε θανάτου ἄξια.
Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζήτει συναγαγεῖν ἐκ δικαίων τὸν βίον.
Ζευχθεὶς γάμοισιν οὐκ ἔτ' ἔστ' ἐλεύθερος.
Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.
Ζῶμεν ἀλογίστως προσδοκῶντες μὴ θανεῖν.
Ζῆν ἡδέως οὐκ ἔστιν ἀργὸν καὶ κακόν.
Ἢ ζῆν ἀλύπως ἢ θανεῖν εὐδαιμόνως.
Ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
Ἤθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
Ἡδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
Ἡδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.
Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.
Ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρον.
Ἡ φύσις ἑκάστου τοῦ γένους ἐστὶν πατρίς.
Ἤθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Ἡ δ' ἁρπαγὴ μέγιστον ἀνθρώποις κακόν.
Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
Ἢ μὴ γαμεῖν τὸ σύνολον ἢ γαμῶν κράτει.
Ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
Ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην.
Ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾶν.
Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.
Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
Ἡδὺ σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει.
Ἡ γὰρ σιωπὴ τοῖς σοφοῖς ἐστ' ἀπόκρισις.

Vs. 193 Stob. Flor. 121 17 praebet *εὐπορώτερος*. — Vs. 194 fort. *θανάτου γ'*. — Vs. 196 vulgatum *συνάγειν* correxit Brunck. — Vs. 197 Stobaeus Flor. 67 13 Euripidi tribuit, 68 24 Hippothoo. — Vs. 200 libri *μὴ προσδοκοῦντες θανεῖν*. — Vs. 206 cod. *ἐρᾶν* pro *κρατεῖν*. — Vs. 210 "ante Brunck. erat *ἑκάστου γὰρ γένους*: is e Stob. Tit. 85 *ἑκάστῳ* reftituit." Schneider. — Vs. 212 addidi *δέ*. — Vs. 218 "Initium in cod. deest: supplevit Anthimus Gazes." Schneider. — Vs. 221 Vind. 3 *ἢ δεῖ σιωπᾶν ἢ λέγειν ἀμείνονα*. Sic etiam Aldus. Schneidero versus vitiatus videtur ex edito: *κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει*. — Vs. 222 "vulgo est *πολλοῖς ἀπόκρ. ἡ σ. τυγχάνει*. Vind. 2 dabat *ἡ σιωπὴ τοῖς πολλοῖς ἀπόκρισίς ἐστιν*. Vind. 1 omisit *ἐστιν*. Guelf. (cum Vind. 3) dat *ἡ γὰρ σ. τοῖς σοφοῖς ὑπόκρισις*." Schneider.

Ἡ γὰρ σιωπὴ μαρτυρεῖ τὸ μὴ θέλειν.
Ἡ μωρία δίδωσιν ἀνθρώποις κακά.
Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει.
Ἡ κοιλία καὶ πολλὰ χωρεῖ κώλίγα.
Ἡ πενία ἀγνώμονάς γε τοὺς πολλοὺς ποιεῖ.
Ἡ γλῶσσ' ἁμαρτάνουσα τἀληθῆ λέγει.
Θεὸν σέβου καὶ πάντα πράξεις κατὰ τρόπον.
Θεὸν προτίμα, δεύτερον τοὺς σοὺς γονεῖς.
Θάλασσα καὶ πῦρ καὶ γυνὴ τρίτον κακόν.
Θέλων καλῶς ζῆν μὴ τὰ τῶν φαύλων φρόνει.
Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
Θεὸς πέφυκεν ὅστις οὐδὲν δρᾷ κακόν.
Θησαυρός ἐστι τοῦ βίου τὰ πράγματα.
Θέλομεν καλῶς ζῆν πάντες ἀλλ' οὐ δυνάμεθα.
Θεὸς συνεργὸς πάντα ποιεῖ ῥᾳδίως.
Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
Θορύβους ὀχλώδεις φεῦγε καὶ παροινίας.
Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.
Θεοῦ πέφυκε δῶρον εὐγνώμων τρόπος.
Θεὸς δὲ τοῖς ἀργοῖσιν οὐ παρίσταται.
Θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς.
Θεράπευε τὸν δυνάμενον, ἅπερ νοῦν ἔχῃς.
Θυμῷ χαρίζου μηδέν, ἅπερ νοῦν ἔχῃς.
Θυσία μεγίστη τῷ θεῷ τὸ εὐσεβεῖν.
Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχη.
Θηρῶν ἁπάντων ἀγριωτέρα γυνή.
Θνητὸς πεφυκὼς τοὐπίσω πειρῶ βλέπειν.
Θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν.
Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Θεὸς δ' ἁμαρτάνουσιν οὐ παρίσταται.

Vs. 225 *πόει* cod. Boissonadi Anecd. I p. 155. — Vs. 227 retinui cod. lectionem. Editur *πενία δ' ἀγνώμονάς γε τοὺς πολλοὺς ποιεῖ*. — Vs. 229 *κατὰ τρόπον* scripsi pro *ἐνθέως* ex cod. Boisson. An. I p. 155. — Vs. 234 *ὅστις* scripsi pro *ὅτι* ex cod. Boiss. An. I p. 155. — Vs. 237 editus *συνεργῶν*. Guelf. et Vind. 3 *θεοῦ συνεργοῦ* habet. — Vs. 238 Dicaeogeni tribuit Stob. Flor. 79 33, ubi *θεὸς μέγιστος*. — Vs. 243 Demonacti tribuitur a Stob. Flor. 22 16, ubi versus ita scriptus legitur, ut Brunckio praeeunte eum edidi. Vulgo *θνητὸς πεφυκὼς μὴ φρονῇς ὑπέρθεα*. — Vs. 246 nisi aliud latet, certe *τό γ'* legendum. — Vs. 248 "vulgatum *κακὴ γυνὴ* correxerat Brunckius." *Schneider*. — Vs. 249 Isidoro tribuit Stobaeus Flor. 22 27. — Vs. 250 legebatur *θεοῦ γὰρ χωρὶς οὐδείς*, correxi e Stob. Ecl. phys. p. 36 Heer. — Vs. 251 e Sophocle citat Theophilus ad Autol. II p. 77.

Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
Θυμοῦ κρατῆσαι κἀπιθυμίας καλόν.
Θεῶν ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
Ἴσος ἴσθι πᾶσι κἂν ὑπερβάλλῃς βίῳ.
Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου.
Ἰσότητα τίμα, καὶ πλεονέκτει μηδένα.
Ἴστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι.
Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ἱκανὸν τὸ νικᾶν ἐπὶ τῶν ἐλευθέρων.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Ἴσον ἐστὶν ὀργῇ καὶ θάλασσα καὶ γυνή.
Ἰσχυρὸν ὄχλος ἐστίν, οὐκ ἔχει δὲ νοῦν.
Ἴσος ἴσθι κρίνων καὶ φίλους καὶ μὴ φίλους.
Ἴσον λεαίνης καὶ γυναικὸς ὠμότης.
Ἰατρὸς ἀδόλεσχος ἐπὶ νόσῳ νόσος.
Ἴσον θεῷ σου τοὺς φίλους τιμᾶν θέλε.
Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.
Ἰδών τι χρηστὸν μηδὲν ἐκφάνῃς ὅλως.
Ἰδών ποτ' αἰσχρὸν πρᾶγμα μὴ συνεκδράμῃς.
Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Κρίνει φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ.
Κακὸν μέγιστον ἐν βροτοῖς ἀπληστία.
Κόλαζε τὸν πονηρόν, ἄνπερ δυνατὸς ᾖ.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
Κακοῦ μεταβολὴν ἀνδρὸς χρὴ σιωπᾶν.
Καλὸν τὸ γηρᾶν καὶ τὸ μὴ γηρᾶν πάλιν.
Κάλλιστα πειρῶ καὶ λέγειν καὶ μανθάνειν.

Vs. 255 *θεῶν* scripsi pro *θεοῦ*. — **Vs. 257** *ὑπερβάλλῃς βίῳ* **pro edito** *ὑπερέχῃς τῷ βίῳ* **cod. Boisson. Anecd. I p. 155 — Vs. 259 ante** *πλεονέκτει* **addidi** *καί*. **Possis et** *μή*. **— Vs. 262** *ἐστὶ* **pro** *ἐπί*? **— Vs. 264 cod.** *κακὴ* **ante** *γυνὴ* **inserit. — Vs. 268 cod.** *ἰ. ἀ. νοσοῦντι πάλιν νόσος*. **Apud Boiss. An. I p. 156** *ἐστὶν ἐπὶ τῇ νόσῳ νόσος*. **Correxit Boiss. — Vs. 282 Vind. 1 pro** *χρὴ σιωπᾶν* **habet** *οὐδεὶς ἐσκοπεῖ*. **Fort.** *κακοῦ μεταβολὴν ἀνδρὸς οὐ χρὴ προσδοκᾶν*, **vel** *κακοῦ γὰρ ἀνδρὸς μεταβολὴν οὐδεὶς σκοπεῖ*. **— Vs. 283 et 290 inscripti reperiuntur titulo Eumeniano apud Boeckh. C. I. no. 3902 r et Welck. Spicil. Epigr. in Museo Rhen. nov. 1843 p. 268.**

Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
Κάλλιστον ἐν κήποισι φύεται ῥόδον.
Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ.
Κέρδος πονηρὸν μηδέποτε βούλου λαβεῖν.
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.
Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην.
Καλὸν τὸ θνήσκειν οἷς ὕβριν τὸ ζῆν φέρει.
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
Καλὸν τὸ θησαύρισμα κειμένη χάρις.
Κρεῖττον τὸ μὴ ζῆν ἐστιν ἢ ζῆν ἀθλίως.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.
Καρπὸς γὰρ ἀρετῆς ἐστιν εὔτακτος βίος.
Καλὸν τὸ νικᾶν, ὑπερνικᾶν δὲ σφαλερόν.
Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς.
Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.
Κακῷ σὺν ἀνδρὶ μηδ' ὅλως ὁδοιπόρει.
Καλὸν φέρουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνή,
καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν.
Κατὰ τὴν ἰδίαν φρόνησιν οὐδεὶς εὐτυχεῖ.
Καιρῷ σκόπει τὰ πράγματ', ἄνπερ νοῦν ἔχῃς.
Κἂν τοῖς ἀγροίκοις ἐστὶ παιδείας λόγος.
Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.
Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε.
Λιμὴν πέφυκε πᾶσι παιδεία βροτοῖς.
Λόγῳ με πεῖσον, φαρμάκῳ σοφωτάτῳ.
Λόγος διοικεῖ τὸν βροτῶν βίον μόνος.
Λογισμός ἐστι φάρμακον λύπης μόνος.

Vs. 290 apud Stobaeum Flor. 33 7 Philonidae tribuitur. **Vind. 4** *μᾶλλον* pro *ἐστίν*. Editus versus: *κρεῖττον σιωπᾶν ἢ λαλεῖν ἃ μὴ πρέπει*. — **Vs. 295** Brunckius *γέ* pro *τό*. Malim *τι*. **Aldus** *δέ*. — **Vs. 296** Vind. 1 et 3 *καλὸν τὸ μὴ ζῆν*. Vid. Philem. Fr. 209. — **Vs. 297** Aeschylo tribuit Stob. Flor. 29 24, ubi *γέροντα*. — **Vs. 298** *γὰρ* addidit Schaeferus. Apud Boiss. An. I p. 156 *καρπὸς ἀρετῆς δίκαιος εὔτακτος βίος*. — **Vs. 299** non est antiqui poetae versus. — **Vs. 300** Antiphanis est p. 570. — **Vs. 304** apud Boisson. Anecd. I p. 156 *πέφυκε βίῳ γυνὴ κακή*. — **Vs. 307** apud Boisson. An. I p. 156 *εἶγε νοῦν ἔχῃς*. — **Vs. 313** Vind. 3 *μὲν πεῖσαι φάρμακον σοφώτατον*. Vnde coniicias *μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ*.

Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσον.
Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.
Λιμὴν πλοίου μέν, ἀλυπία δ' ὅρμος βίου.
Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
Λυποῦντα λύπει, καὶ φιλοῦνθ' ὑπερφίλει.
Λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
Λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
Λόγον παρ' ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον.
Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος.
Λέοντι συζῆν ἢ γυναικὶ συμβιοῦν.
Λάλει μέτρια καὶ μὴ λάλει ἃ μή σε δεῖ.
Λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
Λόγος εὐχάριστος χάριτός ἐστ' ἀνταπόδοσις.
Λάβε πρόνοιαν τοῦ προσήκοντος βίου.
Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.
Μὴ κρῖν' ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
Μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.
Μιμοῦ τὰ σεμνά, μὴ κακοὺς μιμοῦ τρόπους.
Μισθὸς διδάσκει γράμματ', οὐ διδάσκαλος.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.
Μί' ἐστὶν ἀρετὴ τὸν ἄτοπον φεύγειν ἀεί.
Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει.
Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής.
Μὴ σπεῦδ' ἃ μὴ δεῖ, μηδ' ἃ δεῖ σπεύδειν μένε.
Μὴ τοὺς κακοὺς οἴκτειρε πράξαντας κακῶς.

Vs. 316 vulgo *νόσους*, ut Stobaeus Flor. 99 10. Nostrum est e Vind. 1. Similiter Vind. 3 *λῦπαι καὶ γὰρ ἀνδράσιν τίκτει νόσον.* — Vs. 318 "Vind. 2 dat *τοῦ βίου ὅρμος τοῦ βίου δ' ἀλυπία*, suprascripto *πλόου*. In Aldina est *Πλοίου λιμὴν μέν, ἀλυπία.*" Schneider. V. Ritschelium ad Orionis sent. p. VII. Apud Boiss. Anecd. I p. 156 *λιμὴν πλοίου ὅρμος, βίος δ' ἀλυπία.* — Vs. 319 Stob. Flor. 94 p. 471 Grot. *θεραπεύειν* pro *ἰᾶσθαι.* — Vs. 323 Aldina *δεσπότου μεῖζον.* Rectius sub Menandri nomine Stob. Flor. 62 5 *μεῖζον οἰκέτου.* Apud Boiss. An. I 156 *δεσπότην ὑπερφρονῶν.* — Vs. 330 erat *ἐστιν ἀνταπόδοσις.* — Vs. 331 malim *λαβοῦ.* — Vs. 336 legebatur *μιμοῦ κακοὺς τ.* — Vs. 338 Stob. Flor. 29 9 Euripidi tribuit. — Vs. 339 cod. *μία ἐστὶν* et *τὸ ἄτοπον.* Correxi ex Orione. V. supra p. 906.

Μέγιστον ὀργῆς ἐστι φάρμακον λόγος.
Μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις.
Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
Μένει δ' ἑκάστῳ τοῦθ' ὅπερ μέλλει παθεῖν.
Μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ.
Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
Μισῶ πονηρὸν χρηστὸν ὅταν εἴπῃ λόγον.
Μὴ λοιδόρει γυναῖκα μηδὲ νουθέτει.
Μέμνησο νέος ὢν ὡς γέρων ἔσῃ ποτέ.
Μήποτε λάβῃς γυναῖκας εἰς συμβουλίαν.
Μὴ 'μβαινε δυστυχοῦντι· κοινὴ γὰρ τύχη.
Μακάριος ὅστις ἔτυχε γενναίου φίλου.
Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺς πένης γένῃ.
Μέγ' ἐστὶ κέρδος, ἢν διδάσκεσθαι μάθῃς.
Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Μηδέν ποτε κοινοῦ τῇ γυναικὶ χρήσιμον.
Μὴ γάμει γυναῖκα κοὐκ ἀνοίξεις τάφον.
Μεγάλη τυραννὶς ἀνδρὶ τελοῦσα καὶ γυνή.
Μὴ πρὸς τὸ κέρδος ἀεὶ πειρῶ βλέπειν.
Μαστιγίας ἔγχαλκος ἀφόρητον κακόν.
Μή μοι γένοιθ' ἃ βούλομ' ἀλλ' ἃ συμφέρει.
Μετὰ δικαίου ἀεὶ διατριβὰς ποίει.
Νόμῳ τὰ πάντα γίνεται καὶ κρίνεται.
Νόμιζε κοινὰ πάντα τἀτυχήματα.
Νοεῖν γάρ ἐστι κρεῖττον ἢ σιγὴν ἔχειν.
Νύμφη δ' ἄπροικος οὐκ ἔχει παρρησίαν.
Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν.
Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
Νέμεσιν φυλάσσου μηδὲν ὑπερφρονῶν.

Vs. 346 libri *ἐστιν ὀργῆς*, quod correxi. — **Vs. 352** *ὅταν* dedi e Stobaeo Flor. 2 5 et Antonio Mel. p. 278 12, ubi Menandro versus tribuitur. Vind. 2 *ἄν*. — **Vs. 353** dedi *γυναῖκα* pro *γυναῖκας*. — **Vs. 355** Vind. 2 *μήπω*. Tum *γυναῖκας* scripsi pro *γυναῖκα*. — **Vs. 357** ita dedi ex Aldo. Codex *μ. ἐστιν, ὃς ἔτυχε φίλου*. — **Vs. 358** Vind. 4 *ταχύ*. Fort. *ταχέως*. — **Vs. 360** Menandri est. V. Fragm. 663. — **Vs. 363** fort. *ἀνδρὶ πλουσίᾳ γυνή*. — **Vs. 367** fort. *μετὰ τοῦ δικαίου διατριβὰς ἀεὶ ποίει*. — **Vs. 368** alibi *χρόνῳ*, ut e Stephano notat Schneiderus. — **Vs. 369** editur *δυστυχήματα*. — **Vs. 372** habet Apost. 13 77. Pro *ἐγχωρίοις* Brunck. *ἐγχώροις*. Bentl. *ἐπιχωρίοις*. Sophocli tribuitur a Stobaeo Flor. 43 25. Atqui ibi Sophoclis nomen ad sequentem versum pertinet. Pro *τοῖς ἐγχ. κ.* Vind. 4 habet *πάντα δεῖ τὸν σώφρονα*. Similiter infra 380. — **Vs. 374** fort. *μηδ' ἄγαν ὑπερφρόνει*. Apud Boisson. An. 1 p. 157: *φυλάσσου μηδὲν ὑπέρογκον ποίει*.

Νέῳ δὲ σιγᾶν μᾶλλον ἢ λαλεῖν πρέπει.
Νικᾷ γὰρ ἀεὶ διαβολὴ τὰ κρείττονα.
Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.
Νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι θεούς.
Νόμων ἔχεσθαι πάντα δεῖ τὸν σώφρονα.
Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς.
Νόμιζε γήμας δοῦλος εἶναι διὰ βίου.
Νόσον δὲ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν.
Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.
Νὺξ μὲν ἀναπαύει, ἡμέρα δ' ἔργον ποιεῖ.
Νικᾷ παλαιὰς χάριτας ἡ νέα χάρις.
Νέοις τὸ σιγᾶν κρεῖττόν ἐστι τοῦ λαλεῖν.
Νέος ἂν πονήσῃς, γῆρας ἕξεις εὐθαλές.
Ξένους πένητας μὴ παραδράμῃς ἰδών.
Ξένοισι πιστοῖς πιστὸς ὢν γίνου φίλος.
Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
Ξένος ὢν ἀκολούθει τοῖς ἐπιχωρίοις νόμοις.
Ξενία χαλεπὴ κατὰ πολλοὺς τρόπους.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
Ξένον ἀδικήσῃς μηδέποτε καιρὸν λαβών.
Ξυνετὸς πεφυκὼς φεῦγε τὴν πανουργίαν.
Ξένος ὢν ἀπράγμων ἴσθι, καὶ πράξεις καλῶς.
Ξένους ξένιζε, καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.
Ξένῳ δὲ σιγᾶν κρεῖττον ἢ κεκραγέναι.
Ξένος πεφυκὼς τοὺς ξενηδόχους σέβου.
Ὁ γράμματ' εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.
Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
Οὐκ ἔστιν αἰσχρὸν ἀγνοοῦντα μανθάνειν.
Ἔλπιζε δ' αὐτὸν πάλιν εἶναι σοῦ φίλον.
Οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὑτῷ φίλος.
Οὐκ ἔσθ' ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ.

Vs. 378 Menandro tribuit Stob. Flor. 79 26, Philemoni Apost. XIII 78. — Vs. 383 pro *δὲ* editum *πολύ*, ut in Stob. Flor. 99 6. — Vs. 385 fort. *νὺξ ἀναλύει μέν*. — Vs. 388 dedi *ἂν* pro *ἐάν*. — Vs. 395 Vind. 4 *ξενιτεία*. Fort. *ξενία [γέ τοι] χαλεπή ὅτι*. — Vs. 397 erat *ἀδικήσεις*. — Vs. 400 apud Boiss. An. I p. 157: *ξένους πρατίμα· σὺ γὰρ ἔσῃ ξένος ποτέ*. — Vs. 406 non suo loco positus est. V. Philem. Fragm. 148. Post *πάλιν* adde *ἄν*.

Ὅπου βία πάρεστιν, οὐδὲν ἰσχύει νόμος.
Ὀργὴ φιλοῦντος μικρὸν ἰσχύει χρόνον.
Οὐπώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν.
Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς ἐπίσταται.
Οὐδὲν γυναικὸς χεῖρον οὐδὲ τῆς καλῆς.
Οὐκ ἔστι λύπης χεῖρον ἀνθρώποις κακόν.
Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Οὐκ ἔστι σιγᾶν αἰσχρόν, ἀλλ' εἰκῆ λαλεῖν.
Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ 'κφάνῃς φίλου.
Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενός.
Ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν.
Ὁμιλίας δὲ τὰς γεραιτέρων φίλει.
Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
Οὐδεὶς ὃ νοεῖς μὲν οἶδεν, ὃ δὲ ποιεῖς βλέπει.
Ὃν γὰρ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.
Ὅμοια πόρνη δάκρυα καὶ ῥήτωρ ἔχει.
Οἶνος γὰρ ἐμποδίζει . . . .
Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
Ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει.
Οὐδεὶς ἐπιχειρεῖ τοῖς δεδυστυχηκόσι.
Ὅτ' εὐτυχεῖς μάλιστα μὴ φρόνει μέγα.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.

Vs. 409 scribendum videtur *ὅπου βία, παρ' οὐδὲν ἰσχύει νόμος.* — **Vs. 410** a Stob. Flor. 63 20 Menandro tribuitur, ubi est *φιλούντων*. Convenit fere Terentii illud Andr. III 3 23: *Amantium ira amoris integratio est*, ubi nostrum versum comparavit Lindenb. T. II p. 107 West. unde eum Clericus ad Menandri Andriam rettulit. — **Vs. 411** est Menandri versus. Vide p. 943. — **Vs. 415** *δι' ὀργῆς* Guelf. — **Vs. 418** "Vind. 1 *μὴ ἐκφάνῃς*. Vind. 2 *φάνῃς*." Schneider. Vide Philemonis fr. 148. — **Vs. 419** *ἐν οὐδενί* edidit Aldus. Delevit praepositionem Grotius, sequente Brunckio. Schneiderus *οὐδενός*. V. supra p. 948. — **Vs. 420** Menandri versus apud Stob. Flor. 18 4, Anton. Meliss. 68 p. 116, Clement. Alex. Paed. II p. 179. Respicit Varro Sat. VII 1 ed. Oehl. Cfr. praeterea Porson. apud Schaefer. ad Brunckii P. Eth. p. 316. — **Vs. 421** editur *γεραιτέρας*, ut ex Euripide laudat Stob. Flor. 115 3. — **Vs. 425** pro *γὰρ* editus *οἵ*. V. supra p. 891. — **Vs. 429** Chaeremoni tribuitur a Stobaeo Flor. 20 16, ubi editur *πολλοὺς* pro *πολλά*. — **Vs. 431** erat *δυστυχηκόσιν*. — **Vs. 434** Euripidi tribuitur a Grotio Exc. p. 429 fortasse propter Nemesium de Nat. Hom. p. 321: *Εὐριπίδης δὲ καὶ Μένανδρος τὸν νοῦν ἐν ἑκάστῳ φασὶ προνοεῖν ἑκάστου*. Menandro eundem versum

Οὐ χρὴ φέρειν τὰ πρόσθεν ἐν μνήμῃ κακά.
Οὐκ ἔστι πενίας οὐδὲ ἓν μεῖζον κακόν.
Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
Οὐδεὶς πῦρ εἰς χρήματα διδοὺς ἐπαύσατο.
Ὁ συκοφάντης ἐστὶ τοῖς πέλας λύκος.
Ὅρκον δὲ φεῦγε καὶ δικαίως κἀδίκως.
Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
Πολλοὺς ὁ πόλεμος δι' ὀλίγους ἀπώλεσεν.
Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Πολλοὺς τρέφειν εἴωθε τἀδικήματα.
Πολλοὺς ὁ καιρὸς οὐκ ὄντας ποιεῖ φίλους.
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
Πρᾶττε τὰ σαυτοῦ, μὴ τὰ τῶν ἄλλων φρόνει.
Πολλῶν ὁ καιρὸς γίνεται διδάσκαλος.
Πενίας βαρύτερον οὐδέν ἐστι φορτίον.
Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.
Πατὴρ οὐχ ὁ γεννήσας, ἀλλ' ὁ θρέψας σε.
Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.
Πένης ὑπάρχων μὴ φρόνει τὰ πλουσίων.
Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πονηρός ἐστι πᾶς ἀχάριστος ἄνθρωπος.
Παθητός ἐστι πᾶς τις εὐπροσήγορος.
Πάντως γὰρ ὁ σοφὸς εὐτελείας ἀνέχεται.
Πάντ' ἀνακαλύπτων ὁ χρόνος εἰς τὸ φῶς φέρει.
Πέντητας ἀργοὺς οὐ τρέφει ῥᾳθυμία.
Πενίαν φέρειν καὶ γῆρας ἐστι δύσκολον.
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.

tribuit Tzetzes Exeg. Iliad. p. 53 et 67. Cfr. supra p. 881. Partem habet etiam Plutarchus Quaest. Plat. p. 999 e. Cfr. Iamblich. Protr. p. 138 ed. Kiessl. et schol. Euripidis Troad. 884. Adde Gataker. ad Anton. XII p. 358. Fallitur Valcken. Diatr. p. 238 senarium nostrum a Grotio fictum putans. — Vs. 436 verba *οὐδὲ ἓν μεῖζον κακόν* addidi e Vind. 3 et 4. — Vs. 439 in *πῦρ εἰς* latet genitivus substantivi dolorem vel malum indicantis. — Vs. 443 *δι'* pro *οὐκ* ex cod. Boiss. An. I p. 158. — Vs. 444 vide ad Men. Hypobol. p. 959. — Vs. 446 fortasse *φίλους* post *πολλοὺς* ponendum. Editus *πολλοὺς ὁ κ. ἄνδρας οὐκ ὄντας ποιεῖ.* — Vs. 449 pro *διδάσκαλος* editus *παραίτιος.* — Vs. 450. Ita correxi ordinem verborum apud Schneid. *π. οὐδέν ἐστι β. φ.* Editus *οὐδὲν πεν. β. ἐστι φ.* — Vs. 451 Chaeremoni tribuit Stobaeus Flor. 83 14. — Vs. 452 Guelf. add. in fine *πατήρ*, quod delevit Schneider. Vind. 2 dat *ὁ θρέψας καὶ οὐχ ὁ γεννήσας πατήρ.* Non expedio. — Vs. 459 *εἰς τὸ φῶς* scripsi pro *πρὸς φῶς.* Cfr. Philem. fr. 197.

Πενίαν φέρειν οὐ παντός, ἀλλ᾽ ἀνδρὸς σοφοῦ.
Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
Ῥοπή ᾽στιν ἡμῶν ὁ βίος, ὥσπερ ὁ ζυγός.
Ῥῆμα παράκαιρον τὸν ὅλον ἀνατρέπει βίον.
Ῥᾳθυμίας περίφευγε καὶ κακοὺς φίλους.
Ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
Ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
Ῥᾷον φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.
Ῥᾴθυμος ἂν ᾖς πλούσιος, πένης ἔσῃ.
Ῥύου δὲ σαυτὸν παντὸς ἐκ φαύλου τρόπου.
Σέβου τὸ θεῖον, μὴ ᾽ξετάζων πῶς ἔχει.
Σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ σοφός.
Σοφοῦ παρ᾽ ἀνδρὸς ἐκδέχου συμβουλίαν.
Σιγή ποτ᾽ ἐστὶν αἱρετωτέρα λόγου.
Σωτηρίας σημεῖον ἥμερος τρόπος.
Σύμβουλος οὐδείς ἐστι βελτίων χρόνου.
Στερρῶς φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.
Σοφία γάρ ἐστι καὶ μαθεῖν ἃ μὴ νοεῖς.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σοφὴ σοφῶν γὰρ γίνεται συμβουλία.
Σιγᾶν ἄμεινον ἢ λαλεῖν ἃ μὴ πρέπει.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
Σοφὸς γὰρ οὐδεὶς εἰς τὰ πάντα προσκοπεῖ.
Σοφῷ παρ᾽ ἀνδρὶ πρῶτος εὑρέθη λόγος.
Σὺν τοῖς φίλοισιν εὐτυχεῖν ἀεὶ θέλε.
Τὰ θνητὰ πάντα μεταβολὰς πολλὰς ἔχει.
Τὸ δὴ τρέφον με τοῦτ᾽ ἐγὼ λέγω θεόν.
Τίμα τὸ γῆρας, οὐ γὰρ ἔρχεται μόνον.
Τοὺς τῆς φύσεως οὐκ ἔστι λανθάνειν νόμους.
Τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή.
Τῆς ἐπιμελείας πάντα δοῦλα γίνεται.
Τύχη τέχνην ὤρθωσεν, οὐ τέχνη τύχην.
Τὰ μικρὰ κέρδη ζημίας μεγάλας φέρει.
Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
Τέθνηκεν ἀνθρώποισιν ἅπασα χάρις.

Vs. 465 legebatur *ὁ βίος ἡμῶν.* — Vs. 476 apud Boiss. An. I p. 158: *σοφοῦ γὰρ ἀνδρὸς εὐλαβοῦ συμβουλίας.* — Vs. 489 addidi *πολλὰς* e Grotii Exc. p. 945. — Vs. 490. Vide ad Menandri Fragm. p. 872. — Vs. 494 cf. Antiph. fr. 272. — Vs. 497 est apud Stob. Ecl. ph. I p. 198. Respicit Simplicius ad Arist. phys. p. 73 b Ald. — Vs. 498 fort. fuit olim *ἅπασ᾽ ἐν ἀνθρώποισι τέθνηκεν χάρις.*

Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.
Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Τὸν εὐποροῦνθ' ἕκαστος ἡδέως ὁρᾷ.
Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.
Τὸ κέρδος ἡγοῦ κέρδος ἂν δίκαιον ᾖ.
Τὸ γὰρ θανεῖν οὐκ αἰσχρόν, ἀλλ' αἰσχρῶς θανεῖν.
Ταμιεῖον ἀνθρώποισι σωφροσύνη μόνη.
Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.
Τῶν εὐτυχούντων πάντες ἄνθρωποι φίλοι.
Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.
Τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν εὐτυχοῦς.
Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
Τἀληθὲς ἀνθρώποισιν οὐχ εὑρίσκεται.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.
Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.
Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.
Ὑπερηφανία μέγιστον ἀνθρώποις κακόν.
Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον.
Ὕβρις κακὸν μέγιστον ἀνθρώποις ἔφυ.
Ὑφ' ἡδονῆς ὁ φρόνιμος οὐχ ἁλίσκεται.
Ὑγίεια καὶ νοῦς ἀγαθὰ τῷ βίῳ δύο.
Ὕπνος πέφυκε σωμάτων σωτηρία.
Ὑπὲρ εὐσεβείας καὶ λάλει καὶ μάνθανε.
Ὕπνος δὲ πάσης ἐστὶν ὑγιεία νόσου.
Ὕπνος δεινὸν ἀνθρώποις κακόν.
Ὑπὸ τῆς ἀνάγκης πολλὰ γίνεται κακά.
Υἱῷ μέγιστον ἀγαθόν ἐστ' εὔφρων πατήρ.
Φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν.
Φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.
Φίλον δι' ὀργὴν ἐν κακοῖσι μὴ προδῷς.
Φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει.
Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.
Φεῦγ' ἡδονὴν φέρουσαν ὕστερον βλάβην.

Vs. 505 Menandro tribuitur apud Stob. Flor. 5 9, ubi versus ita scriptus est: *ταμιεῖον ἀρετῆς ἐστι σωφροσύνη.* **Sic etiam Gesnerus in margine, at in textu:** *ταμιεῖόν ἐστιν ἀρετῆς ἡ σωφροσύνη,* **in quo latere suspicor** *ἀρετῆς ἐστιν ἡ σώφρων γυνή.* **Ita iam in prima edit. — Vs. 515 Euripidi tribuit Stob. Ecl. phys. I p. 340. — Vs. 518 codd.** *ὑφ' ἡδονῆς φρόνιμος οὐκ ἂν ἁλίσκεται.* **Correxi in edit. pr. Confirmat nunc codex apud Boiss. An. I p. 158. — Vs. 525 addidi** *ἔστ'* **et** *εὔφρων* **scripsi pro** *ἔμφρων.* **— Vs. 532 Alexidi tribuitur apud Stob. Flor. 6 24, vide fr. 299.**

Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.
Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.
Φίλων τρόπους γίνωσκε, μὴ μίσει δ' ὅλως.
Φρόνημα λιπαρὸν οὐδαμῶς ἀναλίσκεται.
Χωρισμὸς φίλων δοκιμαστήριον φιλίας.
Χρυσὸς δ' ἀνοίγει πάντα κἀίδου πύλας.
Χθὼν πάντα κομίζει καὶ πάλιν κομίζεται.
Χειμὼν κατ' οἴκους ἀνδράσιν κακὴ γυνή.
Χωρὶς γυναικὸς ἀνδρὶ κακὸν οὐ γίνεται.
Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
Χεὶρ χεῖρα νίπτει, δάκτυλοι δὲ δακτύλους.
Χαίρειν ἐπ' αἰσχροῖς οὐδέποτε χρὴ πράγμασιν.
Χρόνος δ' ἀμαυροῖ πάντα κεἰς λήθην ἄγει.
Χρηστοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.
Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.
Ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.
Ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ καθὰ δύνῃ.
Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον.
Ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται.
Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.
Ὡς ἡδὺ κάλλος, ὅταν ἔχῃ νοῦν σώφρονα.
Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν.
Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.
Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.
Ὡς πάντα τιμῆς ἐστι πλὴν τρόπου κακοῦ.
Ὡς ἔστ' ἄπιστος ἡ γυναικεία φύσις.
Ὡς αἰσχρὸν ἀνθρώποισίν ἐστ' ἀπληστία.
Ὡς χάριέν ἐστ' ἄνθρωπος ὃς ἂν ἄνθρωπος ᾖ.

Vs. 536 possis *ἀλίσκεται*. Sed quid est *φρόνημα λιπαρόν*? — Vs. 537 non est veteris poetae versus. — Vs. 538 fortasse iambographi est. — Vs. 539 editus *ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις*. Cfr. vs. 89 et Eurip. Orionis Gnom. II 1. — Vs. 540 editus *οἴκους ἐστὶν ἀνδράσιν γυνή*. Apud Boiss. Anecd. I p. 26 *χειμὼν μέγιστος οἰκίας κακὴ γυνή*. — Vs. 544 legebatur *ἐπ' αἰσχρὸν οὐδέποτε χρὴ πρᾶγμα*. Correxi in edit. pr. Confirmat nunc Vind. 6, qui pro *οὐδέποτε χρὴ* habet *οὐδόλως δεῖ*. — Vs. 552 ex Eurip. Alc. 301. — Vs. 556 Stobaeus Flor. 62 3 ex Euripidis Meleagro *ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν*. — Vs. 560 Menandro tribuit Stob. Flor. 73 7 *ἔστ' ἄπιστον* scribens. — Vs. 561 scripsi *ἔστ'* pro *ἡ*. — Vs. 562 correxi cod. lectionem: *ὡς χαρίεις ἐστὶν ἄνθρωπος ὅταν υἱὸς ᾖ*. Peius etiam apud Etymol. M. p. 824 41 editur *ὡς χαρίσοιτ' ἄνθρωπος ἀνθρώποισι*, ubi vide Sylburgium. Melius Stobaeus Flor. 5 11,

Ὡς ἡδὺ τὸ ζῆν μὴ φθονούσης τῆς τύχης.
Ὡς αἰσχρὸν εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.

SVPPLEMENTVM I *)

Ἀγαθὰ προθύμως καὶ λάλει καὶ μάνθανε.
Ἄκουε πάντων, ἐκλέγου δ' ἃ συμφέρει.
Βούλου τὸ πρῶτον εὐσεβεῖν πρὸς τὸν θεόν.
Βουλὴ πονηρὰ χρηστὸν οὐκ ἔχει τέλος.
Γέλως τὰ σεμνὰ τοῦ βίου τοῖς σώφροσιν.
Δίκαιος ἴσθι καὶ φίλοισι καὶ ξένοις.
Ἔλεγχε σαυτὸν ὅστις εἶ πράττων κακῶς.
Ἦθος πανοῦργον μακρὰν οἰκίζει θεοῦ.
Ἤθη τὰ πάντων ἐν χρόνῳ πειράζεται.
Θυμὸν φυλάττου· τὸ φρονεῖν γὰρ οὐκ ἔχει.
Ἴσον ἐστὶν εἰς πῦρ καὶ γυναῖκας ἐμπεσεῖν.
Κόλαζε κρίνων ἀλλὰ μὴ θυμούμενος.
Λύπης ἰατρός ἐστιν ὁ χρηστὸς φίλος.
Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει.
Νοῦς ἐστι πάντων ἡγεμὼν τῶν χρησίμων.
Νόμοις ἕπεσθαι πάντα δεῖ τὸν σώφρονα.
Ὁ βίος ἀδήλους τὰς μεταπτώσεις ἔχει.
Οὐδεὶς ποιῶν πονηρὰ λανθάνει θεόν.
Πολυπραγμονεῖν ἀλλότρια μὴ βούλου κακά.
Τὸ γνῶθι σαυτὸν πᾶσίν ἐστι χρήσιμον.
Τοῦτ' ἐστὶ τὸ ζῆν μὴ σεαυτῷ ζῆν μόνῳ.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.
Ὑπουλος ἀνὴρ δίκτυον κεκρυμμένον.
Ὕδωρ θαλάσσης ὁ τρόπος τῶν δυσκόλων.

ubi pro ὡς legitur ᾗ et ἄν pro ὅταν. Eundem versum ita scriptum praebet Clemens Alex. Str. VIII p. 916 Pott. ὡς χαρίεις ἐστὶν ἄνθρωπος, ἔστ' ἂν ἄνθρωπος ᾖ. Haec scripsi in editione prima. Dobraeus Adv. II p. 286, qui falso versum hunc a me omissum dicit, affert praeterea Alexandrum Rhet. Aldi p. 586, ubi Walzius vol. VIII p. 480 in cod. Par. ita legi affirmat χάριέν ἐστ' ἄνθρωπος ὅστ' ἄνθρωπος ᾖ, pro quo Aldina χάριεν ἔστ' ἄνθρωπος. Et sic edidit Walzius, initio versus ὡς ex coniectura addens. Dobraeus ᾗ. Adde Phoebammonem de figuris apud Walzium vol. VIII p. 517, ubi itidem ὡς vel ᾗ omittunt codices. — Vs. 563 μὴ φθονομένης τύχης Guelf. εὐτυχῶς ἄνευ φθόνου Vind. 3 4. — Vs. 572 forsan μακρὸν ἀπῴκισται θεοῦ.

*) Descripsit ex cod. Vindob. (Philol. gr. CLXV) et per Th. Berghium mecum communicavit I. H. C. Schubartus v. cl.

Φῶς ἐστι τῷ νῷ πρὸς θεὸν βλέπειν ἀεί.
Φίλος φίλου δεόμενος οὐκ ἔστιν φίλος.
Χαίρειν προσήκει τοῖς παθῶν ἐλευθέροις.
Χρόνος τὰ κρυπτὰ πάντα πρὸς τὸ φῶς ἄγει.
Ψυχῆς ὄλεθρός ἐστι σωμάτων ἔρως.

SVPPLEMENTVM II *)

Ἀρετῆς ἁπάσης σεμνὸς ἡγεῖται λόγος.
Ἄξεις ἀλύπως τὸν βίον χωρὶς γάμου.
Ἀνάπαυσίς ἐστι τῶν κακῶν πάντων ὕπνος.
Ἅπασιν ἡμῖν ἡ συνείδησις θεός.
Βίος μὲν οὐδεὶς σκαιὸν ἔργον εἰσφέρει.
Βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥᾴδιον.
Γυνὴ δὲ κολακεύει σε τοῦ λαβεῖν χάριν.
Ζήτει ποιεῖν εὖ τοῖς καλῶς εἰργασμένοις.
Ἡ δ' ἀργία πέφυκεν ἀνθρώποις κακόν.
Θνητὸς γεγονώς, ἄνθρωπε, μὴ φρόνει μέγα.
Ἴσχυε μέν, μὴ χρῶ δὲ συντόνως θράσει.
Ἱκέτην γέροντα καὶ πένητα μὴ προδῷς.
Ἴσχυε σοφίᾳ κἀρετῇ, χρόνῳ δὲ μή.
Καλόν γε γαστρὸς κἀπιθυμίας κρατεῖν.
Καλὸν τὸ γηρᾶν, ἀλλ' ὑπεργηρᾶν κακόν.
Καιρῶν μεταβολὴν πανταχοῦ σε δεῖ σκοπεῖν.
Λύει δὲ λύπην παντὸς ἀνθρώπου λόγος.
Λόγος τις εὐχάριστος ἀπόδοσις καλή.
Μηδέποτε πλούτει, θάνατον εὐλαβούμενος.
Μὴ μόνος ἐπίστασ', ἀλλὰ καὶ δοῦναι φίλοις.
Μακάριος ὅστις εὐτυχεῖ γενναῖος ὤν.
Μέτρῳ δὲ πάντα μανθάνων δίκῃ ποίει.
Μηδέποτε ναυχῶ πλοῦτον ἐν δόμοις ἔχων.
Μήτηρ ἁπάντων γαῖα καὶ κοινὴ τροφός.
Ξένον προτίμα, καὶ φίλον κτήσῃ καλόν.

Vs. 592 Philemonis est fragm. 197. — Vs. 602 legebatur *ἡ ἀργία γάρ*. — Vs. 603 legebatur *ἄνθρωπος*. — Vs. 604 cod. ante *θράσει* addit *τῷ σῷ*. — Vs. 605 *προδῷς* scripsi pro *παρίδῃς*. — Vs. 608 *ἀλλ'* Boiss. pro *τὸ δ'*. — Vs. 609 cod. *πάντοτε δεῖ σκοπεῖν*. Boiss. *πανταχοῦ δεῖ σε σκοπεῖν*. — Vs. 615 cod. *δικαίως*. Correxit Boiss. — Vs. 616 *μηδέποτε* Boiss. Cod. *μήποτε*.

*) Edidit ex cod. Par. Boissonadus Anecd. I p. 153. Recepi non nisi ineditas, omissis etiam quae nimiam barbariem redolerent. Interposui quas idem Boissonadus l. l, p. 159 ex cod. 1630 edidit.

Ὅπλον μέγιστον ἐν βροτοῖς τὰ χρήματα.
Ὁ χρόνος ἐπιμελὴς γίνεται πάντων κριτής.
Οὐκ ἔστιν ὅστις τὴν τύχην οὐ μέμφεται.
Ὁ λόγος ἰατρὸς τῶν κατὰ ψυχὴν σοφός.
Ὅπου γυναῖκές εἰσι πάντ' ἐκεῖ κακά.
Πολλοῖσιν ἀδίκοις ἡ τύχη παρίσταται.
Πολλοὺς κακῶς πράξαντας ὤρθωσεν τύχη.
Πόλεις ὅλας ἠφάνισε διαβολὴ κακή.
Πολλοὶ τραπεζῶν, οὐ φίλων εἰσὶν φίλοι.
Ῥᾳθυμία τὰ πόλλ' ἐλαττοῦσθαι ποιεῖ.
Σωτηρίας σημεῖον ἥμερος τρόπος.
Συζῆν κακοῖσι μηδὲ πειρῶ τὸ σύνολον.
Σύμβουλος ἀγάθῶν μὴ κακῶν εἶναι θέλε.
Τὴν ἐπιμέλειαν παντὸς ἡγοῦ κυρίαν.
Τρισάθλιος γυναικὶ πιστεύων ἀνήρ.
Χρηστὴ γυνὴ κτῆμ' ἐστὶν ἀνδρὶ σώφρονι.
Χάριν χαρίζου καθ' ὅσον ἰσχύειν δοκεῖς.
Ψυχῆς ἀρχαίας οὐδέν ἐστι γλυκύτερον.
Ὦ Ζεῦ, τὸ πάντων κρεῖττόν ἐστι νοῦν ἔχειν.

SVPPLEMENTVM III
EX ALDO *)

Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται.
Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.
Αὐθαίρετος λύπη 'στὶν ἡ τέκνων σπορά.
Ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει.
Ἀνὴρ ἀτυχῶν δὲ σώζεται ταῖς ἐλπίσιν.
Ἀνάπαυσίς ἐστι τῶν κακῶν ἀπραξία.
Ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις.
Ἀμελοῦντα τοῦ ζῆν οὐκ ἔνεστ' εὐσχημονεῖν.
Αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.
Ἅπαντ' ἀφανίζει γῆρας, ἰσχὺν σώματος.
Ἂν εὖ φρονῇς, τὰ πάντα γ' εὐδαίμων ἔσῃ.

Vs. 622 *σοφὸς* scripsi pro *σοφοῦ*. — Vs. 627 cod. *φίλοι εἰσὶν φίλων*, quod correxi. — Vs. 628 delevi *γε* post *ῥᾳθυμία*. — Vs. 630 *μηδὲ* scripsi pro *μή*. — Vs. 638 cum seq. Philemonis sunt Fragm. 92. — Vs. 640 e Menandri Cith. fr. 274. — Vs. 643 e Menandro adfertur a Stob. 110 4, ubi legitur *ἄνθρωπος ἀτυχῶν σώζεθ' ὑπὸ τῆς ἐλπίδος*. — Vs. 645 vide p. 1032.

*) Vide Praef. ad Menandrum p. XIII.

Ἀεὶ κράτιστόν ἐστι τἀσφαλέστατον.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν πολλῶν κακά.
Βακτηρία γάρ ἐστι παιδεία βίου.
Βραβεῖον ἀρετῆς ἐστιν εὐπαιδευσία.
Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.
Βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
Βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Διὰ δὲ σιωπῆς πικρότερον κατηγορεῖ.
Δυσπαρακολούθητον δὲ πρᾶγμ' ἔσθ' ἡ τύχη.
Ἔλπιζε πάντα μέχρι γήρως θνητὸς ὤν.
Εἰ μὴ καθέξεις γλῶσσαν, ἔστι σοι κακά.
Ἐν δ' εὐπροσηγόροισίν ἐστί τις χάρις.
Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν.
Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδ' ἂν εἷς πονηρὸς ἦν.
Ζῆν αἰσχρόν, οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
Ἡ δὲ μετάνοια γίνετ' ἀνθρώποις κρίσις.
Ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.
Ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα.
Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.
Ἰσότητα δ' αἱροῦ καὶ πλεονεξίαν φύγε.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Ἰατρὸς ὁ λόγος τοῦ κατὰ ψυχὴν πάθους.
Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
Καιρὸς γάρ ἐστι τῶν νόμων κρεῖττον πολύ.
Καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
Κρίνειν δίκαιον μὴ τὸ συμφέρον θέλε.
Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.
Καλὸν τὸ νήφειν ἢ τὸ πολλὰ κραιπαλᾶν.
Κοινὸν δὲ καλόν ἐστι χρηστὸς εὐτυχῶν.
Λεπτῶς γέ τοι ζῆν κρεῖσσον ἢ λαμπρῶς κακῶς.
Λόγον παρ' ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον.

Vs. 659 Aldus *κατηγόρει*. — Vs. 660 Menandri fragm. 479. — Vs. 662 fort. *ἔσται*. — Vs. 664 est Antiphanis versus, de quo vide p. 516. — Vs. 665 cf. Diph. inc. XIV. — Vs. 669 habet Stob. Flor. 83 10, ubi editur *ἡδὺς πατήρ*. — Vs. 671 Simonidis est. V. Schneidewini Coniect. crit. p. 78. — Vs. 679 Aeschyli est apud Stobaeum Ecl. Eth. II p. 340 Heer. — Vs. 681 Menandri est apud Stob. Flor. 43 23, ubi editur *κοινὸν ἀγαθόν ἐστι*. Legendum videtur: *κοινὸν γὰρ ἀγαθόν*. — Vs. 682 Brunckius *λεπτῶς καλῶς ζῆν*.

Μηδέποτε γήμῃ μηδὲ εἷς εὔνους ἐμοί.
Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
Ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.
Οὐδεὶς ἐπλούτησεν ταχὺ δίκαιος ὤν.
Οὐδὲν πέπονθας δεινὸν ἂν μὴ προσποιῇ.
Ὁ παρ' ἡλικίαν νοῦς μῖσος ἐξεργάζεται.
Οὐ πανταχοῦ δ' ὁ φρόνιμος ἁρμόττειν δοκεῖ.
Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακοῦ.
Ὀχληρὸς ἀνὴρ ἐστιν ἐν νέοις γέρων.
Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά.
Ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάνθ' ὁρᾶν.
Οἴμοι· τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Πάντη γάρ ἐστι πάντα τε βλέπει θεός.
Πολλῶν ἰατρῶν εἴσοδός μ' ἀπώλεσεν.
Πολλοὶ γυναικῶν δυστυχοῦσιν εἵνεκα.
Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.
Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
Πολυπραγμονεῖν ἀλλότρια μὴ βούλου κακά.
Πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.
Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
Προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
Πειρῶ τύχης ἄνοιαν εὐχερῶς φέρειν.
Πολλοὶ τραπέζης οὐκ ἀληθείας φίλοι.
Ῥήτωρ πονηρὸς τοῖς νόμοις λυμαίνεται.
Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
Στρέφει δὲ πάντα τἀν βίῳ μικρὰ τύχη.
Στῦλος γὰρ οἴκου παῖδές εἰσιν ἄρρενες.

Vs. 684 Menandro tribuitur a Stob. Flor. 68 10. — Vs. 688 Menandri est. V. fr. 290. — Vs. 689 Menandri; v. fragm. 179. — Vs. 691 Menandri; v. fragm. 410. — Vs. 693 Brunckius *ὀχληρός ἐστιν ἐν νέοις ἀνὴρ γέρων.* — Vs. 694 Menandro tribuit Stob. Flor. 73 58. — Vs. 699 est parodia versus Euripidei Androm. 930: *Κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν*, quem respicit Plutarchus Consol. ad uxor. p. 610b: *κακῶν γυναικῶν εἰσόδους καὶ φωνὰς καὶ συνεπιθρηνήσεις.* Plinius NH. 29 5: *hinc illa infelicis monumenti inscriptio "turbe se medicorum periisse."* Cfr. Wyttenbach. ad Plutarch. Praec. Coniug. p. 143 f. — Vs. 701 Chaeremonis versus apud Stob. 83 14. — Vs. 703 Brunck. *τἀλλότρια.* — Vs. 707 Menandri versus apud Stob. 108 5, ubi *ἀνδρείως* pro *εὐχερῶς.* — Vs. 709 Brunckius e cod. *τοὺς νόμους.* — Vs. 713 Euripidis est Iph. Taur. 57, ubi legitur *στῦλοι γὰρ οἴκων εἰσὶ π. ἄρσενες.*

Σύμβουλος ἐσθλὸς μὴ κακὸς γίνου φίλοις.
Σύμβουλος ἴσθι τῶν ἀγαθῶν, μὴ τῶν κακῶν.
Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
Τρόπος δίκαιος κτῆμα τιμιώτατον.
Τυφλὸν δὲ καὶ δύστηνον ἀνθρώποις τύχη.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.
Τὸν καιρὸν εὔχου πάντοθ' ἵλεων ἔχειν.
Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
Τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
Τὸ πολλὰ πράττειν κὠδύνας πολλὰς ἔχει.
Τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποιεῖ.
Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.
Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν.
Τὸ μηδὲν εἰκῆ πανταχοῦ 'στι χρήσιμον.
Τάχισθ' ὁ καιρὸς μεταφέρει τὰ πράγματα.
Τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στι χρήσιμον.
Τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν εὐτυχοῦς.
Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.
Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
Ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
Ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
Φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί.
Φασὶν κακίστους οἱ πονηροὶ τοὺς κακούς.
Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.
Φρονοῦντός ἐστι ζημίαν πρᾴως φέρειν.
Φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.
Φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
Φίλου τρόπους γίνωσκε, μισήσῃς δὲ μή.
Φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
Φίλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.
Χαλεπὸν τὸ γῆρᾶς ἐστιν ἀνθρώποις βάρος.
Χάριν λαβὼν εὔκαιρον ἐν καιρῷ δίδου.
Χάριν χαρίζου, καθ' ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.
Χάριν λαβὼν μέμνησο καὶ δοὺς ἐπιλάθου.

Vs. 718 Menandri e *Προγάμοις*, ubi legitur *τυφλόν γε*. — Vs. 723 *κὠδύνας* Grotius pro *καὶ λύπας*. — Vs. 725. Vide Nicostrati fragm. 20. — Vs. 726 *ταὐτόματον ἡμῶν* affert Cicero ad Attic. I 12. Non dubito quin iambographi versus sit. — Vs. 738. Vide p. 908. — Vs. 746 Grotius et Brunckius *εὔκαιρον δίδου*.

750 *Χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.*
Χειμὼν μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν.
Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.
Ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.
755 *Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.*
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.
Ὦ τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ.
Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.

Vs. 750 Menandri versus est fragm. 20. — Vs. 757 pro *ὦ* legebatur *ὡς*. V. supra p. 946. — Vs. 758 Menandri versus. V. p. 921.

DIPHILVS

ΑΓΝΟΙΑ

1 I (4, 375)

Τί τοῦτο; ποδαπὸς οὗτος;
Β. χελιδόνειος ὁ δασύπους, γλυκεῖα δ' ἡ μίμαρχυς.

Athenaeus IX p. 401 a: *καλοῦνται δέ τινες καὶ χελιδονίαι λαγωοί. μνημονεύει δὲ αὐτῶν Δίφιλος ἢ Καλλιάδης ἐν Ἀγνοίᾳ οὕτως Τί τοῦτο; ποδαπὸς οὗτος χελιδόνιος ὁ δασύπους; γλαυκία δ' ἡ μίμαρχυς;* Correxi haec Praefat. ad Menandrum p. XX.

2 II (4, 376)

Ἅψαντες λύχνον
λυχνεῖον ἐζητοῦμεν.

Athenaeus XV p. 700 d: *Φερεκράτης δ' ἐν Κραπατάλοις τὴν νῦν λυχνίαν καλουμένην λυχνεῖον κέκληκε διὰ τούτων — Δίφιλος δ' ἐν Ἀγνοίᾳ Ἅψαντες κτλ.*

Praeterea huius fabulae memoriam quamquam incerta coniectura latere suspicabar apud Etymol. M. p. 127 in.

ΑΔΕΛΦΟΙ

3 I (4, 376)

Ὦ τοιχωρύχον
ἐκεῖνο καὶ τῶν δυναμένων λαγύνιον
ἔχον βαδίζειν εἰς τὰ γεύμαθ' ὑπὸ μάλης,
καὶ τοῦτο πωλεῖν, μέχρι ἂν ὥσπερ ἐν ἑράνῳ
εἷς λοιπὸς ᾖ κάπηλος ἠδικημένος
ὑπ' οἰνοπώλου.

Athenaeus XI p. 499 d: *οὐδετέρως δὲ (τὸ λαγύνιον) Δίφιλος ἐν Ἀδελφοῖς εἴρηκεν Ὦ τοιχωρύχον κτλ.* Respicit Pollux X 72: *τὸ δὲ λαγύνιον (Δίφιλος λέγει) ἐν Ἀδελφοῖς.* Vs. 1 *τοιχωρύχον* PVL *τυχωρύχον* A *τϊχώρυχον* B. Vs. 2 "*δυναμένων* PV *δυνομένων* Basil. L, ad quod nihil enotatum ex AB." *Dindorfius.* Post hunc versum fortasse lacuna indicanda.

II (4, 376) 4

Ὦ μακάρι', ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο,
ἵν' αὐτὰ τἀναγκαῖα δυστυχῇς μόνον,
πλείω δὲ διὰ τὴν ἀμαθίαν μὴ προσλάβῃς.

Stobaeus Flor. CVIII 9.

ΔΙΡΗΣΙΤΕΙΧΗΣ. ΕΥΝΟΥΧΟΣ Η ΣΤΡΑΤΙΩΤΗΣ

I (4, 377) 5

Ἔσθ' ὑποχέασθαι πλείονας, πιεῖν γέ τι
ἄδρότερον ἢ τῶν Ῥοδιακῶν ἢ τῶν ῥυτῶν.

Athenaeus XI p. 496 e: *Ῥοδιάς. Δίφιλος Διρησιτείχει· τὸ δὲ δρᾶμα τοῦτο Καλλίμαχος ἐπιγράφει Εὔνοῦχον. λέγει δὲ οὕτως Πιεῖν δὲ ἄνδρ' ἕτερον ἢ τῶν Ῥοδιακῶν ἢ τῶν ῥυτῶν.* Pleniora haec paullo inferius ubi de *ῥυτῷ* poculo disserit: *Δίφιλος δ' ἐν Εὐνούχῳ ἢ Στρατιώτῃ, ἔστι δὲ τὸ δρᾶμα διασκευὴ τοῦ Διρησιτείχους· Ἔσθ' ὑποχέασθαι πλείονας· πιεῖν γέ τι ἄδρότερον κτλ.* Dindorfius *πιεῖν δὲ δεῖ ἄδρότερον.* Sufficit fortasse *πιεῖν τ' ἔτι.* Idem *ὑποχέασθαι* pro librorum lectione *ὑποσχέσθαι.* Vs. 2 nescio an *ἐκ τῶν* pro *ἢ τῶν* scribendum sit. Pro *Ῥοδιακῶν* Schweighaeuserus in prima huius fabulae editione *Ῥοδιάδων* scriptum fuisse suspicatur, cui favet quodammodo Photius, *Ῥοδιακὸν καὶ Ῥοδιάς: εἶδος ἐκπώματος. οὕτως Δίφιλος.*

II (4, 377) 6

Ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.

Athenaeus XV p. 700 e: *πανὸς δ' ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ συνδεδεμένον· τούτῳ δ' ἐχρῶντο λαμπάδι. Μένανδρος Ἀνεψιοῖς* (Fragm. 64 p. 879) *Δίφιλος Στρατιώτῃ Ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.*

III—V (4, 378) 7—9

Antiatticista p. 95 17. *Ἐκφυγγάνω: Δίφιλος Εὐνούχῳ.* Idem p. 100 31. *Κάθου: Ἄλεξις Ταραντίνοις, Δίφιλος Εὐνούχῳ.* Idem p. 101 29. *Κλεῖν ἀξιοῦσι λέγειν, οὐ κλεῖδα.*

Δίφιλος Εὐνούχῳ. Fortasse igitur Diphili sunt quae tacito auctoris nomine affert Herodianus Hermanni p. 441: *ὁ δ' ἀγοράζει κλεῖδ' ἔχων.*

ΑΜΑΣΤΡΙΣ

10 (4, 378)

Suidas s. v. *Ἀθηναίας: πλὴν πολλή γε ἡ χρῆσις τῆς φωνῆς* (*Ἀθηναία* pro *Ἀττικὴ*) *ἐπὶ τῶν γυναικῶν παρὰ τοῖς ἀρχαίοις, ὡς οἵ τε προειρημένοι ποιηταὶ μαρτυροῦσι καὶ Δίφιλος ἐν Ἀμάστριδι· καὶ γὰρ καὶ τὴν Θεμιστοκλέους θυγατέρα Ἀθηναίαν ξένην φησίν.*

ΑΝΑΓΥΡΟΣ

11 (4, 379)

Schol. Ven. ad Iliad. *ί* 122: *εἰ γὰρ περὶ τοῦ ταλάντου τῶν Ἑλλήνων ἐστί, βραχύ τι τὸ τάλαντον τοῦ χρυσίου ἦν παρ' αὐτοῖς, ὡς καὶ Δίφιλος ἐν Ἀναγύρῳ "βραχύ τί ἐστι τάλαντον" φησίν.* In his pro *τί ἐστι* D habet *τι τό.* Eadem leguntur apud Etymol. M. p. 744 48, nisi quod pro *Ἀναγύρῳ* vitiose exhibet *Ἀργύρῳ* ut D. Peius etiam Eustathius ad Hom. p. 740 20: *Δίφιλος δέ πού φησιν ἀργυρίου βραχύ τι τάλαντον.*

ΑΝΑΣΩΙΖΟΜΕΝΟΙ

12 I (4, 379)

Λάγυνον ἔχω κενόν, ὦ γραῦ, θύλακον δὲ μεστόν.

Athenaeus XI p. 499 c: *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος μὲν ἐν Ἑκάτῃ — Δίφιλος ἐν Ἀνασῳζομένοις Λάγυνον ἔχω κτλ.* Cfr. Gaisfordus ad Hephaest. p. 341.

13 II (4, 380)

Antiatticista p. 84 25. *Βρώσιμον: βρωτόν. Δίφιλος Ἀνασωζομένῳ.*

ΑΠΛΗΣΤΟΣ

14 (4, 380)

Ἤκει φερόμεν' αὐτόματα πάντα τἀγαθά,
ῥάφανος λιπαρά, σπλαγχνίδια πολλά, σαρκία
ἁπαλώτατ', οὐδὲν μὰ Δία τοῖς ἐμοῖς βλίτοις
ὅμοια πράγματ', οὐδὲ ταῖς
θλασταῖς ἐλάαις.

Athenaeus IX p. 370 e: *Ἀντιφάνης δ' ἐν Παρασίτῳ ὡς εὐτελοῦς βρώματος τῆς κράμβης μέμνηται ἐν τούτοις. — Δίφιλος δ' ἐν Ἀπλήστῳ Ἤκει φερόμεν' κτλ.* Vs. 2 *σαρκία*

Schweighaeuserus pro *σαρκίδια*. Vs. 3 *βλίτοις* Schweighaeuserus; libri *καὶ τοῖς*.

Α Π Ο Β Α Τ Η Σ

I II (4, 381) 15. 16

Harpocratio p. 41 2: *ὅτι δὲ εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ.* Libri fere *ἐνίοτε δὲ φίλον* (*δὲ δίφιλον* FO) *τὸν ἀποβάτην.* Correxit Maussacus. Antiatticista p. 101 10. *Κραυγασμός: ἀντὶ τοῦ κραυγή. Δίφιλος Ἀποβάτῃ.* V. Lobeckium ad Phryn. p. 337.

Α Π Ο Λ Ι Π Ο Υ Σ Α

I (4, 381) 17

Πόσοι τὸ πλῆθός εἰσιν οἱ κεκλημένοι
εἰς τοὺς γάμους, βέλτιστε, καὶ πότερ' Ἀττικοί
ἅπαντες, ἢ κἀκ τοὐμπορίου τινές; Β. τί δαί
τοῦτ' ἔστι πρὸς σὲ τὸν μάγειρον; Α. τῆς τέχνης
ἡγεμονία τίς ἐστιν αὐτῆς, ὦ πάτερ,
τὸ τῶν ἐδομένων τὰ στόματα προειδέναι.
οἷον Ῥοδίους κέκληκας· εἰσιοῦσι δός
εὐθὺς ἀπὸ θερμοῦ τὴν μεγάλην αὐτοῖς σπάσαι,
ἀποζέσας σίλουρον ἢ λεβίαν, ἐφ' ᾧ
χαριεῖ πολὺ μᾶλλον ἢ μυρίνην προσεγχέας.
Β. ἀστεῖον ὁ σιλουρισμός. Α. ἂν Βυζαντίους,
ἀψινθίῳ σπόδησον ὅσα γ' ἂν παρατιθῇς,
κάθαλα ποιήσας πάντα κἀσκοροδισμένα.
διὰ γὰρ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἰχθύων
πάντες βλιχανώδεις εἰσὶ καὶ μεστοὶ λάπης.

Athenaeus IV p. 132 c: *Δίφιλος δ' ἐν Ἀπολιπούσῃ μάγειρόν τινα παράγων ποιεῖ τάδε λέγοντα Πόσοι τὸ πλῆθος κτλ.* Vs. 3 *τοὐμπορίου* Schweigh. *τοῦ ἐμπορείου* AB. Vs. 4 Dobraeus *πρὸς σέ; Β. τοῦ μαγείρου,* et vs. 5 *αὐτηί, πάτερ.* Meo iudicio nihil novandum est nisi vs. 5 *ἐστι ταύτης* pro *ἐστιν αὐτῆς.* Vs. 8 *εὐθὺς* (*αὐτοῖς* add. B) *ἀπὸ θερμοῦ post caldae sorbitionem.* Ad *τὴν μεγάλην* subintellego *κύλικα.* Vs. 12 *σπόδησον* Dindorfius pro vulgato *φοΐῳ δεῦσον. σφοίῃ* AB *σφοΐῳ* PVL *δεῦσον* VL *δεῖξον* ACP *σφι δεῦσον* cum Casaubono Schweighaeuserus. Vs. 13 *ποιήσας* scripsi pro edito *ποίησαι. ποιῆσαι* ABP *ποίησον* CL et Eustathius ad Iliad. p. 749 1: *ὅτι δὲ ὥσπερ ἁλίπαστον ἐκ τοῦ ἁλός, οὕτω καὶ κάθαλόν τι λέγεται, δηλοῖ ὁ γράψας τὸ κάθαλα ποίησον πάντα καὶ ἐσκοροδισμένα.* Vs. 15 *βλιχώδεις* Casaubonus, allato Erotiano gloss. Hippocr.

p. 104: *βλιχῶδες: Ἐπικλῆς φησι τὸ λελιπασμένον μετὰ γλοιώδους ὑγρασίας ἀκαθάρτου.* Idem haud dubie significat *βλιχανῶδες*. Tum *λάπης* pro *λαπῆς* (A *λαπης*) Schweighaeuserus.

18 II (4, 383)

Ἔστιν ἔνδον ὄξος ὀξύ σοι;
Β. ὑπολαμβάνω, παιδάριον, ὀπὸν εἰλήφαμεν.
ἄριστα τούτοις πάντα πιέσω καὶ πυκνά.
ἢ φυλλὰς ἢ δριμεῖα περιοισθήσεται·
τῶν πρεσβυτέρων γὰρ ταῦτα τῶν ἡδυσμάτων
ἀναστομοῖ τάχιστα τἀσθητήρια,
τό τε νωκαρῶδες καὶ κατημβλυωμένον
ἐσκέδασε κἀποίησεν ἡδέως φαγεῖν.

Athenaeus IV p. 133 f de condimentis agens, quibus ciborum sapor acuitur: *Δίφιλος δ' ἢ Σώσιππος ἐν Ἀπολιποίνῃ Ἔστιν κτλ.* Vs. 1 *ἔνδον ὄξος* Porsonus. *ἔνδο ξος* A. Celeri *ἐν δ' ὄξος*. Vs. 4 ante Scaligerum *ἢ φυλὰς ἢ*. Ibid. *περιοισθήσεται* APL *περιισθήσεται* V *περισεισθήσεται* Scaliger. Vs. 6 *τἀσθητήρια* pro *ταἰσθητήρια* Dindorfius.

19 III (4, 384)

Εἶτα μαλακὸν ὦ δύστην' ἔχεις,
σκευάριον, ἐκπωμάτιον, ἀργυρίδιον·
οὐκ ἐκδραμεῖ λαβὼν τόδε καὶ δώσεις ἐμοί
παρακαταθήκην;

Pollux X 12: *ἐκαλεῖτο δὲ ταῦτα* (domesticam supellectilem dicit) *ὑπὸ τῶν νεωτέρων καὶ μαλακά, ὥσπερ εὐμεταχείριστα — καὶ Δίφιλος ἐν Ἀπολιποίσῃ Εἶτα μαλακὸν ὦ δύστην' ἔχεις, σκευάριον, ἐκπωμάτιον, ἀργυρίδιον, ἐκδράμει λαβὼν τόδε δώσεις ἐμοὶ παρακαταθήκην.* Ita Aldus. Vs. 1 *μαλάκ' ὦ* Bekkerus, et vs. 2 *ἀργυρίδιον;* Vs. 3 *οὐκ ἐκδραμεῖ* et *τόδε καὶ* Bentleius; nisi malis *τοδὶ* (Bekkerus *ταδί,*) *δώσεις τ' ἐμοί* cum Hanovio Exerc. crit. p. 140.

B A Λ A N E I O N

20 I (4, 384)

Ἔγχεον μεστήν· τὸ θνητὸν περικάλυπτε τῷ θεῷ·
πῖθι. ταῦτα γὰρ παρ' ἡμῶν Διὸς ἑταιρείου, πάτερ.

Athenaeus X p. 446 d de usu imperativi *πῖθι* disserens: *καὶ Δίφιλος ἐν Βαλανείῳ Ἔγχεον κτλ.* Vs. 1 ante Grotium *ἔχεον*. Vs. 2 *παρ'* addidit Iacobsius. Pro *ἡμῶν* forsan *ἡμῖν*.

II (4, 385)

Antiatticista p. 108 32. *Μναδάρια*: *ὑποκοριστικῶς τὰς μνᾶς. Δίφιλος Βαλανείῳ.*

B O I Ω T I O Σ

(4, 385)

Οἷος ἐσθίειν πρὸ ἡμέρας
ἀρξάμενος ἢ πάλιν πρὸς ἡμέραν.

Athenaeus X p. 417 e de Boeotiorum voracitate agens: *Δίφιλος δ' ἐν Βοιωτίῳ Οἷος ἐσθίειν κτλ.*

Γ Α Μ Ο Σ

I (4, 385)

Ὁ γὰρ κόλαξ
καὶ στρατηγὸν καὶ δυνάστην καὶ φίλους καὶ τὰς πόλεις
ἀνατρέπει λόγῳ κακούργῳ μικρὸν ἡδύνας χρόνον.
νῦν δὲ καὶ κακεξία τις ὑποδέδυκε τοὺς ὄχλους·
αἱ κρίσεις θ' ἡμῶν νοσοῦσι, καὶ τὸ πρὸς χάριν πολύ.

Athenaeus VI p. 254 e: *Δίφιλος δ' ἐν Γάμῳ φησίν Ὁ γὰρ κόλαξ κτλ.* Vs. 2 Dobraeus *καὶ δυνάστην καὶ τύραννον καὶ πόλιν.* In C praeterea *τοὺς* ante *φίλους.* Vs. 4 *ὑποδέδυκε* L *ὑπέδοικε* superscripto *υ* P *ὑποδέδωκε* C *ὑποδέδρικε* V.

II (4, 386)

Στίλπωνός ἐστι βύσμαθ' ὁ Χαρίνου λόγος.

Diogenes Laert. II 120: *ἐσκώφθη δὲ* (Stilpo) *ὑπὸ Διφίλου τοῦ κωμικοῦ ἐν δράματι Γάμῳ Στίλπωνος κτλ.* Charinus personae nomen erat in fabula Diphili.

Δ Α Ν Α Ι Δ Ε Σ

(4, 386)

Erotianus gloss. Hippocr. p. 114. *Γαργαλισμός*: *γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιουσῶν* (leg. *πασχητιωσῶν*) *γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ καὶ Δίφιλος ἐν Δαναΐσι.*

Δ Ι Α Μ Α Ρ Τ Α Ν Ο Υ Σ Α

(4, 387)

Ἄρτους σποδίτας κρησερίτας περιφέρειν.

Athenaeus III p. 111 e: *μνημονεύει δ' αὐτοῦ* (*ἄρτου σποδίτου*) *καὶ Δίφιλος ἐν Διαμαρτανούσῃ οὕτως Ἄρτους κτλ.* Cod. B *διαμανθανούσῃ.* In Diphili versu A *κρησειρίτας.* Correxit Schweighaeuserus.

Ε Γ Κ Α Λ Λ Ο Υ Ν Τ Ε Σ

27 (4, 387)

Antiatticista p. 110 18. *Ὁλοσχερῶς: Δίφιλος Ἐγκαλοῦσιν.*

Ε Κ Α Τ Η

28. 29 I II (4, 387)

Athenaeus XIV p. 645 a: *μνημονεύει δ' αὐτοῦ (ἀμφιφῶντος) καὶ Δίφιλος ἐν Ἑκάτῃ.* Pollux X 72: *λάγυνος καὶ λαγύνιον. Δίφιλος δ' ἄμφω λέγει, τὸ μὲν ἐν τῇ Ἑκάτῃ πολλάκις, τὸ δὲ λαγύνιον ἐν Ἀδελφοῖς.* Athenaeus XI p. 499 b: *λάγυνον* ex Nicostrati *Ἑκάτῃ* affert. Vide huius fragmenta p. 635.

Ε Λ Ε Ν Η Φ Ο Ρ Ο Υ Ν Τ Ε Σ

30 (4, 388)

Ὦ τόνδ' ἐποπτεύουσα καὶ κεκτημένη
Βραυρῶνος ἱεροῦ θεοφιλέστατον τόπον,
Λητοῦς Διός τε τοξόδαμνε παρθένε,
ὡς οἱ τραγῳδοί φασιν, οἷς ἐξουσία
ἔστιν λέγειν ἅπαντα καὶ ποιεῖν μόνοις.

Athenaeus VI p. 223 a de tragicorum prae comicis poetis commodis agens: *Δίφιλος δ' ἐν Ἑλενηφοροῦσιν (— φορούσῃ?) Ὦ τόνδ' ἐποπτεύουσα κτλ.*

Ε Λ Λ Ε Β Ο Ρ Ι Ζ Ο Μ Ε Ν Ο Ι

31 (4, 388)

Antiatticista p. 100 12. *Ἰτητέον: ἀντὶ τοῦ ἰτέον. Δίφιλος Ἑλλεβοριζομένοις.* Ad hanc fabulam fortasse referendum est Fragm. inc. III.

Ε Μ Π Ο Ρ Ο Σ

32 I (4, 388. 389)

Νόμιμον τοῦτ' ἐστί, βέλτιστ', ἐνθάδε
Κορινθίοισιν, ἄν τιν' ὀψωνοῦντ' ἀεί
λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνειν πόθεν
ζῇ καὶ τί ποιῶν· κἂν μὲν οὐσίαν ἔχῃ,
ἧς αἱ πρόσοδοι λύουσι τἀναλώματα,
ἐᾶν ἀπολαύειν τοῦτον ἤδη τὸν βίον.
ἐὰν δ' ὑπὲρ τὴν οὐσίαν δαπανῶν τύχῃ,
ἀπεῖπον αὐτῷ τοῦτο μὴ ποιεῖν ἔτι,
ὃς ἂν δὲ μὴ πίθητ' ἐπέβαλον ζημίαν.
ἐὰν δὲ μηδ' ὁτιοῦν ἔχων ζῇ πολυτελῶς,
τῷ δημίῳ παρέδωκαν αὐτόν. B. *Ἡράκλεις.*
A. οὐκ ἐνδέχεται γὰρ ζῆν ἄνευ κακοῦ τινος

τοῦτον· συνίης; ἀλλ' ἀναγκαίως ἔχει
ἢ λωποδυτεῖν τὰς νύκτας ἢ τοιχωρυχεῖν,
ἢ τῶν ποιούντων ταῦτα κοινωνεῖν τισιν,
ἢ συκοφαντεῖν κατ' ἀγοράν, ἢ μαρτυρεῖν
ψευδῆ. τὸ τοιοῦτον ἐκκαθαίρομεν γένος.
B. ὀρθῶς γε νὴ Δί'. ἀλλὰ δὴ τί τοῦτ' ἐμοί;
A. ὁρῶμεν ὀψωνοῦνθ' ἑκάστης ἡμέρας
οὐχὶ μετρίως βέλτιστέ σ', ἀλλ' ὑπερηφάνως.
οὐκ ἔστιν ἰχθυηρὸν ὑπὸ σοῦ μεταλαβεῖν.
συνῆχας ἡμῶν εἰς τὰ λάχανα τὴν πόλιν.
περὶ τῶν σελίνων μαχόμεθ' ὥσπερ Ἰσθμίοις.
λαγώς τις εἰσελήλυθ', εὐθὺς ἥρπακας.
πέρδικα δ' ἢ κίχλην γε νὴ Δί' οὐκ ἔτι
ἔστιν δι' ὑμᾶς οὐδὲ πετομένην ἰδεῖν.
τὸν ξενικὸν οἶνον ἐπιτετίμηκας πολύ.

Athenaeus VI p. 227 e: *Δίφιλος δ' ἐν Ἐμπόρῳ καὶ νόμον εἶναί φησι παρὰ Κορινθίοις τινὰ τοιοῦτον Νόμιμον τοῦτ' κτλ.* **Vs. 2** *Κορινθίοισιν* **Casaubonus pro** *Κορινθίοις ἵν'*. **Ib.** *ἄν* **pro** *ἐὰν* **Dindorfius. Vs. 6** *τοῦτον ἤδη* **pro** *ἤδη τοῦτον* **Casaubonus. Hemsterhusius** *νὴ Δία τοῦτον*. **Ibidem pro** *ἀπολαύειν* **Iacobsius** *ἀπολάπτειν*. **Vs. 9** *ὃς ἂν δὲ* **L** *ὃς δ' ἂν δὲ* **BPV. Ib.** *πείθητ'* **L** *πείθηται* **BCP** *πείθηταί τ'* **V** *πίθηται* **A, unde Schweighaeuserus** *πίθητ'*. **Tum** *ἐπέβαλον* **L** *ἐπέβαλλον* **BPV. Vs. 13** *συνίης* **VL** *συνιεῖς* **AP** *συνιεὶς* **B. Vs. 17** *τὸ τοιοῦτον* **ABP** *τοιοῦτον* **V** *τοιούτων* **L. Vs. 22** *συνῆχας* **ante Schweighaeuserum.** *τι*, **quod post illud habent ABP, omittunt VL. Vs. 25. Cfr. Varro Sat. 86 11** ***propter phagones ficedulam pinguem aut turdam nisi volantem non video.***

II (4, 390) 33

Οὐ πώποτ' ἰχθῦς οἶδα τιμιωτέρους
ἰδών. Πόσειδον, εἰ δεκάτην ἐλάμβανες
αὐτῶν ἀπὸ τῆς τιμῆς ἑκάστης ἡμέρας,
πολὺ τῶν θεῶν ἂν ἦσθα πλουσιώτερος.
ὅμως δὲ τούτων εἴ με προσγελάσειέ τις,
ἐδίδουν στενάξας ὁπόσον αἰτήσειέ με.
γόγγρον μέν, ὥσπερ ὁ Πρίαμος τὸν Ἕκτορα,
ὅσον εἵλκυσεν, τοσοῦτο καταθεὶς ἐπριάμην.

Athenaeus VI p. 226 e: *οὐκ ἀπιθάνως δὲ καὶ Δίφιλος* (**B** *φίλος*) *ἐν Ἐμπόρῳ περὶ τοῦ παμπόλλου πιπράσκεσθαι τοὺς ἰχθῦς λέγει ὧδε Οὐ πώποτ' ἰχθῦς κτλ.* **Vs. 2 et 3** *ἐλάμ-*

βανες αὐτῶν Grotius. Libri *αὐτῶν ἐλάμβανες*. Vs. 4 *πλουσιώτατος* ex mea emendatione edidit Dindorfius. Vs. 5 *εἴ με* Grotius pro librorum lectione *εἰ μὴ* vel *εἴ μοι*. Vs. 8 *τοσοῦτον* ante Grotium.

34 III (4, 391)

Πουλύπους
ἔχων ἁπάσας ὁλομελεῖς τὰς πλεκτάνας·
οὐ περιβεβρωκὼς αὐτόν ἐστι, φίλτατε.

Athenaeus VII p. 316 f: *καὶ Δίφιλος ἐν Ἐμπόρῳ Πουλύπους ἔχων κτλ.* Vs. 3 ἑαυτὸν ante Schweighaeuserum.

35 IV (4, 391)

Τὴν νύκτ' ἐκείνην διεκαραδοκήσαμεν.

Etymol. M. p. 490 40: *Τιμαχίδας δέ φησιν ὅτι σύνθετόν ἐστι (τὸ καραδοκεῖν), παρὰ τὸ κάτω κάρα ἐπιφέρειν τὸ καραδοκεῖν. παρατίθεται δ' ἐνάλοις (ἐν ἄλλοις) Δίφιλον λέγοντα ἐν Ἐμπόρῳ Τὴν νύκτ' ἐκείνην διεκαρανόμηνεν.* Ita enim supplenda haec sunt ex cod. Barocc. apud Bekk. An. p. 1445. Diphilea Suidas s. v. *καραδοκεῖ* ita scripta habet *Τὴν νύκτα ἐκείνην διεκαρανόμησεν*, Etym. Par. apud Cramer. A. Par. IV p. 25 *τὴν νύκτ' ἐκείνην δι' ἐκείνην διεκαρανομηνεν*. Cfr. eiusdem A. O. II p. 455. Correxit Toupius. Quamquam possis etiam *διεκαραδόκησεν*, ut sint tetrametri reliquiae duobus pedibus minoris.

36 V (4, 391)

Harpocratio p. 130 22: *Ναύκληρος — καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς — καὶ Δίφιλος Ἐμπόρῳ.*

E N A Γ I Σ M A T A

37 I (4, 391. 392)

Εἰ μὴ συνήθης Φαιδίμῳ γ' ἐτύγχανεν
ὁ Χαβρίου Κτήσιππος, εἰσηγησάμην
νόμον τιν' οὐκ ἄχρηστον, ὡς ἐμοὶ δοκεῖ,
ὥστ' ἐπιτελεσθῆναί ποτ' αὐτῷ τοῦ πατρὸς
τὸ μνῆμα, κατ' ἐνιαυτὸν ἕνα λίθον
ἁμαξιαῖον· καὶ σφόδρ' εὐτελὲς λέγω.

Athenaeus IV p. 165 f: *καὶ Κτήσιππος δ' ὁ Χαβρίου υἱὸς εἰς τοσοῦτον ἦλθεν ἀσωτίας, ὡς καὶ τοῦ μνήματος τοῦ πατρός, εἰς ὃ οἱ Ἀθηναῖοι χιλίας ἀνάλωσαν δραχμάς, τοὺς λίθους πωλῆσαι εἰς τὰς ἡδυπαθείας. Δίφιλος γοῦν ἐν τοῖς Ἐναγίζουσί φησιν Εἰ μὴ συνήθης κτλ.* Vs. 1 *Φαίδιμ' ὢν*

ἐτύγχανεν Dobraeus et vs. 2 *υἱὸς Χαβρίου*. Hermannus vs. 1 nihil mutans ante *ὁ Χαβρίου* addebat *ὤν*. Vs. 5 Iacobsius et Erfurdtus *ἕνα φαγεῖν λίθον*, ut unum quotannis lapidem nec plures vendendi venia Ctesippo concedatur. Ita quo pacto monumentum Chabriae *ἐπιτελεσθῆναι* dici possit, non perspicio. Ex v. 6 *καὶ σφόδρ' εὐτελὲς λέγω* apparet, potius contrariae significationis verbum requiri, e. c. *φέρειν* vel *θεῖναι*. Quamquam ne sic quidem quid acrimoniae iocus habeat perspicitur.

II (4, 392) 38

Schol. Ald. Aristoph. Equ. 964. *ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου: ψωλὸς ὁ λειπόδερμος ὀξυτόνως. καὶ ἀκρόψωλος ὁ ἐπιβραχὺ τοιοῦτος. ἢ ὁ ἀσχήμων κατὰ παρέκτασιν τοῦ μορίου. ἐνταῦθα δ' ἰδίως ἐπὶ τῶν μέχρι πολλοῦ διεσκυλμένων. παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι παραπεποίηται ἄχρι τοῦ λάρυγγος.* Photius Lex. p. 657 9: *ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ διελκυσμένων· παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι παραπεποίηται ἄχρι τοῦ λάρυγγος.* Eadem Suidas s. *ψωλὸν γενέσθαι*. Itaque, nisi *λάρυγγος* corruptum est, Diphilus dixisse videtur:

ψωλὸν γενέσθαι δεῖ σε μέχρι λάρυγγος,

ut sint tetrametri reliquiae. Id vero quo sensu posuerit obscurum est.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

(4, 393) 39

Ὁ δὲ κανδύταλις
οἶτος τί δύναται, καὶ τί ἔστιν; Β. ὥσπερ εἰ
εἴποις ἀορτάς.

Pollux X 137: *ὠνόμασται δὲ τῷ κιβωτίῳ παραπλήσιόν τι σκεῦος κανδύταλις, οὗ μέμνηται καὶ Μένανδρος ἐν Ἀσπίδι καὶ Δίφιλος ἐν Ἐπιδικαζομένῳ Ὁ δὲ κανδύταλις — ἀορτάς. ἐμοὶ μὲν οὖν δοκεῖ τὸ σκεῦος Περσικὸν ἀπὸ τοῦ κάνδυος κληθέν, εἰς χρῆσιν δ' αὐτὸ ἤγαγον Μακεδόνες.* Vs 2 et 3 vulgo *ὥσπερ ἂν εἴποις*. Libri *ὥσπερ εἴποις*. Hinc scripsi *ὥσπερ εἰ εἴποις*.

ΕΠΙΤΡΟΠΕΥΣ

(4, 393) 40

Antiatticista p. 96 31. *Ἐξιδιάσασθαι: Δίφιλος Ἐπιτροπεῖ.*

ΕΠΙΚΛΗΡΟΣ

41 (4, 393)

Pollux X 99: *ὅταν δὲ Δίφιλος ἐν Ἐπικλήρῳ λέγῃ Χύτρον μέγαν παρὰ τοῦ μαγείρου, δῆλον ὅτι τὴν χύτραν λέγει, ἀλλ' οὐ τὸν χυτρόποδα.*

ΕΥΝΟΥΧΟΣ

Vide fragmenta *Αἱρησιτείχους*.

ΖΩΓΡΑΦΟΣ

I (4, 394)

42

Ἄριστον ἐπεχόρευσεν ἐκλελεγμένον,
εἴ τι νέον ἢ ποθεινόν· ὀστρέων γένη
παντοδαπά, λοπάδων παρατεταγμένη φάλαγξ
ὀπτῶν ἐπῆγε σωρὸν ἀπὸ τοῦ τηγάνου,
τριμμάτια τούτοις ἐν θυείαις ἀργυραῖς.

Athenaeus VI p. 230 f: *Δίφιλος δ' ἐν Ζωγράφῳ Ἄριστον κτλ.* Vs. 2 malim *ὀστρείων*. Vs. 4 libri *σωρός*, quod correxi. Vs. 5 *θυΐαις* ABP.

II (4, 394. 395)

43

Οὐ μὴ παραλάβω σ' οὐδαμοῦ, Δράκων, ἐγώ
ἐπ' ἔργον οὗ μὴ διατελεῖς τὴν ἡμέραν
τραπεζοποιῶν ἐν ἀγαθοῖς πολλοῖς χύδην.
οὐ γὰρ βαδίζω πρότερον ἂν μὴ δοκιμάσω
τίς ἔσθ' ὁ θύων, ἢ πόθεν συνίσταται
τὸ δεῖπνον, ἢ κέκληκεν ἀνθρώπους τίνας.
ἔστιν δ' ἁπάντων τῶν γενῶν μοι διαγραφή,
εἰς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ.
οἷον τὸ κατὰ τοὐμπόριον, εἰ βούλει, γένος.
ναύκληρος ἀποθύει τις εὐχήν, ἀποβαλών
τὸν ἱστὸν ἢ πηδάλια συντρίψας νεώς,
ἢ φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος·
ἀφῆκα τὸν τοιοῦτον· οὐδὲν ἡδέως
ποιεῖ γὰρ οὗτος, ἀλλ' ὅσον νόμου χάριν.
ὁμοῦ δὲ ταῖς σπονδαῖσι διαλογίζεται
τοῖς συμπλέουσιν ὁπόσον ἐπιβάλλει μέρος
τιθείς, τὰ θ' αὑτοῦ σπλάγχν' ἕκαστος ἐσθίει.
ἀλλ' ἕτερος εἰσπέπλευκεν ἐκ Βυζαντίου
τριταῖος, ἀπαθής, εὐπορηκώς, περιχαρής
εἰς δέκ' ἐπὶ τῇ μνᾷ γεγονέναι καὶ δώδεκα,
λαλῶν τὰ ναῦλα καὶ δάνει' ἐρυγγάνων,

ἀφροδίσι᾽ ὑπὸ κόλλοψι μαστροποῖς ποιῶν·
ὕπὸ τοῦτον ὑπέμυξ᾽ εὐθὺς ἐκβεβηκότα,
τὴν δεξιὰν ἐνέβαλον, ἐμνήσθην Διός
σωτῆρος, ἐμπέπηγα τῷ διακονεῖν.
τοιοῦτος ὁ τρόπος. μειράκιον ἐρῶν πάλιν
τὰ πατρῷα βρύκει καὶ σπαθᾷ, πορεύομαι.
ἀπὸ συμβολῶν συνάγοντα νὴ Δί᾽ ἕτερά που
ἐνέβαλεν εἰς τὸν κέραμον ἀνευρημένα,
τὰ κράσπεδ᾽ ἀποθλίβοντα καὶ κεκραγότα
"ὀψάριον ἀγοραῖον ποιεῖν τίς βούλεται;"
ἐῶ βοᾶν· πληγὰς γὰρ ἔνι προσλαμβάνειν
ἐλθόντα καὶ τὴν νύχθ᾽ ὅλην διακονεῖν.
τὸ μισθάριον γὰρ ἂν ἀπαιτῇς, ἀμίδα μοι
ἔνεγκε πρῶτον, φησίν. ὄξος ἡ φακῆ
οὐκ εἶχε. πάλιν ᾔτησας, οἰμώξει μακρά
πρῶτος μαγείρων, φησίν. ἕτερα μυρία
τοιαῦτα καταλέξαιμ᾽ ἄν. οὗ δὲ νῦν σ᾽ ἄγω,
πορνεῖόν ἐστι, πολυτελῶς Ἀδώνια
ἄγουσ᾽ ἑταίρα μεθ᾽ ἑτέρων πορνῶν χύδην.
σαυτὸν ἀποτάξεις τόν τε κόλπον ἀποτρέχων.

Athenaeus VII p. 291 f: *ὁ δὲ παρὰ Διφίλῳ ἐν τῷ Ζωγράφῳ καὶ πρὸς οὓς ἐκμισθοῦν αὐτὸν δεῖ διδάσκει λέγων οὕτως Οὐ μή κτλ.* Vs. 1 *σ᾽ οὐδαμοῦ Δράκων* Porsonus. *σοῦ θάμ᾽ οὐ δράκων* VL *σοῦ θαμοῦ* (θᾶμοῦ B) *δράκων* BP. Vs. 2 ante Porsonum *οὐ*. Vs. 4 *ἂν* pro *ἐὰν* Dindorfius. Vs. 7 *ἔστιν δ᾽* BL *ἔστιν θ᾽* PV. Vs. 11 *πηδάλια* pro *πηδάλιόν τι* Grotius. Vs. 12 *ἐξέρριψεν* ABCP. Participium qui desiderabat Toupius scripsit *ἡ φορτία γ᾽ ἐκρίψας*. Debebat certe *ἧ φορτί᾽ ἐκρίψας*. Vs. 13 *οὐδὲν* Dindorfius pro *οὐθέν*. Vs. 16 *ἐπιβαλεῖ* pro *ἐπιβάλλει* Coraes. Vs. 21 *λαλῶν* ABC *λαβὼν* PVL. Cfr. Eustathius p. 946 56: *ἄλλοι δὲ (ναῦλον) κατὰ γένος οὐδέτερον, οἷον, λαλῶν τὰ ναῦλα καὶ δάνει᾽ ἐρυγγάνων*. Vs. 22 *κόλλοψι* ABCP et epit. Hoesch. *κάλλοψι* VL. Vs. 23 Schweighaeuserus tentabat *ὑπέμιξα*, quod non magis graece dictum est. Vs. 29 *εἰς τὸν κέραμον* i. e. in eam fori partem ubi coquorum erat statio, de quo dixi Praef. Menandri p. XVII. Ibid. *ἀνευρημένα* B et libri Casauboniani, *ἐνευρημένα* P, *ἐν εὑρημένα* VL. Suspicabar *ἐπισεσυρμένα, immunda*, ut apud Diogen. Laert. I 81 *ἐπισεσυρμένον καὶ ῥυπαρόν*, vel *ἀνασεσυρμένα, impudentia, procacia*. Vs. 31 *ὀψάριον ἀγοραῖον* dicit *vile et triviale*, quale fere eorum erat qui de symbolis epulabantur. Vs. 32 *ἔνι* Iacobsius,

AB ἔστι. Vs. 39 AB Ἄδωνιν. Vs. 41 Casaubonus ἀποσάξεις *implebis.* Philemo fragm. 64: ἐξὸν ἀποσάττεσθαι δ' ὅλην τὴν ἡμέραν. Cfr. Boeckh. Corp. Inscr. I p. 289.

44 III (4, 397)

Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος·
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

Stobaeus Flor. CV 5 cum lemmate Διφίλου ἐκ Ζωγράφου. Vs. 1 Trinc. πάθους. Voss. πάθος, superscripto ultimae syllabae ους.

H P A K A H Σ

45 (4, 397)

Ἐμὲ μὲν οὖν ὁρᾷς πεπωκότα
ἤδη τ' ἀκροθώρακ' ὄντα καὶ θυμούμενον,
τονδὶ δὲ ναστόν, Ἀστίωνος μείζονα,
ἤδη σχεδὸν δωδέκατον ἠριστηκότα.

Athenaeus X p. 421 e: Δίφιλος δ' ἐν Ἡρακλεῖ περί τινος τῶν ὁμοίων (πολυφάγων) διαλεγόμενος διέξεισιν Ἐμὲ μέν κτλ. Vs. 1 libri οὐχ ὁρᾷς, quod correxi. Vs. 2 καὶ δημούμενον? an κεὐθυμούμενον? Vs. 3 libri fere τὸν δ' ἴδεν ἀστὸν et μεῖζον. Correxit Heringa.

H P Ω Σ

46 (4, 398)

Athenaeus IX p. 371 a: ἡ δὲ σευτλὶς ἕτερον τοῦ τεύτλου ἐστί. διὸ καὶ Δίφιλος ὁ κωμῳδιοποιὸς ἐν Ἥρωι δράματι ἐπιτιμᾷ τινι ὡς κακῶς λέγοντι καὶ τὰ τεῦτλα τευτλίδας καλῶν. Pro τευτλίδας, quae Casauboni lectio est, codices τευτλίνας, τοῦ ταίνας, τουταίνας. Hoc postremum fraudi fuit etiam Eustathio p. 1129 12 substantiva in αινα desinentia componenti. Pro καλῶν Casaubonus καλοῦντι. Diphili senarius fortasse fuit: κακῶς λέγεις καὶ τεῦτλα τευτλίδας καλεῖς, vel κακῶς λέγων καὶ τεῦτλα τευτλίδας καλῶν. Ceterum difficile ad credendum est, Graecos inter τεῦτλον et τευτλὶς vel σευτλὶς distinxisse; ac vereor ne Athenaeus male intellexerit Diphilum, qui notasse videtur aliquem, qui σευτλὶς vel σεῦτλον pro attico τευτλὶς vel τεῦτλον dixerat.

ΘΗΣΑΥΡΟΣ

(4, 399) 47

Ὑπολαμβάνω τὸ ψεῦδος ἐπὶ σωτηρίᾳ
λεγόμενον οὐδὲν περιποιεῖσθαι δυσχερές.

Stobaeus Flor. XII 12 cum lemmate *Διφίλου Θησαυροῦ*. Vs. 2 libri *οὐθέν*.

ΘΗΣΕΥΣ

I (4, 399) 48

Σὲ μὲν καλοῦσι ψωμοκόλαφον δραπέτην.

Athenaeus VI p. 262 a: *ψωμοκόλαφον δ' εἴρηκε Δίφιλος ἐν Θησεῖ οὕτως Σὲ μέν κτλ.*

II (4, 399) 49

Athenaeus X p. 451 b: *Δίφιλος δ' ἐν Θησεῖ τρεῖς ποτε κόρας Σαμίας φησὶν Ἀδωνίοισι γριφεύειν παρὰ πότον. προβαλεῖν δ' αὐταῖσι τὸν γρῖφον "Τί πάντων ἰσχυρότατον;" καὶ τὴν μὲν εἰπεῖν ὅτι σίδηρος, καὶ φέρειν τούτου λόγου τὴν ἀπόδειξιν, διότι τούτῳ πάντ' ὀρύσσουσίν τε καὶ τέμνουσι καὶ χρῶντ' εἰς ἅπαντα. εὐδοκιμοῦσαι δ', ἐπάγειν τὴν δευτέραν, φάσκειν τε τὸν χαλκέα πολὺ κρείττω φέρειν ἰσχύν. ἐπεὶ τοῦτον κατεργαζόμενον καὶ τὸν σίδηρον τὸν σφοδρὸν κάμπτειν, μαλάσσειν, ὅτι ἂν χρήζῃ ποιεῖν. τὴν δὲ τρίτην ἀποφῆναι πρὸς ἰσχυρότατον πάντων, διδάσκειν δ' ὅτι καὶ τὸν χαλκέα στένοντα πυγίζουσι τούτῳ.* Ita haec edidit Dindorfius, cuius totam adscribam annotationem criticam: "*φησὶν* PVL *φασὶν* AB *προβαλεῖν δ' — τὸν γρῖφον* om. C *αὐταῖσι* AB *αὐταῖς* PVL *τὰν μὲν* et *τὰν ἀπόδειξιν* CPVL *τᾶν μὲν* et *τᾶν ἀπόδειξιν* A *ὁ σίδηρος* BP *ὅτι σίδηρος* VL *ὀρύσσουσιν* ABC *ὀλύσσουσιν* P *ὀλύουσιν* V *ὀλλύουσιν* L *καὶ χρῶντ'* (*χρῶνται* P) *εἰς ἅπαντα* om. C *ἅπαντα* ABP *ἅπαντά γ'* VL *εὐδοκιμοῦσαι* AB *εὐδοκιμοῦσαν* PVL *εὐδοκιμούσας* genitivum doricum restituit Schweighaeuserus. *δ' ἐπάγειν τὰν* AB *δ' ἐπάγει τὰν* L *δὲ τὰν* PV *ἐπεὶ* VL *ἐπὶ* BP *ὅτι* ABCPV *χὤτι* L *ποιεῖν*] *ποεῖν* C *τὴν δὲ τρίτην*] Scribebatur *τὰν δὲ τρίταν*." Manifestae ubique senariorum reliquiae, quas suis modulis utcunque restituere velle, non magnus quidem, at ingratus labor est, quippe incerti eventus. Doricas formas, quibus Samias puellas usas esse non credibile est, recte expulisse videtur Dindorfius. Putabam aliquando ad hunc ipsum locum referendum esse Diphili fragm. inc. XXI: *ἰσχυρότερον κρίνω τὸ χρυσίον πολύ· τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται.*

K I Θ A P Ω I Δ O Σ

50 I (4, 400)

Ἐξανίσταμαι
τὸν ἀμφιτάπητα συστορέσας.

Pollux X 38: *δάπιδες, τάπητες, ἀμφιτάπητες. Δίφιλος γοῦν φησιν ἐν Κιθαρῳδῷ Ἐξανίσταμαι τὸν ἀμφιτάπητα συστορέσας.*

51 II (4, 400)

Λήκυθον ξύστιν τ' ἔχεις;
Β. ἐγὼ δὲ καὶ ξύστραν.

Pollux X 62: *ληκύθιον καὶ στελγίδες* (*στλεγγίδες*). *καὶ ξυστίδας δ' αὐτὰς ἄν τις εἴποι· ἔν τε γὰρ ταῖς Ἐπιχάρμου Νήσοις εὕρηται τοὔνομα, καὶ Δίφιλός που ἐν Κιθαρῳδῷ ἀνδρί που εἴρηκεν Λήκυθον ξύστιν ἔχεις, ἐγὼ δὲ καὶ ξύστραν.* In verbis *ἀνδρί που* quid lateat nescio; *που* unus cod. omittit. Tum post *ξύστιν* addidi *τ'*.

Λ H M N I A I

52 (4, 401)

Οὗτοι δεδειπνήκασιν· ὁ δὲ τάλας ἐγώ
κεστρεὺς ἂν εἴην ἕνεκα νηστείας ἄκρας.

Athenaeus VII p. 307f: *Δίφιλός φησιν ἐν Λημνίαις Οὗτοι δεδειπνήκασιν κτλ.* Hinc sumpsit Eustathius p. 1178 5. Cfr. Athenaeus IV p. 156b: *ἐγὼ δ' ὁ τάλας, κατὰ τὸν κωμῳδιοποιὸν Δίφιλον, κεστρεὺς ἂν εἴην κτλ.*

M A I N O M E N O Σ

53 (4, 401)

Καὶ προσέτι τοίνυν ἐσχάραν, κλίνην, κάδον,
στρώματα, σίγυνον, ἀσκοπήραν, θύλακον,
ὥστ' οὐ στρατιώτην ἄν τις ἀλλὰ καὶ κύκλον
ἐκ τῆς ἀγορᾶς ὀρθὸν βαδίζειν ὑπολάβοι.
τοσοῦτός ἐσθ' ὁ ῥῶπος ὃν σὺ περιφέρεις.

Pollux X 18: *ἵνα δ' ἐπιπράσκετο τὰ σκεύη τῆς ἀγορᾶς τὸ μέρος τοῦτο κύκλοι ὠνομάζοντο, ὡς Ἄλεξις ὑποδηλοῦν ἔοικεν — σαφέστερον δὲ ἐν τῷ Μαινομένῳ Δίφιλος Καὶ προσέτι κτλ.* Vs. 1 pro *τοίνυν* suspicabar *τύλην*. Tum *κλίνην* Hemsterhusius pro *καὶ νῦν*. Vs. 2 *σίγυνον* Bentleius. Libri *συνόν*. Hanovius *λάγυνον*. Vs. 3 *ὥστ' οὐ* pro edito *ὡς που* Piersonus Moer. p. 442.

M N H M A T I O N

(4, 402) 54

Athenaeus III p. 124d: *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησίν — Δίφιλος δ' ἐν Μνηματίῳ φησί Ψῦξον τὸν οἶνον Δῶρι.* Ex Athenaeo habet Eustathius ad Iliad. p. 866 26.

Π A I Δ E P A Σ T A I

(4, 402) 55

Ἔγχεον σὺ δὴ πιεῖν.
εὐζωρότερόν γε νὴ Δί', ὦ παῖ, δός· τὸ γάρ
ὕδαρὲς ἅπαν τοῦτ' ἔστι τῇ ψυχῇ κακόν.

Athenaeus X p. 423e de dictione *ζωρότερον πίνειν* agens: *Δίφιλος δὲ ἐν Παιδερασταῖς φησιν Ἔγχεον κτλ.* De Diphili versibus haec habet C *ἔγχεον πιεῖν εὐζωρότερον· τὸ γὰρ ὑδαρὲς — κακόν.* Quae attulit Eustathius p. 746 55. Vs. 2 *γε νη διω παῖδες* A *γενη δύω* (*δύο* P) *παῖδες* PVL. Correxit Casaubonus.

Π A Λ Λ A K H

(4, 402) 56

Βουβάλια καρπῶν παρθένου φορήματα.

Etymol. M. p. 206 16. *Βουβάλιον: κόσμος χρυσοῦς περιτιθέμενος τῷ καρπῷ. Δίφιλος ἐν Παλλακῇ Βουβάλια καρπῶν παρθένου φρονήματα.* Recte Sylb. *φορήματα.*

Π A P A Σ I T O Σ

(4, 402. 403) 57

Εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης·
"νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τέ μου
γαστήρ." ταλαιπωρότερον οὐδέν ἐστι γάρ
τῆς γαστρός, εἰς ἣν πρῶτον ἐμβαλεῖς . .
ἀλλ' οὐχ ἕτερον ἀγγεῖον. ἐν πήρᾳ φέροις
ἄρτους ἄν, ἀλλ' οὐ ζωμόν, ἢ διαφθερεῖς.
εἰς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν,
οἰνάριον εἰς λάγυνον, ἀλλ' οὐ κάραβον.
εἰς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφόρει
τὰ πάνθ' ἑαυτοῖς μηδὲν ὁμολογούμενα.
κοὐ προστίθημι τἄλλα, διότι πανταχοῦ
διὰ τὴν τάλαιναν πάντα ταύτην γίνεται.

Athenaeus X p. 422b de ventris vi disserens: *Δίφιλος δ' ἐν Παρασίτῳ Εὖ γ' ὁ κατάχρυσος κτλ.* Sunt haud dubie ipsius

parasiti verba. Vs. 1 respicit Eustathius ad Hom. p. 1205 20. Vs. 2 *ἡ ταλαίπωρός τέ μου*. Pro his in Euripidis loco apud Matthiae Fragm. inc. trag. CLIX p. 405 legitur *ἡ κακῶς τ' ὀλουμένη*. Itaque aut memoriter citavit Diphilus aut aliam quam Clemens, qui illud fragmentum servavit, lectionem sequutus est. Secundus Euripidei fragmenti versus hic est: *γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά*. Vs. 3 *οὐδέν ἐστι γὰρ* VL *γὰρ οὐδέν ἐστι* ABCP. Vs. 4 *εἰς ἣν πρῶτον ἐμβαλεῖς*. Ita optimi libri ABP, neque aliter C, nisi quod pro *πρῶτον* habet *πάντ' ἄν*. VL *εἰς ἣν πρῶτον πάντ' ἂν ἐμβάλοις*. Grotius *εἰς ἣν πρῶτον ἂν πάντ' ἐμβάλοις*, quod sequuti sunt recentiores. Mihi servata librorum lectione in fine versus *ἅπαν* excidisse, *πρῶτον* autem, iubente fere sententia, in *βρωτὸν* mutandum videtur. Vs. 5 malim *ἀλλ' οὐχ ἕτερον εἰς ἄγγος*, vel cum Schweighaeusero *ἀλλ' οὐκ ἐς ἕτερον ἄγγος*. Vs. 9 pro *εἰσφόρει* Grotius *εἰσφορεῖς*, quod nec ipsum satis facit. Accedit quod vs. 10 *τὰ* abest ab ABCP, pro *πάνθ'* autem *πάντα* scriptum habent ACP. Itaque legendum videtur *εἰσφορεῖν | πάντ' ἔσθ' ἑαυτοῖς μηδὲν ὁμολογούμενα*. Vs. 12 *ταύτην* C, *ταῦτα* PVL.

58 II (4, 404)

Ὅταν με καλέσῃ πλούσιος δεῖπνον ποιῶν,
οὐ κατανοῶ τὰ τρίγλυφ' οὐδὲ τὰς στέγας,
οὐδὲ δοκιμάζω τοὺς Κορινθίους κάδους,
ἀτενὲς δὲ τηρῶ τοῦ μαγείρου τὸν καπνόν.
κἂν μὲν σφοδρὸς φερόμενος εἰς ὀρθὸν τρέχῃ,
γέγηθα καὶ χαίρω τι καὶ πτερύττομαι·
ἂν δὲ πλάγιος καὶ λεπτός, εὐθέως νοῶ
ὅτι τοῦτό μοι τὸ δεῖπνον ἀλλ' οὐδ' αἷμ' ἔχει.

Athenaeus VI p. 236b: *καὶ ἄλλα δὲ τοιαῦτα ἐπιλέγει ὁ τοῦ Ἐπιχάρμου παράσιτος. ὁ δὲ παρὰ τῷ Διφίλῳ τάδε φησίν Ὅταν κτλ.* Vs. 5 *σφοδρῶς* C. Vs. 6 ante Dindorfium *πτερύσσομαι*. Vs. 7 *ἂν* Grotius pro *ἐάν*.

59 III (4, 405)

Ἀγνοεῖς ἐν ταῖς ἀραῖς
ὅ τι ἐστίν, εἴ τις μὴ φράσει ὀρθῶς ὁδόν,
ἢ πῦρ ἐναύσει, ἢ διαφθείρει ὕδωρ,
ἢ δειπνιεῖν μέλλοντα κωλύσαι τινά;

Athenaeus VI p. 238f: *Δίφιλος δ' ἐν Παρασίτῳ μελλόντων γίνεσθαι γάμων τὸν παράσιτον ποιεῖ λέγοντα τάδε Ἀγνοεῖς*

κτλ. Vs. 4 *δειπνιεῖν* et *κωλύσαι* Erfurdtus et Porsonus. Libri *δειπνεῖν* et *κωλύσει* vel *κωλύσῃ*.

IV (4, 406) 60

Οὐ δεῖ παρασιτεῖν ὄντα δυσάρεστον σφόδρα.

Athenaeus VI p. 247 d: *περὶ ὀργιζομένου παρασίτου λέγων* (Diphilus) *φησί — κἀν τῷ δὲ ἐπιγραφομένῳ Παρασίτῳ δράματί φησιν Οὐ δεῖ κτλ. δυσάρεστον* C in textu. *δυσάριστον* ABP et inter versus C. *δυσάρεσκον* VL.

Π Ε Λ Ι Α Δ Ε Σ

(4, 406) 61

Τὸ δειπνάριον ἀνθηρὸν ἦν, γλαφυρὸν σφόδρα,
φακῆς κατ᾽ ἄνδρα τρύβλιον μεστὸν μέγα.
Β. πρώτιστον οὐκ ἀνθηρόν. Α. ἐπὶ ταύτῃ φέρων
εἰς τὸ μέσον ἐπεχόρευσε σαπέρδης μέγας,
ὑπό τι δυσώδης οἶτος ηρος ἀνθίαν,
*ὃν πολλὰ * * ταῖς κίχλαις ἤδη λέγει.*

Athenaeus IV p. 156 f: *ἐμοὶ δὲ κατὰ τὸν κωμικὸν Δίφιλον, φησὶ δ᾽ οἶτος ἐν Πελιάσι, τὸ δειπνάριον κτλ.* Vs. 1 *ἀνθηρὸν ἦν γλαφυρὸν* Erfurdtus. ABCP *ἦν ἀνθηρὸν γλαφυρόν*. VL *ἀνθηρὸν γλαφυρὸν ἦν*. Maiora molitur Dobraeus *τὸ δειπνάριον τἀνθηρὸν ἢ γλαφυρὸν σφόδρ᾽ ἦν. Β. φακῆς* — vel *τὸ δειπνάριον ἀνθηρόν. Β. ἢ γλαφυρὸν σφόδρα; Α. φακῆς κτλ.* Vs. 5 *οὗτος* cum sequentibus Schweigh. personae *B* assignat. Ibid. *ηρος* P *κρος* B *ἦρος* VL *ἱερὸς* Schweigh. allato Aristot. HA. IX 37. Ibid. *ἀνθίαν* VL *ἄνθιαν* P *ἄνθειαν* B *ἀνθίας* Schweigh. Vs. 6 *λέγει* ABP *λέγειν* VL. Totum versum Casaubonus ita refingebat *ὡς πολλὰ χαίρειν — λέγειν*. Schweighaeuserus *ὃς πολλὰ χαίρειν — λέγει*. Villebrunius "Je lis *houtos ar pros anthian, hos chairein — legei*, leçon du manuscrit Q."

Π Λ Ι Ν Θ Ο Φ Ο Ρ Ο Σ

(4, 421) 62

Καὶ νὴ Δί᾽ ὄντως εὐθὺς ἐξέπεμπέ με
ὄρθριον· ἐκόκκυζ᾽ ἀρτίως ἀλεκτρυών.

Eustathius ad Hom. p. 1479 46: *ὑποβάλλει δὲ τοιοῦτον νοῦν καὶ Σοφοκλῆς, φασίν, ἐν τῷ κοκκυβόας ὄρνις. ἐναργέστερον δὲ Δίφιλος ἐν τῷ Καὶ νὴ Δί᾽ ὄντως εὐθὺς ἐξέπεμπέ με ὀρθριοκόκκυξ ἀρτίως ἀλεκτρυών*. Quae correxi et ad hanc fabulam rettuli propter Antiattic. p. 101 4. *Κοκκύζειν τοὺς ἀλεκτρυόνας· Δίφιλος Πλινθοφόρῳ*.

ΠΟΛΥΠΡΑΓΜΩΝ

63 I (4, 407)

Ὤιμην ἐγὼ τοὺς ἰχθυοπώλας τὸ πρότερον
εἶναι πονηροὺς τοὺς Ἀθήνησιν μόνους.
τόδε δ', ὡς ἔοικε, τὸ γένος ὥσπερ θηρίον
ἐπίβουλόν ἐστι τῇ φύσει καὶ πανταχοῦ.
ἐνταῦθα γοῦν ἔστιν τις ὑπερηκοντικώς,
κόμην τρέφων μὲν πρῶτον ἱερὰν τοῦ θεοῦ,
ὥς φησιν· οὐ διὰ τοῦτό γ' ἀλλ' ἐστιγμένος
πρὸ τοῦ μετώπου παραπέτασμ' αὐτὴν ἔχει.
οὗτος ἀποκρίνετ', ἂν ἐρωτήσῃς πόσου
ὁ λάβραξ, δέκ' ὀβολῶν, οὐχὶ προσθεὶς ὁποδαπῶν.
ἔπειτ' ἐὰν τἀργύριον αὐτῷ καταβάλῃς,
ἐπράξατ' Αἰγιναῖον· ἂν δ' αὐτὸν δέῃ
κέρματ' ἀποδοῦναι, προσαπέδωκεν Ἀττικά.
κατ' ἀμφότερα δὲ τὴν καταλλαγὴν ἔχει.

Athenaeus VI p. 225 a de piscariis *Δίφιλος Πολυπράγμονι Ὤιμην ἐγώ κτλ.* Vs. 3 ante Schweigh. *τόδ' ὡς ἔοικε.* Vs. 7 malim *τοῦτο δ'.* Vs. 9 *ἀπεκρίνετ'* B. Vs. 10 *προσθεὶς ὁποδαπῶν* Schweighaeuserus. Vulgo *προσθεὶς σοι ποταπῶν.* AP *προσθήσοι ποδαπῶν.* Vs. 11 *ἔπειτ' ἐὰν* Porsonus. VL *ἔπειτά γ' ἄν.* ABCP *ἔπειτα ἄν.* Vs. 13 *Ἀττικὰ* Müller Aegin. p. 89. Libri *Ἀττικάς.*

64 II (4, 408)

Τί ποτ' ἐστίν; ὡς ῥαγδαῖος ἐξελήλυθεν.

Photius p. 480 20. *Ῥαγδαίους: τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους. — Δίφιλος Πολυπράγμονι Τί ποτ' ἐστίν; κτλ.*

Π Υ Ρ Ρ Α

65 (4, 408)

Δῶρον δ' ἐμαυτῇ παρὰ θεῶν εὑρημένη.

Ammonius differ. verb. p. 61: *εὑρέσθαι οἱονεὶ τὸ ἐκπορίσασθαι. Δίφιλος ἐν Πύρρᾳ Δῶρον δ' ἐμαυτῇ παρὰ θεῶν εὑρημένον.* Scaliger *εὑρημένη.*

Σ Α Π Φ Ω

66. 67 I II (4, 409)

Ἀρχίλοχε, δέξαι τήνδε τὴν μεταναιπτρίδα
μεστὴν Διὸς σωτῆρος, ἀγαθοῦ δαίμονος.

Athenaeus XI p. 487 a. *Μετάναιπτρον: ἡ μετὰ τὸ δεῖπνον, ἐπὴν ἀπονίψωνται, διδομένη κύλιξ. Ἀντιφάνης Λαμπάδι —*

Δίφιλος Σαπφοῖ Ἀρχίλοχε κτλ. Idem XIII p. 599 d: *καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώναχτα.*

ΣΙΚΕΛΙΚΟΣ

(4, 409) 68

Οἷον ἀγοράζειν πάντα, μηδὲ ἓν δ' ἔχειν,
εἰ μὴ χιχίννους ἀξίους λίτραιν δυοῖν.

Pollux IX 81: *ὅτι δὲ καὶ τῶν κωμῳδῶν τινες τῆς λίτρας μνημονεύουσιν, ἐν τοῖς περὶ στατικῆς προείρηται· οὐ γὰρ οἱ Δωριεῖς μόνον ἀλλὰ καὶ τῶν Ἀττικῶν τινες, ὡς Δίφιλος ἐν Σικελικῷ Οἷον ἀγοράζειν κτλ.* Photius, *Λίτρα ἦν μὲν καὶ νόμισμά τι, ὡς Δίφιλος.* Vide supra ad Philem. p. 836.

ΣΧΕΔΙΑ

(4, 410) 69

Θᾶττον πλέκειν κέλευε πόρκων πυκνοτέρους.

Etymol. M. p. 683 25: *καὶ Φίλων δὲ μνημονεύει τοῦ πόρκου Θᾶττον πλέκειν κέλευε τῶν πόρκων πυκνοτέρους.* MS Dorvill. *καὶ Δίφιλος ἐνσχεδῑμνημ̊ τοῦ πόρκου*, in quo fabulae titulum *Σχεδία* latere vidit Gaisfordus ad Hesiodi Theog. 709. Suidas s. v. *πόρκος: μνημονεύει δὲ καὶ Δίφιλος τοῦ πόρκου Θᾶττον πλέκειν κτλ.* Neque aliter Zonaras Lex. II p. 1562. Articulum delendum esse indicavi Praef. ad Menandrum p. IX.

ΣΥΝΤΡΟΦΟΙ

(4, 410) 70

Ἀγαθὸς βαφεὺς ἔνεστιν ἐν τῷ παιδίῳ·
ταυτὶ γὰρ ἡμῖν δευσοποιὰ παντελῶς
τὰ σπάργαν' ἀποδέδειχεν.

Harpocratio p. 55 7: *ἐκ μεταφορᾶς δὲ καὶ ἐπὶ τῶν ἄλλων πάντων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον καὶ πολυχρόνιον τὸ δευσοποιὸν λέγεται παρὰ τοῖς παλαιοῖς, ὡς καὶ Πλάτων διασαφεῖ ἐν ε Πολιτείας. Δίφιλος Συντρόφοις Ἀγαθός κτλ.* Vbi Bekkerus has lectiones e codd. enotavit: Vs. 1 *ἔστιν* I *πεδίῳ* ABI. Vs. 2 *ταύτη* ABIN. Vs. 3 *ἀποδεδείχθω* ABIN.

ΣΥΝΩΡΙΣ

I (4, 411) 71

Ἄριστ' ἀπαλλάττεις ἐπὶ τούτου τοῦ κύβου.
Β. ἀστεῖος εἶ. δραχμὴν ὑπόθες. Α. κεῖται πάλαι.
πῶς ἂν βάλοιμ' Εὐριπίδην; Β. οὐκ ἄν ποτε
Εὐριπίδης γυναῖκα σώσει'. οὐχ ὁρᾷς

ἐν ταῖς τραγῳδίαισιν αὐτὰς ὡς στυγεῖ;
τοὺς δὲ παρασίτους ἠγάπα. λέγει γέ τοι
"Ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος
μὴ τοὐλάχιστον τρεῖς ἀσυμβόλους τρέφει,
ὄλοιτο, νόστου μή ποτ' εἰς πάτραν τυχών."
Α. πόθεν ἐστὶ ταῦτα, πρὸς θεῶν; Α. τί δέ σοι μέλει;
οὐ γὰρ τὸ δρᾶμα, τὸν δὲ νοῦν σκοπούμεθα.

Athenaeus VI p. 247a: *Δίφιλος δ' ἐν Συνωρίδι, ἑταίρας δ' ὄνομα ἡ Συνωρίς, Εὐριπίδου μνησθεὶς (κύβος δέ τις οὕτως καλεῖται Εὐριπίδης) παίζων καὶ πρὸς τὸ τοῦ ποιητοῦ ὄνομα ἅμα καὶ περὶ παρασίτων τάδε λέγει Ἄριστ' ἀπαλλάττεις κτλ.* Vs. 2 *πάλαι* additum ex L. Vs. 3 *οὐκ ἄν ποτ'* ABCP *οὐκ ἂν πόποτε* V *οὐκ ἂν πώποτε* L. Vs. 4 *σώσει'* pro *σώσειεν* Porsonus. *σώσει* VL. Vs. 5 *τραγῳδίαισιν* L *τραγῳδίαις ἵν'* BPV. Vs. 7 totum ex Antiope Euripidis apud Stobaeum Flor. XXX 1 desumpsit. Vs. 9 Euripidis est ex Iphig. Taur. 535, ut indicavit Porsonus. Ibi recte legitur *τυχών*, pro quo apud Athenaeum vulgo *μόλοι*. AP *μολεῖ*. B *μολεῖν*. Valckenarius *τύχοι*. Non dubitari potest quin Euripidis versum Diphilus integrum receperit. Itaque scripsi *τυχών*, ut fecit etiam Dindorfius.

72. 73 II III (4, 412)

Ὀργίζεται; παράσιτος ὢν ὀργίζεται;
Β. οὐκ ἀλλ' ἀλείψας τὴν τράπεζαν τῇ χολῇ,
ὥσπερ τὰ παιδί' αὐτὸν ἀπογαλακτιεῖ. . . .
Τότε φάγοις, παράσιθ'. Β. ὅρα
ὡς διασέσυρκε τὴν τέχνην· οὐκ οἶσθ' ὅτι
μετὰ τὸν κιθαρῳδὸν ὁ παράσιτος κρίνεται;

Athenaeus VI p. 247c: *ἐν δὲ τῇ διασκευῇ αὐτοῦ (τούτου?) τοῦ δράματος περὶ ὀργιζομένου παρασίτου λέγων φησίν Ὀργίζεται; — ἀπογαλακτιεῖ. καὶ ἑξῆς Τότε φάγοις κτλ.* Partem loci ex Athenaeo affert Eustathius p. 1829 49. Vs. 5 *διασέσυρκε* Porsonus, firmante cod. B, vulgo *διασεσύρηκε*.

74 IV (4, 413)

Ἕλκ' ἐς μέσον τὸν φιμὸν ὡς ἂν ἐμβάλῃ.

Harpocratio p. 182 2: *φιμὸς δ' ἐστὶν ὁ καλούμενος κημός, εἰς ὃν ἐνεβάλλοντο* (adde *οἱ κύβοι*), *καθά φασιν οἱ γλωσσογράφοι. Δίφιλος Συνωρίδι Ἕλκεις μέσον τὸν φιμὸν ὡς ἂν ἐμβάλῃ.* Ita Bekkerus, qui ex cod. D enotavit ἕλκεὄ. Scripsi igitur *ἕλκ' ἐς*, ut habet Photius p. 650 5: *Δίφιλος δέ φησιν*

Ἕλκ' ἐς μέσον τὸν φιμὸν ὡς ἂν ἐμβάλῃ. Suidas III p. 614: *Δίφιλος δέ φησιν Ἕλκ' εἰς μέσον κτλ.*

V (4, 413) 75

Ἐχήνισας. ποιοῦσι τοῦτο πάντες οἱ
παρὰ Τιμοθέῳ.

Athenaeus XIV p. 657e: *χηνίζειν δὲ εἴρηται ἐπὶ τῶν αὐλούντων. Δίφιλος Συνωρίδι Ἐχήνισας κτλ.* Ante Stephanum *ἐχηνίασας.*

T E Λ E Σ I Λ Σ

(4, 413) 76

Τράγημα, μυρτίδες, πλακοῦς, ἀμύγδαλα.
ἐγὼ δὲ ταῦθ' ἥδιστά γ' ἐπιδορπίζομαι.

Athenaeus XIV p. 640d: *οὐ πρότερόν γε, ἔφη ὁ Οὐλπιανός, ἀκουσόμεθα περὶ τούτων, ἕως ἂν περὶ τῶν ἐπιδορπισμάτων εἴπῃ. καὶ ὁ Ποντιανός, τραγήματα Κράτης φησὶ Φιλιππίδην λέγειν — καὶ Δίφιλος ἐν Τελεσίᾳ Τράγημα κτλ.* Vs. 1 *ἀμυγδαλαῖ* A *ἀμυγδαλαὶ* PVL *ἀμυγδάλαι* Dindorfius. Scribendum fuisse *ἀμύγδαλα* docet Athenaeus II p. 52f: *ὅτι καὶ οὐδετέρως ἀμύγδαλα λέγεται. Δίφιλος Τρωγάλια μυρτίδες πλακοῦς ἀμύγδαλα.* Ex eodem fortasse scribendum *τρωγάλια.*

T I Θ P A Y Σ T H Σ

(4, 414) 77

Πρίστις, τραγέλαφος, βατιάκη, λαβρώνιος.
B. ἀνδραπόδι' ἤδη ταῦθ', ὁρᾷς; A. ἥκιστά γε.
ἐκπωμάτων δ' ὀνόματα. B. πρὸς τῆς Ἑστίας;
A. ὁ λαβρώνιος χρυσῶν δέ, παῖδες, εἴκοσιν.

Athenaeus XI p. 484e: *Δίφιλος Τιθραύστῃ καὶ ἄλλα γένη καταλέγων ποτηρίων φησί Πρίστις κτλ.* Vs. 1 libri *τραγέλαφος, πρίστις.* Transposuit Porsonus. Vs. 2 *ἀνδραπόδιον δὴ* ante Dobraeum. Sufficit fortasse *ἀνδραποδίων δή.*

Φ P E A P

(4, 414) 78

Πολιὸς τεχνίτης ἐστὶν ὁ χρόνος, ὦ ξένε.
χαίρει μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα.

Stobaeus Flor. CXVI 32 cum lemmate *Διφίλου ἐκ Φρέατος* Vs. 1 pro *πολιὸς* Grotius *σκολιός*, quod non minus ineptum est. Scribendum videtur *σκαιός.*

ΦΙΛΑΔΕΛΦΟΙ

79. 80 I II (4, 415)

Antiatticista p. 80 29. Ἀνέψυξα: ἀντὶ τοῦ ἀνεπαυσάμην. Δίφιλος Φιλαδέλφῳ. V. interpretes Hesychii vol. I p. 373. Idem p. 110 17. Ὀξίνην οἶνον: Δίφιλος Φιλαδέλφοις. Vide ad Philonidis fragm. p. 158.

ΧΡΥΣΟΧΟΟΣ

81 (4, 415)

Διακύψας ὁρῶ
διὰ τῆς ὀπαίας κεραμίδος καλὴν σφόδρα.

Photius p. 341 5. Ὀπαία κεραμίς: ἡ τὴν κάπνην ἔχουσα. Δίφιλος Χρυσοχόῳ Διακύψας κτλ.

INCERTARVM FABVLARVM FRAGMENTA

82 I (4, 415)

Ὦ πᾶσι τοῖς φρονοῦσι προσφιλέστατε
Διόνυσε καὶ σοφώταθ', ὡς ἡδύς τις εἶ·
ὃς τὸν ταπεινὸν μέγα φρονεῖν ποιεῖς μόνος,
τὸν τὰς ὀφρῦς αἴροντα συμπείθεις γελᾶν,
τόν τ' ἀσθενῆ τολμᾶν τι, τὸν δειλὸν θρασύν.

Athenaeus II p. 35 d: Δίφιλος δ' ὁ κωμικός φησιν Ὦ πᾶσι κτλ. Vs. 3 vulgo libri ὅταν pro ὃς τὸν et ποιῇς pro ποιεῖς. Correxit Lennepius.

83 II (4, 415. 416)

Οὐκ ἔστιν οὐδὲν τεχνίον ἐξωλέστερον
τοῦ πορνοβοσκοῦ . . .
κατὰ τὴν ὁδὸν πωλεῖν περιπατῶν βούλομαι
ῥόδα, ῥαφανῖδας, θερμοκνάμους, στέμφυλα,
ἁπλῶς ἅπαντα μᾶλλον ἢ ταύτας τρέφειν.

Athenaeus II p. 55 d: Δίφιλος Οὐκ ἔστιν — τρέφειν. καὶ σημείωσαι τὸ θερμοκνάμους, ἐπεὶ καὶ νῦν οὕτω λέγεται. Vs. 2 τοῦ πορνοβοσκοῦ delendum videtur Iacobsio. Si Diphili est, malim τοῦ πορνοβοσκεῖν. Vs. 4 ante Dindorfium ῥαφανίδας. Vs. 5 ἄλλως ἅπαντα ante Iacobsium.

84 III (4, 416)

Προιτίδας ἁγνίζων κούρας καὶ τὸν πατέρ' αὐτῶν,
Προῖτον Ἀβαντιάδην, καὶ γραῦν πέμπτην ἐπὶ τοῖσδε,
δᾳδὶ μιᾷ σκίλλῃ τε μιᾷ, πόσα σώματα φωτῶν,
θείῳ τ' ἀσφάλτῳ τε πολυφλοίσβοιο θαλάσσης
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο.

ἀλλὰ μάκαρ Ἀὴρ διὰ τῶν νεφέων διάπεμψον
Ἀντικύραν, ἵνα τόνδε κόριν κηφῆνα ποιήσω.

Clemens Alex. Strom. VII p. 844 Pott.: *χαριέντως γοῦν καὶ ὁ κωμικὸς Δίφιλος κωμῳδεῖ τοὺς γόητας διὰ τῶνδε Προιτίδας ἀγνίζων κτλ.* Vs. 3 Grotius *τόσα*. Vs. 4 *πολυφλοίσβῳ τε θαλάσσῃ* Sylburgius. Vs. 7 editur *Ἀντίκυραν*.

IV (4, 417) 85

Ἓν ὀνάριον ἐξ ἀγροῦ μοι καταβαίνει
καθ' ἕκαστον ἐνιαυτὸν ἀγαπητῶς
ὥσπερ κανοῦν μοι πάντ' ἀνεσκευασμένον,
σπονδήν, ὀλάς, ἔλαιον, ἰσχάδας, μέλι.

Stobaeus Flor. LVII 2 cum lemmate *Διφίλου*. Vs. 3 *ὥ περ* Trinc. Ib. *κανοῦν* pro *ἱκανοῦν* ex cod. B edidit Gaisfordus. Pro *πάντ' ἀνεσκευασμένον* B et Arsen. habent *πᾶν γ' ἐνεσκευασμένον*. Priorum versuum perdifficilis est emendatio et sine librorum auxilio vix tentanda. Interim suspicari liceat locum ita scribendum esse:

Ἓν ὀνάριον καταβαίνει μοὐξ ἀγροῦ
καθ' ἕκαστον ἐνιαυτὸν ἀγαπητῶς, ὥσπερεί
κανοῦν, ὁμοῦ τι πάντ' ἀνεσκευασμένον,
σπονδήν, ὀλάς, ἔλαιον, ἰσχάδας, μέλι.

V (4, 418) 86

Οὐκ ἔστι βίος ὃς οὐχὶ κέκτηται κακά,
λύπας, μερίμνας, ἁρπαγάς, στρέβλας, νόσους·
τούτων ὁ θάνατος καθάπερ ἰατρὸς φανείς
ἀπέλυσε τοὺς ἔχοντας ἀναπαύσας ὕπνῳ.

Clemens Alex. Strom. VI p. 744 Pott.: *Δίφιλος γράφει Οὐκ ἔστι βίος κτλ.* Vs. 1 *οὐχὶ* Sylburgius. Vulgo *οὐ*. Vs. 4 *ἀπέλυσε* Valcken. ad Hippol. p. 313 d. Vulgo *ἀνέπαυσε*.

VI (4, 418) 87

Ἦν ὁ πατὴρ ἐφίλησεν οὐδεπώποτε,
παρ' ἧς τὸν ἄρτον ἡ κύων οὐ λαμβάνει,
μέλαινα δ' οὕτως ὥστε καὶ ποιεῖν σκότος.

Trypho de figuris apud Walz. Rhet. VIII p. 746: *ὑπερβολή ἐστι φράσις ὑπεραίρουσα τὴν ἀλήθειαν αὐξήσεως ἢ μειώσεως (ὁμοιώσεως Cant.) χάριν· αὐξήσεως μέν, οἷον Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα — μειώσεως δέ, οἷον Δίφιλός φησιν ἐπὶ αἰσχρᾶς γυναικός, Ἦν ὁ πατήρ κτλ.* Cant. *Διόφιλος*. Idem ille Tryphonis tractatus inter Moschopuli opuscula grammatica a

Titzio editus est, ubi Diphili locus legitur p. 80: *οἷον Διῒ φίλος ἦν ἐπὶ αἰσχρᾶς γυναικός, ἣν ὁ πατὴρ κτλ.* Versu primo possis *ἣν χὠ πατήρ*, vel cum editore Cantabr. *ἣν οὐδ' ὁ πατήρ.*

89 VII (4, 419)

Παρατίθημι' ὁλοσχερῆ
ἄρν' ἐς μέσον συμπτυκτόν, ὠνθυλευμένον,
χοιρίδια περιφόρινα κρομβώσας ὅλα·
Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι.

Athenaeus IX p. 383 f: *ἐγὼ δ' ὑμῖν, κατὰ τὸν ἥδιστον Δίφιλον, Παρατίθημι' ὁλοσχερῆ κτλ.* Vs. 1 fortasse scribendum *ἐγὼ γὰρ ὑμῖν παρατίθημι' ὁλοσχερῆ.* Vs. 2 Dindorfius εἰς. Ib. *συμπτυκτόν* Dobraeus, vulgo *συμπηκτόν.* ABP *συμπυκτόν,* quam formam tuetur Fritzschius ad Ran. p. 283. Vs. 3 ante Dindorfium *περιφόρεινα.*

89 VIII (4, 419)

Δειπνεῖ τε καταδύς, πῶς δοκεῖς; Λακωνικῶς,
ὄξους δὲ κοτύλην. Β. πάξ. Α. τί πάξ; ὀξὶς μέτρον
χωρεῖ τοσοῦτο τῶν Κλεωναίων.

Athenaeus II p. 67 d: *μνημονεύει δέ που* (Aristophanes) *καὶ τοῦ ἐκ Κλεωνῶν ὄξους ὡς διαφόρου "ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσίν." καὶ Δίφιλος Δειπνεῖ κτλ.*

90 IX (4, 420)

Τέρπομαι γυμνοὺς ὁρῶν
τοὺς ὀξυπείνους καὶ πρὸ τῶν καιρῶν ἀεί
πάντ' εἰδέναι σπεύδοντας.

Athenaeus II p. 47 b: *τὸ δὲ ὀξύπεινος παρὰ Διφίλῳ Τέρπομαι κτλ.*

91 X (4, 420)

Αὐλὰς θεραπεύειν δ' ἐστίν, ὡς ἐμοὶ δοκεῖ,
ἢ φυγάδος ἢ πεινῶντος ἢ μαστιγίου.

Athenaeus V p. 189 e: *νῦν δὲ τὰ βασίλεια λέγουσιν αὐλάς, ὥσπερ Μένανδρος — καὶ Δίφιλος Αὐλάς κτλ.*

92 XI (4, 420)

Ἐν ἡμέραισιν αὐτὸν ἑπτά σοι, γέρον,
θέλω παρασχεῖν ἢ κολοκύντην ἢ κρίνον.

Zenobius Prov. IV 18. *Ἢ κρίνον ἢ κολοκύντην: τὸ τῆς κολοκύντης ἄνθος καλεῖται κρίνον· ἄδηλον δὲ εἰ οἴσει καρπόν. ἔσαττον οὖν τὸ μὲν κρίνον οἱ ἀρχαῖοι ἐπὶ τοῦ τεθνηκότος, τὴν δὲ κολοκύντην ἐπὶ τοῦ ὑγιοῦς. μέμνηται ταύτης Δίφιλος λέ-*

γων Ἐν ἡμέραισιν κτλ. Eodem proverbio usus est Menander fr. 1033. Vs. 1 *αὐτὸς* ante Valckenarium. Ib. *γέρον* pro *γέρων* Gaisfordus e codicibus. Vs. 2 *ἢ* ante *κολοκύντην* addidit Valckenarius.

XII (4, 421) 93

Ἆρ' ἔστιν ἀνοητότατον αἰσχροκερδία·
πρὸς τῷ λαβεῖν γὰρ ὢν ὁ νοῦς τἄλλ' οὐχ ὁρᾷ.

Stobaeus Flor. X 4. Vs. 1 *αἰσχροκερδία* Grotius, *αἰσχροκέρδια* Trinc. *αἰσχροκέρδεια* cod. A. Vs. 2 *πρὸς τῷ* cod. Voss. et A ex emend. Vulgo *πρὸς τό.*

XIII (4, 421) 94

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν.
Φιλαργυρία τοῦτ' ἔστιν, ὅταν ἀφεὶς σκοπεῖν
τὰ δίκαια τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς.

Stobaeus Flor. X 5. Vs. 1 *οὐδ' ἂν εἷς* in Menandri monost. 665. Vs 2 pro *ἀφεὶς* cod. Voss. *ἀφῇς.* Sunt fortasse duo fragmenta.

XIV (4, 421) 95

Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

Stobaeus Flor. XXIV 1. Vs. 3 *τὸν δὲ* cod. A. Philemoni tribuitur apud Maximum Conf. LXXIX p. 137 50. Cfr. ad Philem. fr. 146.

XV (4, 421) 96

Ὅρκος δ' ἑταίρας ταὐτὸ καὶ δημηγόρου·
ἑκάτερος αὐτῶν ὀμνύει πρὸς ὃν λαλεῖ.

Stobaeus Flor. XXVIII 4. Vs. 1 *δ'* additum a Grotio.

XVI (4, 422) 97

Ὃς δ' οὔτ' ἐρυθριᾶν οἶδεν οὔτε δεδιέναι,
τὰ πρῶτα πάσης τῆς ἀναιδείας ἔχει.

Stobaeus Flor. XXXII 2. Diphilo tribuit Gesnerus, Menandro, ut videtur, Trinc. Si Menandri est, fortasse ex Adelphis ductum est. Vs. 1 pro *οἶδεν* Voss. N. Trinc. *ἐπίσταται.*

XVII (4, 422) 98

Εἰ τοῦ πατρὸς δόξαιμι κρεῖττόν σοι λέγειν,
ἐμαυτὸν ἀδικῶ κοὐκέτ' εἰμὶ θεοσεβής,
ὅτι τὸν κατασπείραντα λυπῶ κοὐ φιλῶ.

Stobaeus Flor. LXXIX 16. Versu secundo libri *εὐσεβής*. Correxit Iacobsius.

99 XVIII (4, 422)

Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ,
ἐν ἡμέρᾳ δὲ διαφορῆσαι ῥᾴδιον.

Stobaeus Flor. XV 3. Quod altero versu vulgo post *δὲ* additum est *μιᾷ* omittunt Voss. Ars. A. Frob.

100 XIX (4, 422)

Λαμπρῶς ἔνιοι ζῶσιν, οἷς χαλεπώτερον
τοῦ περιποιήσασθαί τι τὸ φυλάξαι βίον.

Stobaeus Flor. XV 4. Diphilo tribuit Trinc. Menandro cod. A. Ceterum vide Menandrea p. 999.

101 XX (4, 423)

Ἀνδρὸς φίλου καὶ συγγενοῦς γὰρ οἰκίαν
αὐτοῦ νομίζειν δεῖ τὸν ὀρθῶς συγγενῆ.

Stobaeus Flor. LXXXIV 4. Vs. 1 vulgo *ἀνδρὸς φίλου γὰρ καὶ συγγενοῦς οἰκίαν*. Grotius *ἀνδρὸς φίλου γὰρ οἰκίαν καὶ συγγενοῦς*. Transposui *γάρ*.

102 XXI (4, 423)

Ἰσχυρότερον κρίνω τὸ χρυσίον πολύ·
τὰ πάντα τούτῳ τέμνεται καὶ πράττεται.

Stobaeus Flor. XCI 17. Ne *ἰσχυρότατον* requiras, comparativus spectat ad aliquid, quod in praecedentibus adfuit. Locus fortasse ex gripho derivatus, qualis ille est, quem supra vidimus p. 1079. Vs. 2 *τέμνεται* corruptum videtur.

103 XXII (4, 423)

Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον·
τὴν ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

Stobaeus Flor. XCV 3. Vs. 2 *γὰρ* quod libri post *τὴν* habent delevit Porsonus.

104 XXIII (4, 424)

Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον.

Stobaeus Flor. XCVI 9 cum lemmate *Διφίλου*. Vs. 1 pro *συγκραθεῖσα* cod. A et Trinc. *δυσκραθεῖσα*. Versus illi cum tragicum colorem habeant, probabile est Diphili nomen ad sequentia potius referendum esse, quibus Sophoclis nomen adscriptum est:

Πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος.
Πενίας γὰρ οὐδείς ἐστι μείζων πολέμιος.

Quorum versuum alter manifesto comici poetae est. Ea de re admonuit iam Hermannus ad Eurip. Androm. 483.

XXIV (4, 424) 105

Ἄνθρωπός εἰμι, τοῦτο δ' αὐτὸ τῷ βίῳ
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.

Stobaeus Flor. XCVIII 6. Vs. 1 vulgo *αὐτῷ*, quod *αὐτὸ* scribendum esse iam olim monui ad Philemonem ed. pr. p. 398. Confirmant nunc Voss. et B.

XXV (4, 424) 106

Ὥσπερ κυαθίζουσ' ἐνιοθ' ἡμῖν ἡ τύχη
ἓν ἀγαθὸν ἐπιχέασα τρί' ἐπαντλεῖ κακά.

Stobaeus Flor. CIV 16. Vs. 1 *ἡμῖν ἐνιοθ'* cod. Voss. et Trinc. Vs. 2 malim *ἐγχέασα* vel *ὑποχέασα*.

XXVI XXVII (4, 424) 107. 108

Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.
Βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

Stobaeus Flor. CV 47. In duo fragmenta dispescui. Vtrumque versum habes in Menandri monost. 57 et 65. Apud Anton. Mel. et Maxim. Conf., qui hos versus Euripidi tribuunt (v. Matthiae Fragm. p. 422), legitur *ἐν θνητῶν γένει*.

XXVIII (4, 425) 109

Ὡς δεινὸν ἡνίκ' ἄν τις ὢν ἐν φροντίσιν
εἰκῇ θεατὴν τὸν τυχόντα λαμβάνῃ.

Stobaeus Flor. CIX 5. Vs. 2 *λαμβάνῃ* cod. A pro *λαμβάνει*.

XXIX (4, 425) 110

Οὐκ ἔστ' ἀναιδοῦς ζῷον εὐθαρσέστερον.

Stobaeus Flor. XXXII 3. Vulgo *ἔστιν*. Qui huic infertur versus, *κακὴ γὰρ αἰδὼς ἔνθα τἀναιδὲς κρατεῖ*, tragici poetae est; itaque omisi.

XXX (4, 425) 111

Καιρῷ τιθέμενον κέρδος ὡς καρπὸν φέρει.

Stobaeus Flor. XII 11. Pro *κέρδος* Gesnerus in tertia editione *ψεῦδος* edidit. Non expedio.

XXXI (4, 425) 113

Ἂν γνῷς τί ἐστ' ἄνθρωπος, ἡδίων ἔσει.

Stobaeus Flor. XXI 3. Pro *ἡδίων* Philemo Inc. fab. XXII 1 *εὐδαίμων*.

113 XXXII (4, 425)

Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

Stobaeus Flor. XXXVII 9. Vulgo ὦ pro ὡς. Correxit Gaisfordus.

114 XXXIII (4, 426)

Γυναικὸς ἀγαθῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.

Stobaeus Flor. LXVIII 21. Est etiam in Menandri gnom. monost. 94, ubi editur *ἐσθλῆς*.

115 XXXIV (4, 426)

Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.

Stobaeus Flor. LXXVII 8. Vide Anaxand. fr. 64.

116. 117 XXXV XXXVI (4, 426)

Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι.
Λύπης δὲ πάσης γίνετ' ἰατρὸς χρόνος.

Stobaeus Flor. CXVIII 15 et CXXIV 25.

118 XXXVII (4, 426)

Εὐμετάβολός ἐστιν ἀνθρώπων βίος.

Clemens Alex. Strom. VI p. 744 Pott.: *τοῦ κωμικοῦ Διφίλου εἰπόντος Εὐμετάβολός ἐστιν ἀνθρώπων βίος.* Possis ὡς praefigere; nisi fuit tetrameter trochaicus. Grotius post *εὐμετά-βολος* addebat *μάλ'*.

119 XXXVIII (4, 426)

Παχὺς ὠνθυλευμένος στέαται Σικελικῷ.

Plutarchus Vit. Nic. cap. 1: *ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις καὶ κατὰ τὸν Διφιλον Παχύς κτλ.*

120 XXXIX (4, 426)

Τὸ μὲν Ἄργος ἵππων, οἱ δ' ἐνοικοῦντες λύκοι.

Anthologia Palat. XI 439. Pro ἵππων editur ἵππος, quod correxi.

121 XL (4, 427)

Ὠιῶν δ' ἐν αὐτῇ διέτρεχεν νεόττια.

Photius v. *νεοττός*. *καὶ Διφιλος κέχρηται τῇ λέξει Ὠιῶν δ' ἐν αὐτῇ διέτρεχεν νεόττια.* Cod. ὠὸν et *νεοττία*. Ad *αὐτῇ* intellege *λοπάδι*.

122 XLI (4, 427)

Athenaeus I p. 23 c: *ἀνακεῖσθαι δὲ φαμὲν ἐπὶ ἀνδριάντος, ὅθεν τοὺς ἐπὶ κατακειμένων χρωμένους τῇ λέξει διέσυρον. Διφιλος Ἐγὼ δ' ἕως μέν τινος ἀνεκείμην. πρὸς ὃν*

δυσχεραίνων ὁ ἑταῖρός (Dind. *ἕτερός*) *φησιν Ἀνάχεισο.* Eadem ex Athenaeo rettulit Eustath. ad Odyss. p. 1404 7.

XLII (4, 427) 123

Athenaeus IV p. 168 c: *διασειόμενοι τοὺς κροτάφους ὑπὸ τοῦ ἀκράτου καὶ κατὰ τὸν Δίφιλον "κεφαλὰς ἔχοντες τρεῖς ὥσπερ Ἀρτεμίσιον."* Diphili talis fere versus fuisse videtur: *Ἀνίσταμαι| κεφαλὰς ἔχων τρεῖς ὥσπερ Ἀρτεμίσιον.* Cfr. Menandri fr. 67.

XLIII (4, 428) 124

Μόνος γὰρ ἦν λέγων
ἄκουσμα κἀκρόαμα.

Grammat. Bekkeri p. 372: *Δίφιλος δὲ ἐκ παραλλήλου τέθεικε τὰς λέξεις Μόνος γὰρ ἦν κτλ.*

XLIV (4, 428) 125

Καὶ πόδα βόειον οὐδὲ εἷς ὀπτᾷ.

Lexicon ab Hermanno editum p. 324: *τὸ δὲ ὀπτᾶν δευτέρας (συζυγίας ἐστί)· καὶ πόδα βόειον οὐδεὶς ὀπτᾷ, Δίφιλός φησιν ὁ Ἀθηναῖος.* Correxi *οὐδὲ εἷς.*

XLV (4, 428) 126

Phrynichus Praep. soph. p. 33 33. *Γρυμεία: ἣν οἱ πολλοὶ γρύτην καλοῦσι Δίφιλος ἄνευ τοῦ ι γρυμέαν. ἔστι δὲ παρ' Ἀθηναίοις πήρα τις γρυμέα καλουμένη, ἐν ᾗ παντοῖα σκεύη ἐστί.*

XLVI—XLVIII (4, 429) 127–129

Antiatticista p. 99. *Θυροκοπεῖν καὶ θυροκοπία: Δίφιλος.* Idem p. 109. *Νεκρόν: τὴν γυναῖκα. Δίφιλος.* Idem p. 113. *Στρηνιᾶν: καθ' οὗ ὁ βίος τάσσει. Δίφιλος.* Cfr. Phrynichum Ecl. att. p. 381. *Στρηνιᾶν: τούτῳ ἐχρήσαντο οἱ τῆς νέας κωμῳδίας ποιηταί. ᾧ οὐκ ἂν μανείς τις χρήσαιτο, παρὸν λέγειν τρυφᾶν.*

XLIX L (4, 429) 130. 131

Photius p. 416 9. *Περιδοῦ: σύνθου. λέγουσι δὲ καὶ περὶ συνθήκης. οὕτως Δίφιλος.* Idem p. 439 11. *Πολιτοκοπεῖν: Δίφιλος.*

LI (4, 429) 132

Pollux IX 15: *παίζοντι δὲ τὸ στρατόπεδον ἔξεστι κατὰ τὴν τῶν πολλῶν χρῆσιν καὶ παρεμβολὴν ὀνομάσαι, παρεχόμενόν τινα τῶν νεωτέρων Θεόφιλον ἐν Παγκρατιαστῇ εἰρηκότα "εἶτ' ἐν χάρακι μὲν ταῦτα καὶ παρεμβολῇ." καὶ Κρίτων ἐν Αἰτωλοῖς "ἐκεῖ γὰρ ἡμῖν ἐστιν ἡ παρεμβολή."* In his quae

post *ὀνομάσαι* sequuntur, codices ita exhibent: *τινὲς δὲ καὶ τῶν νεωτέρων ποιητῶν ἐχρήσαντο τῇ λέξει, ὥσπερ Δίφιλος καὶ Κρίτων.*

133 LII (4, 429)

Clemens Alex. Strom. V p. 728 Pott.: *ὁ κωμικὸς Δίφιλος γνωμικώτατα τὸν ὄντα πάντων, φησί, πατέρα τοῦτον διὰ τέλους τίμια μόνον, ἀγαθῶν τοσούτων εὑρετὴν καὶ κτίστορα.* Eadem fere Eusebius P. E. XIII p. 404 Steph. ubi priora ita scripta sunt: *ὁ κωμικὸς Δίφιλος γεννικώτατον ὄντα πάντων κτλ.* Paullo plenius haec scripta leguntur et ex Menandri Diphilo (sic) citantur apud Iustinum Mart. de Monarch. p. 41 c:

Διότι τὸν ὄντα κύριον πάντων ἀεί
καὶ πατέρα τοῦτον διὰ τέλους τιμᾶν μόνον,
ἀγαθῶν τοσούτων εὑρετὴν καὶ κτίστορα.

At vero neque Diphili neque Menandri haec esse, cum sententia illis versibus subiecta docet, tum ex tota orationis conformatione intellegitur.

HIPPARCHVS

ΑΝΑΣΩΙΖΟΜΕΝΟΙ

1 (4, 431)

Προσέχεις τι τούτῳ τῷ στρατιώτῃ; ποῦ δ' ἔχει
ἀργύριον οὗτος; οὐδαμόθεν, εὖ οἶδ' ἐγώ,
ἀλλ' ἢ δαπίδιον ἓν ἀγαπητὸν ποικίλον,
Πέρσας ἔχον καὶ γρῦπας ἐξώλεις τινάς
τῶν Περσικῶν. Β. ἐς κόρακας, ὦ μαστιγία.
Α. καὶ κόνδυ καὶ ψυκτῆρα καὶ κυμβίον.

Athenaeus XI p. 477 f: *Κόνδυ, ποτήριον Ἀσιατικόν.* — *Ἵππαρχος Ἀνασωζομένοις Προσέχεις τι τούτῳ κτλ.* Vs. 1 *τοῦ δὲ δείου* AP *τοῦ διδείου* B *τοῦ δὲ δὴ* VL. Sequutus sum Iacobsium; quamquam aliud quid latere videtur. Vs. 4 pro *Πέρσας* Dobraeus probabiliter *ὄρνεις*. Ibid. *ἔχον* Schweighaeus. pro *ἔχων*. Vs. 5 legebatur *εἰς κόρακας*, quod correxi. Vs. 6 Iacobsius *ψυκτηρίαν* probante Dindorfio. P *ψυκτῆρι* et ex correctione *ψυκτῆρα*. Mihi *ψυκτήριον* potius scribendum videtur. Sin *ψυκτῆρα* recte habet, pro *κυμβίον* possis *κυμβίδιον*.

Z Ω Γ P A Φ O Σ

(4, 431) 2

Πολύ γ' ἐστὶ πάντων κτῆμα τιμιώτατον
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη.
τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος καὶ μεταβολαί
τύχης ἀνήλωσ', ἡ τέχνη δὲ σώζεται.

Stobaeus Flor. LX 2. *Ἱππάρχου ἐκ Ζωγράφου.* Scholiasta Dionysii Thracis p. 647 10: *τούτων μάρτυς τῶν λεχθέντων Ἵππαρχος ὁ κωμικὸς διά τινος τῶν αὐτοῦ κωμῳδιῶν λέγων Πολλῷ γάρ ἐστι κτῆμα τιμιώτατον — τέχνη.* Theodosius Grammat. p. 50: *ἐξαιρέτως δὲ Ὕπαρχος* (sic) *ὁ κωμικὸς ποιεῖται τοῦτο δῆλον λέγων οὕτωσί Πολὺ γάρ ἐστι κτῆμα — τέχνη.* Exhibui lectionem Stobaei. Versu quarto Trinc. *ἀνάλωσε τέχνη.* Cod. A *ἀνήλωσε τέχνη δὲ μόνη σώζεται.*

Θ A I Σ

(4, 432) 3

Ὁ λαβρώνιος δ' ἔσθ' οὗτος ὄρνις; B. *Ἡράκλεις,*
ποτήριον χρυσοῦς διακοσίους ἄγον.
A. ὦ περιβοήτου, φιλτάτη, λαβρωνίου.

Athenaeus XI p. 484 d de labronio, persici pocculi genere, agens: *Ἵππαρχος ἐν Θαΐδι Ὁ λαβρώνιος κτλ.*

Π A N N Y X I Σ

I II (4, 432) 4. 5

Athenaeus XV p. 691 c: *Παμπόλλου δ' ἐπιπράσκετο Ἀθήνησιν ἡ τοῦ μύρου κοτύλη, καὶ ὡς μὲν Ἵππαρχός φησιν ἐν Παννυχίδι, πέντε μνῶν.* Pollux X 108: *Ἄλεξις ἐν Ἀσκληπιοκλείδῃ πατάνια εἴρηκεν· ἐν δὲ ταῖς Ἱππάρχου Παννυχίσιν εὑρῆσθαί φασι κατὰ τὴν τῶν ἰδιωτῶν συνήθειαν εἰρημένον βατάνιον.*

LYNCEVS

K E N T A Y P O Σ

(4, 433)

Μάγειρ' ὁ θύων ἔσθ' ὁ δειπνίζων τ' ἐμέ
Ῥόδιος, ἐγὼ δ' ὁ κεκλημένος Περίνθιος·
οὐδέτερος ἡμῶν ἥδεται τοῖς ἀττικοῖς
δείπνοις. B. *ἀηδία γάρ ἐστιν ἀττική;*
A. ὥσπερ ξενική· παρέθηκε πίνακα γὰρ μέγαν,

ἔχοντα μικροὺς πέντε πινακίσκους ἐν οἷ.
τούτων ὁ μὲν ἔχει σκόροδον, ὁ δ' ἐχίνους δύο,
ὁ δὲ θρυμματίδα γλυκεῖαν, ὁ δὲ κόγχας δέκα,
ὁ δ' ἀνταχαίου μικρόν. ἐν ὅσῳ δ' ἕσθίω,
ἕτερος ἐκεῖν', ἐν ὅσῳ δ' ἐκεῖνος, τοῦτ' ἐγώ
ἠφάνισα· βούλομαι δ' ἐγώ, βέλτιστε σύ,
κἀκεῖνο καὶ τοῦτ', ἀλλ' ἀδύνατα βούλομαι·
οὔτε στόματα γὰρ οὔτε χείλη πέντ' ἔχω.
ὄψιν μὲν οὖν ἔχει τὰ τοιαῦτα ποικίλην,
ἀλλ' οὐδέν ἐστι τοῦτο πρὸς τὴν γαστέρα·
κατέπασα γὰρ τὸ χεῖλος, οὐκ ἐνέπλησα δέ.
τί οὖν ἔχεις; B. ὄστρεια πολλά. A. πινακά μοι
τούτων παραθήσεις αὐτὸν ἐφ' ἑαυτοῦ μέγαν.
ἔχεις ἐχίνους; B. ἕτερος ἔσται σοι πίναξ·
αὐτὸς γὰρ αὐτὸν ἐπριάμην ὀκτὼ ὀβολῶν.
A. ὀψάριον αὐτὸ τοῦτο παραθήσεις μόνον,
ἵνα ταὐτὰ πάντες, μὴ τὸ μὲν ἐγώ, τὸ δ' ἕτερος.

Athenaeus IV p. 131 f: *Λυγκεὺς δ' ἐν Κενταύρῳ διαπαίζων τὰ ἀττικὰ δεῖπνά φησι Μάγειρ' ὁ θύων κτλ.* Vs. 1 vulgo *ἐστὶν ὁ.* Vs. 4 et 5 personarum vices descripsi ut praeivit Dobraeus. Vs. 6 *ἐν οἷ* Dindorfius. Dobraeus *ἄνω.* Libri *ἐν ᾧ.* Vs. 11 Schweighaeuserus et Porsonus *δέ γ' ὦ* pro *δ' ἐγώ.* Tum *βέλτιστε σὺ κἀκεῖνο* Schweighaeuserus. Libri *βέλτιστο συγκαμεῖν.* Porsonus tentabat *βέλτιστε σύ, καὶ τοῦτο κάπτειν, ἀλλ'.* Vs. 12 *ἀλλ' — ἔχω* attulit Eustathius p. 261 extr. indicante Dindorfio. Vs. 14 *οὖν* accessit ex C. Vs. 15 libri *οὐθέν.* Vs. 17 nescio an praestet: *τί οὖν; ἔχεις ὄστρεια; B. πολλά.* Vs. 20 *γὰρ* VL *δ'* ABP. Ibid. *ὀκτὼ ὀβολῶν*] vid. Ahrens de crasi p. 13.

ARCHEDICVS

ΔΙΑΜΑΡΤΑΝΩΝ

1 (4, 435)

Νικοστράτην τίν' ἤγαγον πρώην σφόδρα
γρυπήν, Σκοτοδείνην ἐπικαλουμένην, ὅτι
δεῖνόν ποτ' ἦρεν ἀργυροῦν ἐν τῷ σκότῳ.
B. δεῖνον καὶ δεινόν, ὦ θεοί.

Athenaeus XI p. 467 e: *Ἀρχέδικος ἐν Διαμαρτάνοντι παράγων οἰκέτην τινὰ περὶ ἑταιρίδων διαλεγόμενόν φησι Νικοστράτην κτλ.* Eustathius p. 1207 11: *γράφεται γὰρ* (*ὁ δῖνος*)

τὰ πλείω διὰ διφθόγγου. τῆς δὲ τοιαύτης διπλῆς γραφῆς τεκμήριον τόδε. λέγει, φασίν, Ἀρχέδικος οὕτω. Νικοστράτην — σκοτοδίνην — σκότῳ. πρὸς ὅπερ ἐρωτηματικῶς εἰπών τις, δῖνον; ἐπάγει, δεινὸν ὦ θεοί. Vs. 3 pro *σκότῳ* C habet *σκότω*, superscripto *ει*. Vs. 4 *δεῖνον καὶ δεινόν* PV *δεινὸν καὶ δεῖνον* L *δεῖνον δεινὸν* C. Recepit hoc Dindorfius, lacuna indicata inter *δεῖνον* et *δεινόν*. Scribendum videtur, *δεινόν γε δεῖνον, ὦ θεοί.*

ΘΗΣΑΥΡΟΣ

I (4, 435. 436)

Πρῶτον ὠμῶν κειμένων
τῶν ἰχθύων πάρεισιν οἱ κεκλημένοι·
"δίδου κατὰ χειρός." "τοὔψον οἰχήσει λαβών."
τὰς λοπάδας ἐπιθεὶς ἐπὶ τὸ πῦρ τοὺς ἄνθρακας
ἔρραν' ἐλαίῳ πάντα καὶ ποιῶ φλόγα.
ἐν ᾧ τὸ λάχανον αἵ τε τῶν παροψίδων
τὸν ἄνδρα δριμύτητες εὐφραίνουσί μοι,
ἔφθὸν τὸν ἰχθὺν ἀποδίδωμι', ἔχοντα τούς
χυμοὺς ἐν αὐτῷ τήν τε τῆς ἅλμης ἀχμήν,
εἰς ἣν ἂν ἐμβάψαιτο πᾶς ἐλεύθερος·
ἐλαδίου κοτύλης τε παραναλωμένης
σέσωκά μοι τρίκλινα πεντήκοντ' ἴσως.

Athenaeus VII p. 292 e: *καὶ παρ' Ἀρχεδίκῳ δὲ ἐν Θησαυρῷ ἄλλος σοφιστὴς μαγειρίσκος τάδε λέγει Πρῶτον κτλ.* Vs. 1 *πρῶτον* ABCP *πρῶτον μὲν* VL. Vs. 5 Hermannus: *πανταχοῦ ποιῶ φλόγα*. Praestat fortasse *τὸν ἄνθρακα* scribere, sensu collectivo. Vs. 7 *μοι* pro *μου* Schweighaeuserus. Vs. 8 *ἀποδίδωμι'* AB, nisi quod plene scribunt *ἀποδίδωμι*. VL *ἀποδιδόντ'*. Vs. 10 post *πᾶς* ABP addunt *ἀνήρ*. Vs. 11 verba *ἐλαδίου κοτύλη* affert Eustathius p. 1552 33. Vs. 12 *σέσωκ' ἐμοὶ* Schweighaeuserus praeeunte Dutheil, id ut sit *σέσωκα*: vulgo *σέσωκέ μου*. Scripsi *σέσωκά μοι*. Nisi forte cum Dobraeo praecedenti versu corrigendum *κοτύλη τε παραναλωμένη*, quo pacto vs. 12 *σέσωκέ μοι* scribendum fuerit. Ib. *τρίκλινον* neutro genere dixit, ut Anaxand. fr. 70.

II (4, 436. 437)

Δραχμῶν τριῶν γλαυκίσκον . . . .
γόγγρου κεφαλὴν καὶ τὰ πρῶτα τεμάχια
δραχμῶν πάλιν πέντ'. ὦ ταλαιπώρου βίου.
δραχμῆς τραχήλους. ἀλλὰ νὴ τὸν ἥλιον,

κἀμοὶ τράχηλον ἕτερον εἴ ποθεν λαβεῖν
ἦν καὶ πρίασθαι δυνατόν, ὃν ἔχω τοῦτον ἄν,
πρὶν εἰσενεγκεῖν ταῦτα δεῦρ', ἀπηγξάμην.
οὐδεὶς δεδιηκόνηκεν ἐπιπονώτερον.
ἅμα μὲν πρίασθαι πολλὰ καὶ πολλοῦ σφόδρα,
ἅμα δ' εἴ τι χρηστὸν ἀγοράσαιμ' ἀπωλλύμην,
"κατέδοντ' ἐκεῖνοι τοῦτο" πρὸς ἐμαυτὸν λέγων,
διαπυτιοῦσ' οἶνον δὲ τοιοῦτον χαμαί.
οἴμοι.

Athenaeus VII p. 294b: *Ἀρχέδικος δ' ἐν Θησαυρῷ παράγει τινὰ μάγειρον λέγοντα περὶ ὧν ὠψώνηκεν αὐτός Δραχμῶν κτλ.* Vs. 1 Dindorfius supplebat *ὠψώνηκ' ἐγώ*. Tertium versum comparanti forsan exclamatio, v. c. *ὦ μεγάλοι θεοί* vel *οἴμοι τῶν κακῶν*, omissa esse videbitur. Vs. 2 Schweigh. *γόγγρου δὲ κεφαλήν*. Possis etiam *γόγγρου κεφάλαιον*. Vs. 8 ante Dindorfium *οὐθείς*. Ib. *δεδιηκόνηκεν* debetur Valckenario. Vulgo *δὲ διηκόνηκεν*. P *δὲ διακόνηκεν*. Vs. 11 *λέγων* Dobraeus. Libri *λέγω*. Vs. 12 libri *διαπυτιοῦσιν οἶνον*.

Praeterea ex incerta Archedici fabula quae afferuntur a Polybio XII 13, de iis vide quae dicta sunt Hist. cr. p. 459.

APOLLODORVS GELOVS

ΑΠΟΛΕΙΠΟΥΣΑ

1 (4, 438)

Ἀγωνιῶσα τόν τε τοῦ λάκκου κάδον
λύσασα καὶ τὸν τοῦ φρέατος εὐτρεπεῖς
τὰς ἱμονιὰς πεποίηκα.

Athenaeus III p. 125 a: *Ὁ Ἀπολλόδωρος δ' ὁ Γελῷος καὶ τοῦ λάκκου αὐτοῦ, ὥσπερ ἡμεῖς λέγομεν, μνημονεύει ἐν Ἀπολειπούσῃ οὕτως Ἀγωνιῶσα κτλ.* Vs. 3 recte Dalecampius *πεποίηκα*. Libri *πεποίηκας*.

ΓΡΑΜΜΑΤΕΙΔΙΟΠΟΙΟΣ

2 (4, 438)

Μεταξὺ τῶν λόγων δέ, τουτί μοι δοκεῖ
κυμινοδόκην οὐ γραμματεῖον περιφέρειν.

Pollux X 93: *ἐν δὲ τῷ τοῦ Γελῴου Ἀπολλοδώρου Γραμματειδιοποιῷ κυμινοδόκη· Μεταξὺ τῶν λόγων δέ κτλ.*

ΦΙΛΑΔΕΛΦΟΙ Η ΑΠΟΚΑΡΤΕΡΩΝ

I (4, 439) 3

Ἐφεξῆς στρώματ', ἀργυρώματα,
θηρίκλεια καὶ τορευτὰ πολυτελῆ ποτήρια
ἕτερα.

Athenaeus XI p. 472 c: Ἀπολλόδωρος δ' ὁ Γελῷος ἐν Φιλαδέλφοις ἢ Ἀποκαρτεροῦντί φησιν Ἐφεξῆς κτλ. Versu secundo libri θηρίκλειοι τορευταί. Correxit Porsonus.

II (4, 439) 4

Ἀλλὰ σχεδόν τι τὸ κεφάλαιον τῶν κακῶν
εἴρηκας· ἐν φιλαργυρίᾳ γὰρ πάντ' ἔνι.

Stobaeus Flor. XVI 11: Ἀπολλοδώρου Ἀποκαρτερῶν. Ita Gaisfordus e cod. A. Gesnerus *Apollodorus Apocarterunte.*

ΨΕΥΔΑΙΑΣ

(4, 439) 5

Pollux X 138: καὶ στρωματεῖς δὲ Ἀπολλόδωρός τε ὁ Γελῷος ἐν Ψευδαίαντι ἔφη· μάχαιρα, λόγχη, στρωματεύς.

APOLLODORVS CARYSTIVS

ΑΜΦΙΑΡΕΩΣ

(4, 440) 1

Ἐμβαλόντες, ὦ πονηρὲ σύ,
εἰς σακκοπήραν αὐτὸν ἐπιθήσουσί που
ἐφ' ὑποζύγιον.

Pollux X 161: σακκοπήραν δέ, ὡς εἴθισται τοῖς ἰδιώταις λέγειν, ἐν Ἀπολλοδώρου τοῦ Καρυστίου Ἀμφιαράῳ Ἐμβαλόντες κτλ. Fortasse scribendum ἐμβαλόντες ὦ πονηρέ σε | εἰς σακκοπήραν αὐτίκ' ἐπιθήσουσι.

ΑΝΤΕΥΕΡΓΕΤΩΝ

(4, 440) 2

Pollux X 138: ὁ δὲ Καρύστιος Ἀπολλόδωρος ἐν Ἀντευεργετοῦντι τοὺς στρωματεῖς ἕλυον.

ΑΠΟΛΕΙΠΟΥΣΑ

(4, 440) 3

Τὴν ἐπωμίδα
πτύξας διπλῆν ἄνωθεν ἐνεκομβωσάμην.

Photius Epistol. CLVI p. 210: σὲ δ' οὖν Ἐπιχάρμου μάλιστα καὶ Ἀπολλοδώρου τοῦ Καρυστίου τῶν σῶν μεμνημένον

ἐχρῆν περιπτύσσεσθαι μᾶλλον ἢ δυσχεραίνειν τῇ λέξει (ἐγκομβώσασθαι). ὁ μὲν γὰρ πολλαχοῦ — ἐχρήσατο ταύτῃ· ἐγκεκόμβωται γάρ φησι καὶ ἀπαρεμφάτως ἐγκομβώσασθαι· ὁ δὲ Καρύστιος ἐν Ἀπολειπούσῃ τὴν ἐπωμίαν (sic) φησὶ πτύξασα διπλῆν ἄνωθεν ἐνεκομβωσάμην. Cfr. Suidas s. v. ἐγκομβώσασθαι. Ἀπολλόδωρος Καρύστιος Ἀπολιπούσῃ Τὴν ἐπωμίδα κτλ. et Etymol. M. p. 311 8. Pro πτύξας Suidas et Photius πτύξασα.

ΑΠΟΚΑΡΤΕΡΟΥΝΤΕΣ

(4, 441)

Photius s. v. σπουδάζω. ἐπὶ δὲ τοῦ λίαν θέλω Ἀπολλόδωρος Καρύστιος Ἀποκαρτεροῦσιν. Eadem Suidas.

ΓΡΑΜΜΑΤΕΙΔΙΟΠΟΙΟΣ

(4, 441. 442)

Ὦ πάντες ἄνθρωποι, τί τὸ ζῆν ἡδέως
παρέντες ἐπιμελεῖσθε τοῦ κακῶς ποιεῖν
πολεμοῦντες ἀλλήλους; πότερα πρὸς τῶν θεῶν
ἐπιστατεῖ τις τοῦ βίου νυνὶ τύχη
ἄγροικος ἡμῶν, οὔτε παιδείαν ὅλως
εἰδυῖα, τί τὸ κακόν ποτ' ἢ τί τἀγαθόν
ἔστ' ἀγνοοῦσα παντελῶς εἰκῇ τέ πως
ἡμᾶς κυλίνδουσ' ὁντιν' ἂν τύχῃ τρόπον;
οἶμαί γε· πῶς γὰρ μᾶλλον ἂν προείλετο
Ἕλλην ἀληθῶς οὖσα λεπομένους ὁρᾶν
αὐτοὺς ὑφ' αὑτῶν καὶ καταπίπτοντας νεκρούς,
ἐξὸν ἱλαροὺς παίζοντας ὑποπεπωκότας
αὐλουμένους ᾠδί; λέγ' αὐτή, γλυκυτάτη,
ἔλεγχ' ἄγροικον οὖσαν ἡμῶν τὴν τύχην. . .
Οὐ τοῦτο τὸ ζῆν ἐστι τὸν καλούμενον
θεῶν ἀληθῶς βίον. ὅσῳ δ' ἡδίονα
τὰ πράγματ' ἐν ταῖς πόλεσιν ἦν ἂν ἢ τὰ νῦν,
εἰ μεταβαλόντες τὸν βίον διήγομεν;
πίνειν Ἀθηναίους ἅπαντας, τοὺς μέχρι
ἐτῶν τριάκοντ' ἐξιέναι, τοὺς δ' ἱππέας
ἐπὶ κῶμον εἰς Κόρινθον ἡμέρας δέκα,
στεφάνους ἔχοντας καὶ μύρον πρὸ ἡμέρας,
τοὺς τὴν ῥάφανον πωλοῦντας ἕψειν Μεγαρέων,
εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους,
κεραννύναι τὸν οἶνον Εὐβοῆς. τρυφὴ
καὶ βίος ἀληθῶς. ἀλλ' ἀπαιδεύτῳ τύχῃ
δουλεύομεν.

Athenaeus VII p. 280d de iis poetis disserens qui voluptates commendaverint: *Ἀπολλόδωρος δ' ὁ Καρύστιος ἐν Γραμματειδιοποιῷ Ὦ πάντες ἄνθρωποι — ἡμῶν τὴν τύχην. καὶ προαλθών Οὐ τοῦτο τὸ ζῆν κτλ.* Vs. 2 AP *καλῶς*. Vs. 5 *οὔτε* defendi potest similibus exemplis, fortasse tamen *οὐδὲ* scribendum. Vs. 6 *τί τὸ κακόν ποτ' ἢ τί τἀγαθόν* Erfurdtus. *τί τὸ κακὸν ἢ τί ποτ' ἦ τι τἀγαθὸν* A *τί τὸ κακὸν ἢ τί ποτ' ἢ τί τ' ἀγαθὸν* B *ἦ τι τὸ κακόν, ἢ τί ποτε τἀγαθὸν* C *τί τὸ κακὸν ἢ τί ποτ' ἦ τἀγαθὸν* PVL. Vs. 7 *τέ πως* Dindorfius pro *τε πῶς*. Vs. 8 *κυλίνδουσ'* Dind. ex P pro edito *κυλινδοῦσ'*. B *κυλίνδουσα*. Vs. 9 *πῶς* Iacobsius. Libri *τίς*. B *γὰρ* omittit. Vs. 10 verba *Ἕλλην ἀληθῶς οὖσα* affert Eustathius p. 1077 31. Quod sequitur *λεπομένους* ABCD *λυπομένους* PVL. In Q utramque scripturam esse monuit Dindorfius. Vs. 12 *ὑποπεπωκότας* C *ὑποπεπτωκότας* PVL. Vs. 13 *ὠδὶ* Dindorfius. *ὠδὲ* VL *ὠδεῖ* A *ὠδει* P *ω δει* B. Grotius *ὠδῇ*. Ibid. *λέγ' αὐτὴ* A *λεγαύτη* P *λε γ αυτη* B *λέγειν ὦ* VL. Non ad unam quamlibet mulierem haec dicta suspicor, sed ad deam aliquam, Pacem fortasse vel *Γεωργίαν*. Vs. 15 *τὸν καλούμενον* Schweighaeuserus pro *τὸ καλούμενον*. Vs. 17 pro *ἢ* B *ἦν*. P *ἦ*. Vs. 18 *οἱ* pro *εἰ* B *μεταβαλόντες* L *μεταβαλλόντες* V *μεταβάλλοντες* BP. Vs. 19 *ἅπαντας καὶ τοὺς* VL. Post *ἅπαντας* distinxi. Vs. 20 *δ' ἱππέας* PL *δι' ἱππέας* V. Dindorfius particulam deletam malit. Id ipse etiam praetulerim, sed ita ut *τοὺς ἱππέας* appositionis loco superioribus, *τοὺς μέχρι ἐτῶν τριάκοντ'*, illata patentur. Vs. 22 verba *πρὸ ἡμέρας* alii, in his Dindorfius, cum sequentibus coniungunt, quod ferri vix potest. Vel ante solis ortum comissandum esse dicit. Vs. 23 Grotius *ἐλθεῖν Μεγαρέας*. Vs. 25 ante *τρυφὴ* VL inserunt *ταῦτ' ἦν*.

ΔΙΑΒΟΛΟΣ

I (4, 444) 6

Καὶ κλείεθ' ἡ θύρα μοχλοῖς· ἀλλ' οὐδὲ εἷς
τέκτων ὀχυρὰν οὕτως ἐποίησεν θύραν,
δι' ἧς γαλῆ καὶ μοιχὸς οὐκ εἰσέρχεται.

Stobaeus Flor. VI 28. Vs. 1 abest *καὶ* a cod. A.

II (4, 444) 7

Μέγα,
ὦ Φορμίων, γλωττόκομον, οὐκ ὀφθαλμιῶ.

Pollux X 154: *οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου γλωττόκομον* (ita Nunnesius pro *γλωττοκομεῖον*) *παρὰ τοῖς νεωτέ-*

ροις ἔστιν εὑρεῖν, ὡς — καὶ ἐν Ἀπολλοδώρου τοῦ Καρυστίου Διαβόλῳ Μέγα κτλ. Legebatur *ὀφθαλμῷ*. Correxit Iungermannus. Lobeckius ad Phrynich. p. 99 Apollodori versum ita scriptum affert: *μέγ' ὁ Φορμίων γλωττόκομον, οὐκ ὀφθαλμιῶ.*

E K Y P A

8 I (4, 444)

Ὀλίγαις ἑραστὴς γέγον' ἑταίραις, ὦ Σύρα,
βέβαιος.

Terentius Hecyrae initio: *Per pol quam paucos reperias meretricibus fideles evenire amatores, Syru.* Sunt Philotidis verba, ad quae Donatus: "Quidam non *paucos* sed *paucis* legunt. Sic enim Apollodorus *αλπα ICHPAS THC rei IONHNC THRAICCI PAγγιbaiωC.*" Emendavit Bentleius, nisi quod *ἑταίραισιν Σύρα* scripsit, pro quo ego malui *ἑταίραις, ὦ Σύρα.*

9 II (4, 445)

Σύ με παντάπασιν ἡγεῖ λίθον.

Terentius l. l. II 1 17, ubi Laches Sostratae dicit: *Tu, inquam, mulier, quae me omnino lapidem, non hominem putas.* Donatus "*ἐν ᾗθει.* Sic Apollodorus *Σύ με παντάπασιν eHCAY λίθον.*" Scripsi *ἡγεῖ*, nescio meane an alius ex coniectura. Praeterea possis *δὴ* addere post *ἡγεῖ*.

10 III (4, 445)

Terentius III 1 6: *Nam nos omnes, quibus est alicunde aliquis obiectus labos, omne quod est interea tempus, prius quam id rescitum est, lucro est.* Donatus: "Hac figura usus est etiam Tullius pro Murena (c. 12) *praetor quoque ne se pulchrum ac beatum putaret, ei quoque carmen compositum est.* Nam ille dativum casum subiecit, cum praeposuisset nominativum. Et totum Apollodori est, qui sic ait *OIΓAP ACICOYNIEΣ TON χPω CNOΦ ΔιeNTIKHKOTHC.*" H. e. *οἱ γὰρ ἀτυχοῦντες τὸν χρόνον διευτυχηκότες.* Apertum est post *ἀτυχοῦντες* plura intercidisse.

11 IV (4, 445)

Οὕτως ἕκαστός ἐστι διὰ τὰ πράγματα
ἢ σεμνὸς ἢ ταπεινός.

Terentius III 3 20: *Omnibus nobis ut res dant sese, ita magni atque humiles sumus.* Vbi Donatus haec Apollodori verba adscripsit: *οὕτως ἕκαστος διὰ τὰ πράγματα σεμνὸς ἦν καὶ ταπεινός.* Corrige ut supra vides, nisi malis *διὰ τὰ πράγματ' ἦν ἄρα —*

V (5, 113) 12

Terentius III 4 26 Callidemidem describens: ***Magnus rubicundus crispus crassus caesius.*** Ad quae Donatus: ***imperite Terentium de Myconio crispum dixisse aiunt, cum Apollodorus calvum dixerit, quod proprium Myconiis est. — Vnde etiam proverbium Graecum: Μυκόνιος φαλακρός.***

E N N E A

(4, 445) 13

Pollux X 152: *εἰ δὲ καὶ τῷ μαρσιπίῳ τις χρῆσθαι βούλοιτο, βοηθήσει αὐτῷ Ἀπολλόδωρος ὁ Καρύστιος εἰπὼν ἐν τῇ Ἐννέᾳ, μαρσίπιόν τι μικρόν.* Codd. *μαρσίππιον.* Pro ***Ἐννέᾳ*** fortasse *Ἐνναίᾳ* scribendum.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

I (4, 446) 14

Terentius Phorm. I 1 14: ***porro alio autem*** (munere Geta ferietur), ***ubi erit puero natalis dies; ubi initiabunt.*** Vbi Donatus Terentium Apollodorum sequutum dicit, apud quem legi, in insula Samothracum a certo tempore pueros initiari more Atheniensium.

II (4, 446) 15

Terentius I 2 37: ***nos otiosi operam dabamus Phaedriae.*** Donatus adscripsit haec Apollodori: *ΝΑλΚΕΙS δεσυνεμαλι μΕΟΑ.* Codex Antwerpensis: *Αναλκεις δε συνεμαμμωα εναργης δε συνεπιμελομεθα.* I. e. *συνεπεμελούμεθα.*

III (4, 446) 16

Terentius I 2 41: ***intervenit adolescens quidam lacrumans.*** Donatus: "Apollodorus tonsorem ipsum nuntium facit, qui dicat se nuper puellae comam ob luctum abstulisse: quod scio mutasse Terentium, ne externis moribus spectatorem Romanum offenderet."

IV (4, 446) 17

Terentius III 1 18: ***quantus metus est mihi, venire huc salvom nunc patruum.*** Sunt Antiphonis verba, ad quae Donatus: "non optat salvom patruum venire secundum Apollodorum, et ostendit non congruere salutem eius cum commodo suo."

V (4, 446) 18

Terentius III 2 21: ***immo id quod aiunt auribus teneo lupum. nam neque quomodo a me amittam invenio, neque uti retineam scio.*** Vbi Donatus fortasse ex Apollodoro adscripsit

graecum proverbium, *τῶν ὄπτων ἔχω τὸν λύκον· οὔτ' ἔχειν, οὔτ' ἀφεῖναι δύναμαι.*

19 VI (4, 447)

Terentius III 3 30: ***solus est homo amico amicus.*** Donatus ex Apollodoro affert:

* * * *μόνος ἐπίσταται φιλεῖν φίλους.*

Guyetus tentat: *μόνος φιλεῖν γὰρ τοὺς φίλους ἐπίσταται.*

20 VII (4, 447)

Terentius IV 1 9: ***senectus ipsa est morbus.*** Donatus ex Apollodoro: *τὸ γῆρᾶς ἐστιν αὐτὸ νόσημα.*

21 VIII (4, 447)

Terentius IV 1 21: ***nam ego meorum solus sum meus.*** Donatus ex Apollodoro:

ἐγὼ γάρ εἰμι τῶν ἐμῶν ἐμὸς μόνος.

Ita Guyetus pro *ἐγὼ γάρ εἰμι μόνος τῶν ἐμῶν ἐμός*. Grotius *ἐγὼ μόνος γάρ εἰμι τῶν ἐμῶν ἐμός*. Cfr. Priscianus XVII 17: ***Persius "vindicta postquam meus a praetore recessi" et Euripides, ἐγὼ δ' ἐμός εἰμι.*** Idem XII 2. XVII 26.

22 IX (4, 447)

Terentius IV 3 42: ***parvi rettulit non suscepisse: inventa est quae dotem petat.*** Donatus: "in graeca fabula senex hoc dicit, quid interest me non suscepisse filiam, si modo dos dabitur alienae?" Neć multo post vs. 63: ***sexcentas dicas***, ubi Donatus Apollodorum *μυρίας δίκας* posuisse observat.

Praeterea commemoratur Apollodorus a Donato ad fabulam Terentianam II 1 51 et II 2 25.

I E P E I A

23 (4, 447)

Καινόν γέ φασι Χαιρεφῶντ' ἐν τοῖς γάμοις
ὡς τὸν Ὀφέλαν ἄκλητον εἰσδεδυκέναι.
σπυρίδα λαβὼν γὰρ καὶ στέφανον, ὡς ἦν σκότος,
φάσκων παρὰ τῆς νύμφης ὁ τὰς ὄρνεις φέρων
ἥκειν, δεδείπνηκ', ὡς ἔοικεν, εἰσπεσών.

Athenaeus VI p. 243 d de Chaerephonte parasito disserens: *Ἀπολλόδωρος δ' ὁ Καρύστιος ἐν Ἱερείᾳ Καινόν γε κτλ.* Vs. 1 Casaubonus *καὶ νῦν γε*. Pro *φασι Χαιρεφῶντ'* B habet *φησὶ Χαιρεφῶν*. Si sana est edita lectio, non de ipso Chaerephonte haec dici existimandum est, sed de alio quodam homine Chaerephontis mores et institutum aemulante. Itaque dicere potuit

poeta *novum Chaerephontem* in convivium irrepsisse. Nomen hominis in superioribus indicatum fuisse probabile est. Vs. 2 *Ὀφέλαν*. Ita P et B, nisi quod hic *Ὄφελαν*. VL *ὀφέλλαν*. A *ὀφελ' ἄν*.

ΠΡΟΙΚΙΖΟΜΕΝΗ Η ΙΜΑΤΙΟΠΩΛΙΣ

(4, 448)

Πλὴν τό γ' οἰνάριον πάνυ
ἦν ὀξὺ καὶ πονηρόν, ὥστ' ἠσχυνόμην.
τὰ λοιπὰ μὲν γὰρ ὀξαλείους χωρία
συκᾶς φέρει, τοὐμὸν δὲ καὶ τὰς ἀμπέλους.

Athenaeus III p. 76 a: *ὀξαλείων δὲ σύκων οὕτως καλουμένων μνημονεύει Ἡρακλέων ὁ Ἐφέσιος καὶ Νίκανδρος ὁ Θυατειρηνός, παρατιθέμενοι Ἀπολλοδώρου τοῦ Καρυστίου ἐκ δράματος Προικιζομένης ἢ Ἱματιοπώλιδος τάδε Πλὴν κτλ.* Vs. 1 *γε* additum a Dindorfio. Vs. 2 cfr. Eustathius ad Odyss. *φ'* p. 1910 23. Vs. 3 libri *τοξαλίους*. Correxit praeeunte Grotio Dindorfius cll. Photio, *Ὀξάλειοι: συκαῖ τινες*.

Σ Φ Α Τ Τ Ο Μ Ε Ν Η

(4, 449)

Καλῶ δ' Ἄρη Νίκην τ' ἐπ' ἐξόδοις ἐμαῖς,
καλῶ δὲ Χαιρεφῶντα· κἂν γὰρ μὴ καλῶ,
ἄκλητος ἥξει.

Athenaeus VI p. 243 e: *Ἀπολλόδωρος δ' ὁ Καρύστιος (μνημονεύει τοῦ Χαιρεφῶντος) — ἐν Σφαττομένῃ Καλῶ κτλ.* Vs. 1 *Ἄρην* ante Dindorfium.

EX INCERTA FABVLA

(4, 449)

Οἶδ' ὅτι καλοῦμεν ῥάφανον, ὑμεῖς δ' οἱ ξένοι
κράμβην· γυναιξὶ διαφέρειν οἴει δὲ τί;

Athenaeus I p. 34 d: *ὅτι δὲ τὴν κράμβην ῥάφανον ἐκάλουν οἱ παλαιοὶ Ἀπολλόδωρος δηλοῖ ὁ Καρύστιος Οἶδ' ὅτι κτλ.* Vs. 1 pro *οἶδ'* BC *εἰ δ'*. Tum *ἡμεῖς* ante Dalecampium.

APOLLODORVS

ΑΔΕΛΦΟΙ

1 I (4, 450)

Ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος
καὶ σεμνός, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων·
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ
εἶναι πίθηκον. ὦ ταλαιπώρου βίου.

Stobaeus Flor. in Comparatione vitae et mortis CXXI 13 cum lemmate Ἀπολλοδώρου Ἀδελφῶν.

ΑΦΑΝΙΖΟΜΕΝΟΣ

2 (4, 450)

Στρατιώτην ἔργον ἄχρι γήρως λαβεῖν
ἔστιν διευτυχηκότ', ἂν μὴ δειλὸς ᾖ.

Stobaeus Flor. LIII 4 cum lemmate Ἀπολλοδώρου ἐξ Ἀφανιζομένου.

ΓΑΛΑΤΑΙ

3 (4, 451)

Τοῖς γὰρ μεριμνῶσίν τε καὶ λυπουμένοις
ἅπασα νὺξ ἔοικε φαίνεσθαι μακρά.

Stobaeus Flor. XCIX 26 cum lemmate Ἀπολλοδώρου Γάλακτος. V. Hist. crit. p. 467.

ΔΙΑΜΑΡΤΑΝΩΝ

4 I (4, 451)

Ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν,
νυνὶ δ' ὅταν γέροντος ἐκφορὰν ἴδω,
χλάω· πρὸς ἐμὲ γάρ ἐστι τοῦτ', ἐκεῖνο δ' οὔ.

Stobaeus Flor. CXIX 14 cum lemmate Ἀπολλοδώρου ἐκ Διαμαρτάνοντος. Vs. 3 libri χλαίω. Tum legebatur τοῦτο κεῖν' ὁδοῦ. Trinc. τοῦτ' ὀκεῖν' ὁδοῦ. Tyrwhittus τοῦτο κεῖνο δ' οὔ. Perfecit emendationem Dobraeus.

5 II (4, 451)

Antiatticista p. 101 1. Καθίσω: καθεδοῦμαι. Ἀπολλόδωρος Διαμαρτανούσῃ. V. Hist. crit. p. 467.

ΚΙΘΑΡΩΙΔΟΣ

(4, 451) 6

Οὐ πανταχοῦ Φρύξ εἰμι· τοῦ ζῆν ἢν ὁρῶ
κρεῖττον τὸ μὴ ζῆν, χρήσομαι τῷ κρείττονι.

Stobaeus Flor. CXXI 14 cum lemmate *Ἀπολλοδώρου ἐκ Κιθαρῳδοῦ.* Vs. 1 pro *τοῦ* cod. A *τήν.* Pro *ἢν* malim *ἄν.* Ceterum cfr. Tertull. de Anim. p. 279 B *Comici Phrygas timidos illudunt.* Vs. 2 libri *κρεῖσσον.* Ibid. *χρήσομαι* Gaisf. e libris. Vulgo *χρησόμεθα.*

ΛΑΚΑΙΝΑ

I (4, 452) 7

Μὴ καταφρόνει, Φιλῖν', ἐθῶν γεροντικῶν,
οἷς ἔνοχος, εἰς τὸ γῆρας ἂν ἔλθῃς, ἔσει.
ἀλλὰ μέγα τοῦθ' οἱ πατέρες ἡλαττώμεθα·
ὑμεῖς μὲν ὠνειδίσατ', ἐάν τι μὴ ποιῇ
ὁ πατὴρ προθύμως, οὐ γέγονας αὐτὸς νέος;
τῷ δὲ πατρὶ πρὸς τὸν υἱόν, ἂν ἀγνωμονῇ,
οὐκ ἔστιν εἰπεῖν, οὐ γέγονας αὐτὸς γέρων;

Stobaeus Flor. CXVI 35. Vs. 1 ante Grotium *φιλεῖν.* Ib. scripsi *ἐθῶν* pro vulgato *ἐτῶν,* quod cur ferri non possit exposui in Praefatione ad Menandrum p. XVIII. Vs. 3 legebatur *τοῦθ' οὗ πατέρες.* Correxi l. l. *τοῦθ' οἱ πατέρες,* quod nunc Gaisfordi codd. confirmant. Vs. 4 *ὑμεῖς μὲν* codd. et Grotius pro vulgato *ἡμεῖς.* Vs. 5 legebatur *πρό θ' ἡμῶν.* Codd. *πρόθ' ὑμῶν.* Scripsi *προθύμως.* V. Praefat. Menandri p. XIX. Vs. 6 legebatur *ἐάν.*

II (4, 452) 8

Φυσικόν γε τοῦθ'· ἕκαστος ἐν ταῖς ἀτυχίαις
ἥδιστα πρὸς τοὺς ὁμοπαθεῖς ὀδύρεται.

Stobaeus Flor. CXIII 7. Vs. 1 *γέ* addidi. *ἕκαστος* pro *ἕκαστον* Grotius. Vs. 2 *ἥδιστα πρὸς τοὺς ὁμοπαθεῖς.* Vulgo *ἥδιστα τοῦθ' ὃς τοὺς ὁμοπαθεῖς.* A *ἥδιστα τοῦθ' ὃ τοὺς ὁμοιοπαθεῖς.*

ΠΑΙΔΙΟΝ

I (4, 453) 9

Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,
ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

Stobaeus Flor. CX 2 *Ἀπολλοδώρου ἐκ Παίδων.*

10 II (4, 453)

Ταχύ γε στρατιώτης γέγονας ἀντ' ἐλευθέρου.

Stobaeus Flor. LIII 7 *Ἀπολλοδώρου Παιδίῳ*. Pro *γε* A et B *δέ*.

ΠΑΡΑΛΟΓΙΖΟΜΕΝΟΙ

11 (4, 453)

Οὐ δεῖ λέγειν γὰρ μακάριον τὸν χρήματα
ἔχοντα πλεῖστα, τὸν δὲ μὴ λυπούμενον.

Stobaeus Flor. XCIX 17 cum lemmate *Ἀπολλοδώρου Παραλογιζόμενοι*. Vs. 1 *γὰρ* additum a Grotio.

ΣΥΝΕΦΗΒΟΙ

12 (4, 453)

Σχιστὸν χιτωνίσκον τίν' ἐνδέδυκας;

Ammonius Differ. verb. p. 133: *σχιστὸς δὲ ἀρσενικῶς χιτὼν γυναικεῖος. Ἀπολλόδωρος Συνεφήβοις Σχιστὸν χιτωνίσκον τινὰ ἐνδέδυκας.*

INCERTARVM FABVLARVM FRAGMENTA

13 I (4, 454)

Δεῖ τὸν ἀκροατὴν καὶ συνετὸν ὄντως κριτὴν
πρὸ τοῦ λεγομένου τὸν βίον διασκοπεῖν,
ποῖός τις ὁ λέγων καὶ πόθεν, καὶ τὴν ἀκμὴν
ἐκ παιδὸς αὐτοῦ πρὸς τί καταθέμενος.
αὐτοῦ προδότης κακός τε τῆς ὥρας φύλαξ
μάλισθ' ὁ τοιοῦτος ἀνατρέπει πᾶσαν πόλιν.
οὐδὲν γὰρ αἰσχρόν ἐστιν αὐτὸν ἀποτυχεῖν.
πράττουσι πάντα· τὴν γὰρ αἰσχύνην πάλαι
πᾶσαν ἀπολωλέκασι καθ' ἑτέρας θύρας.
ὅθεν ἐπιχειρεῖ πάντ' ἀπηρυθριακότως
ἕκαστος αὐτῶν, πρὸς δὲ πάντ' ἐστὶν θρασύς,
ψεύδετ', ἐπιορκεῖ, μαρτυρεῖ, διχορραφεῖ,
κλέπτει, τελωνεῖ, ῥᾳδιουργεῖ· τὸ δὲ πέρας,
οὐ πόλιν ὅλην φυλὴν δὲ μαλακὸς ἀνατρέπει.
ἐπεὶ κατὰ μέρος τὰς πόλεις, ὦ φίλε Θέων —
ὑπὸ λαισποδιῶν γάρ εἰσιν ἀνατετραμμέναι —
σκόπει· νεῶν δὲ κατάλογον δόξεις μ' ἐρεῖν.

Stobaeus Flor. XLVI 15 in titulo *περὶ ἀρχῆς καὶ τοῦ ὁποῖον χρὴ εἶναι τὸν ἄρχοντα*. Vs 2 *πρὸ τοῦ λεγομένου* non intellego. Vs. 4 Grotius *πρὸς τί ἦν καταθέμενος*. Cod. B *πρὸς τί κἄτα*

ϑέμενος ὡς. Itaque scribendum videtur: *πρὸς τί κατατιϑέμενος· ὡς αὐτοῦ προδότης* etc. *quibus studiis ab ipsa pueritia iuventutem addixerit; nam* etc. Vs. 7 fortasse *ἐστι πάντων ἀποτυχεῖν πράττουσι πάντα.* Gesnerus *αὐτοῖς* pro *αὐτόν.* Vs. 9 ad *καϑ' ἑτέρας ϑύρας* cfr. Plutarch. Symp. p. 645e et Arist. Vesp. 398. Vs. 10 *ἀπερυϑριακότως* ante Halmium Lectt. Stob. p. 52 Vs. 14 Grotius *φυλὴν ὅλην πόλιν τε μαλακὸς ἀνατρέπει.* Iacobsius *ὅλην πόλιν φύρδην ὁ μαλακὸς ἀνατρέπει.* Quod sequens Gaisfordus tentat: *οὐ πόλιν ὅλην φύρδην* etc. cum interrogatione. Ne hoc quidem sufficit. Cod. A pro *οὐ* habet *αὐτοῦ.* B m s *οὖν.* Fortasse igitur *αὐτοῦ πόλιν φυλήν ϑ' ὁ μαλακὸς ἀνατρέπει,* ut *ὅλην* ante *φυλὴν* ex dittographia natum sit. Vs. 15 *Θέων* pro *ϑεῶ* Salmasius. Vs. 16 vulgo *λεπριδίων.* A m pr *λεσπριδίων.* Salmasius *λαισποδίων.* Debebat *λαισποδιῶν.* Vs. 17 *νεῶν καταλόγων* B m p.

II (4, 455) 14

Εἰς οἰκίαν ὅταν τις εἰσίῃ φίλου,
ἔστιν ϑεωρεῖν, Νικοφῶν, τὴν τοῦ φίλου
εὔνοιαν εὐϑὺς εἰσιόντα τὰς ϑύρας.
ὁ ϑυρωρὸς ἱλαρὸς πρῶτόν ἐστιν, ἢ κύων
ἔσανε καὶ προσῆλϑ', ὑπαντήσας δέ τις
δίφρον εὐϑέως ἔϑηκε, κἂν μηδεὶς λέγῃ
μηδέν.

Athenaeus I p. 3c: *κατὰ γὰρ τὸν κωμῳδιοποιὸν Ἀπολλόδωρον Εἰς οἰκίαν ὅταν τις κτλ.* Vs. 3 *εἰσιόντα* BC *εἰσιόντι* VL. Vs. 5 "*ἔσανε* C, sed videtur primum *ἔσηνε* dare voluisse librarius." *Schweighaeuserus.* Tum libri *προσῆλϑεν.* Sequentia correxit Grotius Excerptis p. 807. C *ὑπάντησέ τις.* L *ὑπήντησέ τις.* V *ὑπάντησέ τις.* Possis etiam *προσῆλϑ', ὑπήντησεν δέ τις* et vs. 6 *εὐϑέως τ' ἔϑηκε.*

III (4, 456) 15

Μισῶ τύχην συνοῦσαν ἀτυχεῖ σώματι·
ὅστις γὰρ εὐπορῶν, παρὸν ζῆν ἡδέως,
κακῶς διάγει, τί ἄν τις ἄλλ' ἢ τῇ τύχῃ
μέμφοιτο, διότι δυστυχεῖ συνδυστυχεῖ.

Stobaeus Flor. XVI 2. Vs. 4 AB m s *συνδυστυχεῖ.* A m pr *συντύχει.* N et Trinc. *σὺν τύχῃ.* Quod proxime his versibus apud Stobaeum subiicitur fragmentum "*τοῦ αὐτοῦ*", ut in margine scriptum est, *ἐγὼ γὰρ οὐ τὸν πλοῦτον ἴδοιμ' ἂν ὅσος*

ἐστίν, ἀλλ' ὅστις αὐτὸν κέκτηται, εἰ ὑπέρτερός ἐστιν ὧν ἔχει, non est Apollodori poetae comici locus, sed nescio cuius scriptoris prosarii.

16 IV (4, 456)

Οὐκ οἶδ' ὅτῳ πέποιθας ἀργυρίῳ, πάτερ,
ὁ καιρὸς ὁ τυχὼν τοῖς μὲν οὐ κεκτημένοις
ἔδωκε, τῶν κεκτημένων δ' ἀφείλετο.

Stobaeus Flor. CV 49.

17 V (4, 456)

Χαλεπὸν τύχη 'στὶ πρᾶγμα, χαλεπόν· ἀλλὰ δεῖ
αὐτὴν φέρειν κατὰ τρόπον ὥσπερ φορτίον.

Stobaeus Flor. CVIII 36. Legebatur *τύχης ιι.* Correxit Porsonus. Cod. B *τύχης τό.*

18 VI (4, 457)

Μάστιγος οὔσης ὅρκον οἰκέτῃ δίδως;

Stobaeus Flor. XXVII 7. Legebatur *οὐκέτι.* Sed *οἰκέτῃ* praeter codices et Grotium iam margo Gesnerianus.

19 VII (4, 457)

Χρόνον γὰρ εἰς τὰ πράγματ' ἂν λάβῃς,
ἅπαντα λήξει καὶ κατασταλήσεται.

Stobaeus Flor. XXIX 43. Cod. B a manu secunda *βραχὺν* addit in fine primi versus, quae perinepta est interpolatio.

20 VIII (4, 457)

Antiatticista p. 94 5. *Ἐργοδοτῶν: ὡς κἂν τῇ συνηθείᾳ. Ἀπολλόδωρος.* Phrynichus Ecl. att. p. 344: *ἐργοδότης οὐ κεῖται, τὸ δὲ ἐργοδοτεῖν παρά τινι τῶν νεωτέρων κωμῳδῶν, οἷς καὶ αὐτοῖς οὐ πειστέον.*

ANAXIPPVS

ΕΓΚΑΛΥΠΤΟΜΕΝΟΣ

1 (4, 459. 460)

Σόφων Ἀχαρνὰν καὶ Ῥόδιος Δαμόξενος
ἐγένονθ' ἑαυτῶν συμμαθηταὶ τῆς τέχνης·
ἐδίδασκε δ' αὐτοὺς Σικελιώτης Λάβδακος.
οὗτοι τὰ μὲν παλαιὰ καὶ θρυλούμενα
ἀρτύματ' ἐξήλειψαν ἐκ τῶν βιβλίων,

καὶ τὴν θυείαν ἠφάνισαν ἐκ τοῦ μέσου,
οἷον λέγω κύμινον, ὄξος, σίλφιον,
τυρόν, κορίαννον, οἷς ὁ Κρόνος ἀρτύμασιν
ἐχρᾶτο, πάντ' ἀφεῖλον εἶναί θ' ὑπέλαβον
τὸν τοῖς τοιούτοις παντοπώλην χρώμενον.
αὐτοὶ δ' ἔλαιον καὶ λοπάδα καινήν, πάτερ,
πῦρ τ' ὀξὺ καὶ μὴ πολλάκις φυσώμενον
ἐποίουν· ἀπὸ τούτου πᾶν τὸ δεῖπνον εὐτρεπές.
οὗτοί τε πρῶτον δάκρυα καὶ πταρμὸν πολὺν
ἀπὸ τῆς τραπέζης καὶ σίαλον ἀπήγαγον,
τῶν τ' ἐσθιόντων ἀνεκάθηραν τοὺς πόρους.
ὁ μὲν οὖν Ῥόδιος πιών τιν' ἅλμην ἀπέθανεν.
παρὰ τὴν φύσιν γὰρ τὸ ποτὸν ἦν. μάλ' εἰκότως.
ὁ Σόφων δὲ πᾶσαν τὴν Ἰωνίαν ἔχει,
ἐμὸς γενόμενος, ὦ πάτερ, διδάσκαλος.
καὐτὸς φιλοσοφῶ καταλιπεῖν συγγράμματα
σπεύδων ἐμαυτοῦ καινὰ τῆς τέχνης. Β. παπαῖ,
ἐμὲ κατακόψεις, οὐχ ὃ θύειν μέλλομεν.
Α. τὸν ὀρθρον ἐν ταῖς χερσὶν ὄψει βιβλία
ἔχοντα καὶ ζητοῦντα τὰ κατὰ τὴν τέχνην.
οὐδὲν χονδρεύουσι διαφέρω τἀσπενδίου.
γεύσω δ', ἐὰν βούλῃ, σὲ τῶν εὑρημένων.
οὐ ταὐτὰ προσάγω πᾶσιν ἀεὶ βρώματα.
τεταγμέν' εὐθύς ἐστί μοι πρὸς τὸν βίον·
ἕτερ' ἐστὶ τοῖς ἐρῶσι καὶ τοῖς φιλοσόφοις
καὶ τοῖς τελώναις. μειράκιον ἐρωμένην
ἔχον πατρῴαν οὐσίαν κατεσθίει·
τούτῳ παρέθηκα σηπίας καὶ τευθίδας
καὶ τῶν πετραίων ἰχθύων τῶν ποικίλων,
ἐμβαμματίοις γλαφυροῖσι κεχορηγημένα·
ὁ γὰρ τοιοῦτός ἐστιν οὐ δειπνητικός,
πρὸς τῷ φιλεῖν δὲ τὴν διάνοιάν ἐστ' ἔχων.
τῷ φιλοσόφῳ παρέθηκα κωλέαν, πόδας·
ἀδηφάγον τὸ ζῷον εἰς ὑπερβολήν
ἔστιν. τελώνῃ γλαῦκον, ἔγχελυν, σπάρον·
ὅταν ἐγγὺς ᾖ δ' ὁδ' ὕστερος, ἀρτύω φακῆν,
καὶ τὸ περίδειπνον τοῦ βίου λαμπρὸν ποιῶ.
τὰ τῶν γερόντων στόματα διαφορὰν ἔχει,
νωθρότερα πολλῷ δ' ἐστὶν ἢ τὰ τῶν νέων.
σίναπι παρατίθημι τούτοις, καὶ ποιῶ
χυλοὺς ἐχομένους δριμύτητος, τὴν φύσιν

ἵνα διεγείρας πνευματῶ τὸν ἀέρα.
ἰδὼν τὸ πρόσωπον γνώσομ' οὗ ζητεῖ φαγεῖν
ἕκαστος ὑμῶν.

Athenaeus IX p. 403 e: *τί τοιοῦτον ἐξεῦρεν ὁ παρὰ Ἀναξίππῳ* (libri *Ἀνθίππῳ*. Cfr. Hist. com. p. 470.) *τῷ κωμικῷ μάγειρος, ὃς ἐν τῷ Ἐγκαλυπτομένῳ τοιάδε ὠγκώσατο Σόφων κτλ.* Vs. 6 libri *θυίαν*. Vs. 8 respicit Eustathius p. 1257 34. Vs. 9 *πάντ' ἀφεῖλον* Dobraeus. Vulgo *πάντα φίλων τό*. Pro *φίλων* D apud Villebrunium *φ λον*. Vs. 10 *τὸν τοῖς* AV *τῶν τοῖς* P *τὸν τοῖσι* L. Dindorfius *τὸν τοῖς τοιούτοις*, quod sequutus sum. Vs. 11 *ἔλαιον*] P *ἔλαιο*. Vs. 16 *ἀνεκάθηραν* C *ἀνεκάθαραν* PVL. Vs. 21 *φιλοσοφῶ* ABC *φιλόσοφα* PVL. Vs. 22 *καινὰ*] *πολλὰ* P. Tum *παπαῖ* pro *παπαὶ* Dindorfius. Vs. 25 *τὰ* a Casaubono additum. Vs. 26 libri *οὐθέν*. Ibid. *χονδρεύουσι* ABP *χονδρεύουσοι* VL. Scribendum videtur *Διοδώρου*. V. Exercitt. phil. Spec. II p. 9. Ibid. libri *τ' Ἀσπενδίου*. Vs. 27 *βούλῃ, σὲ* Tyrwhittus pro *βούλησθε*. Vs. 29 *τεταγμένα* ABC *τὰ τεταγμέν'* PVL. Vs. 32 libri *τὴν πατρῴαν*. Delevit articulum Toupius. Vs. 36 et 37 affert Eustathius p. 1585 61. Vs. 39 *ἀδηφάγον* ABC *ἀδδηφάγον* PVL. Vs. 41 *ᾗ* Dindorfius: libri *ἦν*. Idem nunc etiam Dobraeus, ingeniose coniiciens *ὅταν ἐγγὺς ᾖ δ' ὁ σταυρὸς ἀρτύω φαχῆν*. Vs. 44 *νωθρότερα* Toupius: libri *νωθρότατα*. Vs. 45 libri *παρατίθημι σίναπι τούτοις*. Casaubonus *σίναπι τούτοις παρατίθημι*. Quem sequutus est Dindorfius; *τούτοις* cur loco suo moveatur nihil caussae video. Pro *σίναπι* Dindorfius *σίναπυ*. Vs. 46 coniunxi *τὴν φύσιν* cum sequentibus. Vs. 47 malim *πνευματιῶ*. Vs. 48 *οὗ* Toupius: libri *εἰ*.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

2 (4, 463)

Ἐάν με κινῇς καὶ ποιήσῃς τὴν χολήν
ἅπασαν ὥσπερ καλλιωνύμου ζέσαι,
ὄψει διαφέροντ' οὐδὲ ἓν ξιφίου κυνός.

Aelianus H. A. XIII 4 de callionymo pisce: *ἐπὶ τοῦ λοβοῦ τοῦ δεξιοῦ καθημένην ἔχει χολὴν πολλήν — καὶ μαρτυρεῖ τούτοις καὶ ὁ Μένανδρος — καὶ Ἀνάξιππος ἐν Ἐπιδικαζομένῳ Ἐάν με κινῇς κτλ.* Vs. 3 legebatur *διαφέρων τοῦ ἐγξιφίου*. Correxit Iacobsius diu ante Porsonum.

K E P A Y N O Σ

I (4, 464)

Ὁρῶ γὰρ ἐκ παλαίστρας τῶν φίλων
προσιόντα μοι Λάμιππον. Β. ἦ τοῦτον λέγεις,
τὸν πέτρινον; . . . . . .
. . . τοῦτον οἱ φίλοι καλοῦσί σοι
νυνὶ δι' ἀνδρείαν Κεραυνόν. Α. εἰκότως.
ἀβάτους ποιεῖν γὰρ τὰς τραπέζας οἴομαι
αὐτόν, κατασκήπτοντά γ' αὐταῖς τῇ γνάθῳ.

Athenaeus X p. 416 f: *Ἀνάξιππος Κεραυνῷ Ὁρῶ γὰρ κτλ.* Vs. 2 *ἦ* a Schweigh. additum. Vs. 3 indicavi lacunam. Ita vs. 4 servari potuit librorum scriptura. Elmsleius ad Euripidis Bacch. 10 haec ita exhibuit: *ἦ τοῦτον λέγεις | τὸν * * * ὃν οἱ φίλοι καλοῦσί σοι —;* Qui recte, opinor, haesit in cognomine *πέτρινος*, pro quo potius *πτερινὸν* hominem istum appellatum fuisse crediderim. Vs. 6 *ποιεῖν* abest a PV add. L. Vs. 7 *αὐταῖς* pro vulgato *αὐτῇ* Dindorfius ex C et Eustathio ad Iliad *λ'* p. 862 9. Fortasse tamen praestat *κατασκήπτοντα ταύταις*. Nam ABP *γ'* ante *αὐταῖς* omittunt.

II (4, 465)

Οἴμοι, φιλοσοφεῖς. ἀλλὰ τούς γε φιλοσόφους
ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον,
ἐν τοῖσι δ' ἔργοις ὄντας ἀνοήτους ὁρῶ.

Athenaeus XIII p. 610 f: *Ἐμφανίζει δ' ὑμῶν καὶ τὸ ἀνόητον Ἀνάξιππος ὁ κωμῳδιοποιός, ἐν Κεραυνουμένῳ λέγων οὕτως Οἴμοι φιλοσοφεῖς κτλ.* Versu primo *γε* Grotius. Libri *τε*.

III (4, 465)

Antiatticista p. 79. *Ἀποτετύχηται: ἀντὶ τοῦ ἀποτέτευχται. Ἀνάξιππος Κεραυνῷ.*

K I Θ A P Ω I Δ O Σ

I (4, 465)

Ζωμήρυσιν φέρ'· οἶσ' ὀβελίσκους δώδεκα·
κρεάγραν· θυείαν· τυρόκνηστιν παιδικήν·
στελεόν· σκαφίδας τρεῖς· δορίδα· κοπίδας τέτταρας·
οὐ μὴ πρότερον οἴσεις, θεοῖσιν ἐχθρὲ σύ,
τὸ λεβήτιον· τάχ τοῦ νίτρου· πάλιν ὑστερεῖς;
καὶ τὴν κύβηλιν τὴν ἀγωνιστηρίαν.

Athenaeus IV p. 169 b: *μαγειρικὰ δὲ σκεύη καταριθμεῖται Ἀνάξιππος ἐν Κιθαρῳδῷ οὕτως Ζωμήρυσιν κτλ.* Vs. 1 *φέρ'·*

οἷσ' Dobraeus. Vulgo *φέροις*. Vs. 2 *θυείαν* Schweigh. ex Eustathio ad Iliad. p. 872 12: *τυρόκνηστις μαγειρικὸν σκεῦος ἦν, καθά φησι* (sc. Athenaeus), *καὶ ἡ ζωμήρυσις καὶ οἱ ὀβελίσκοι καὶ ἡ κρεάγρα καὶ ἡ θυεία καὶ ὁ στελεὸς καὶ αἱ κοπίδες καὶ ἡ κύβηλις καὶ ἡ χύτρα.* VL *θυίαν*. P *θαννίαν*. Tum *παιδικὴν* haud dubie corruptum. Vs. 3 *δορίδα* L *διρίδα* ABP. "Omisit illam vocem C et cum eo Eustath. ad Iliad. (l. l.) sed idem ad Iliad. *β'* p. 184 8 Bas. idem vocabulum commemorans *μαγειρικαὶ τράπεζαι* interpretatur." *Schweighaeuserus*. Vs. 4 libri *νεύσεις*. Recte Villebrunius *οἴσεις*. Iacobsius *θήσεις*. Vs. 5 A *κἀκ τοῦ λήτρου*. B *κἀκ τοῦ χήτρου*. P *κἀκ τοῦ χύτρου* superscripto *η*. VL *κἀκ τοῦ χύτρου*. Quae correxi. Vs. 6 *κύβηλιν* AB et Eustathius. PVL *κύβηλον*. Illum cultrum autem quo sensu *ἀγωνιστήριον* appellet nemo adhuc docuit.

7 II (4, 466)

Pollux X 94: *καίτοι καὶ τὴν μυιοσόβην ἔν τε τοῖς Μενάνδρου Φιλαδέλφοις ἔστιν εὑρεῖν, καὶ ἐν Ἀναξίππου Κιθαρῳδῷ Μυιοσόβην λαβὼν παράστηθι ἐνθάδε.* Cod. Voss. *στάθητι*. Fortasse legendum *Καὶ μυιοσόβην λαβὼν παράστηθ' ἐνθάδε.*

ΦΡΕΑΡ

8 (4, 466)

Σὺ δὲ τὴν μέλην, Συρίσκε, ταυτηνὶ λαβών
ἔνεγκον ἐπὶ τὸ μνῆμ' ἐκείνῃ, μανθάνεις;
καὶ κατάχεον.

Athenaeus XI p. 486 e: *Μέλη. οὕτω καλεῖταί τινα ποτήρια, ὧν μνημονεύει Ἀνάξιππος ἐν Φρέατι λέγων οὕτως Σὺ δὲ τὴν κτλ.* Vs. 2 *ἔνεγκον* Porsonus: libri *ἔνεγκ'*. Tum *ἐκείνῃ* A *ἐκείνη* B *ἐκείνην* PV *ἐκείνης* L.

PHILIPPIDES

ΑΔΩΝΙΑΖΟΥΣΑΙ

1 I (4, 467)

Pollux V 100 de ornatu muliebri: *περὶ δὲ τοῖς στέρνοις αἰγίδας καὶ μασχαλιστῆρας. καὶ ἀναμασχαλιστῆρ, ὡς Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητὴς ἐν Ἀδωνιαζούσαις.* Codd. Salmasii *ἀναμασχαλιστήν.*

II III (4, 467) 2. 3

Antiatticista p. 86 12. *Γυναί: ἀντὶ τοῦ γυναῖκες. Φιλιππίδης Ἀδωνιαζούσαις. Φερεκράτης Κραπατάλοις τὴν γυνήν.* Idem p. 104 26. *Κατεύχεσθαι: ἐπὶ τοῦ ἀγαθοῦ, ἀντὶ τοῦ εὔχεσθαι. Φιλιππίδης Ἀδωνιαζούσαις.*

Α Μ Φ Ι Α Ρ Α Ο Σ

(4, 468) 4

Ὄστρει᾽, ἀκαλήφας καὶ λεπάδας παρέθηκέ μοι.

Athenaeus III p. 90 b: *τῆς μέντοι θαλασσίας ἀκαλήφης μνημονεύει καὶ Φιλιππίδης ἐν Ἀμφιαράῳ οὕτως Ὄστρει᾽, ἀκαλήφας κτλ.* Scripsi *ὄστρει᾽* pro *ὄστρε᾽*. Tum *καὶ* addidi praeeunte Dindorfio.

Α Ν Α Ν Ε Ω Σ Ι Σ

I (4, 468) 5

Ἔπειτ᾽ ἐπὶ τούτοις πᾶσιν ἦκ᾽ ὄρχεις φέρων
πολλούς. τὰ μὲν οὖν γύναια τἄλλ᾽ ἠκκίζετο,
ἡ δ᾽ ἀνδροφόνος Γνάθαιν᾽ ἀναγελάσασα δή;
καλοί γε, φησίν, οἱ νεφροί, νὴ τὴν φίλην
Δήμητρα. καὶ δύ᾽ ἁρπάσασα κατέπιεν,
ὥσθ᾽ ὑπτίους ὑπὸ τοῦ γέλωτος καταπεσεῖν.

Athenaeus IX p. 384 e: *καὶ ὄρχεις ἤσθιον, οὓς καὶ νεφροὺς ἐκάλουν. Φιλιππίδης ἐν τῇ Ἀνανεώσει Γναθαίνης τῆς ἑταίρας τὸ γαστρίμαργον ἐμφανίζων λέγει Ἔπειτ᾽ ἐπὶ κτλ.* Cfr. Eustathius ad Hom. p. 1231 41: *δοκοῦσι — ἀστείως καὶ οἱ ὄρχεις νεφροὶ κληθῆναι παρὰ τῷ εἰπόντι τὸ ἦκεν ὄρχεις φέρων πολλοὺς κτλ.* Vs. 3 *ἀναγελάσασα* scripsi pro *γελάσασα* et addidi *δή*. Porsonus *γελάσασ᾽ ἡδέως*.

II (4, 468) 6

Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ᾽ ἡδέως.
τὸ Πλάτωνος ἀγαθὸν δ᾽ ἐστὶ τοῦτο, Φειδύλε;
μὴ λαμβάνειν γυναῖκα, μηδὲ τῇ τύχῃ
διὰ πλειόνων αὐτὸν παραβάλλειν πραγμάτων.

Stobaeus Flor. LXVIII 6 cum lemmate *Φιλιππίδου Ἀνανεούσης*. Vs. 2 *ἀγαθὸν δ᾽ ἐστὶ* B. Vulgo deest *δ᾽*, quod A habet suprascriptum. Ib. Trinc. *φίλυδε*. Voss. Arsen. margo Gesn. *φίδυλε*. A *φειδυλε*. Scripsi *Φειδύλε*. Vs. 4 *προβάλλειν* A.

7 III (4, 469)

Ὅταν δ' ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος·
μάλιστα γὰρ οὕτω σώζεται τὸ συμφέρον.

Stobaeus Flor. I 13 cum lemmate *Φιλιππίδου Ἀνανέωσις*. V. Hist. crit. p. 472. Vs. 1 addidi δ'.

8 IV (4, 469)

Ψωμοκολακεύων καὶ παρεισιὼν ἀεί.

Athenaeus VI p. 262a: *Φιλιππίδης δ' ἐν Ἀνανεώσει Ψωμοκολακεύων κτλ.* Antiatticista p. 116 23. *Ψωμοκόλακες: Φιλιππίδης Ἀνανευούσῃ.* Photius, *Ψωμοκόλακες: Φιλιππίδης.*

ΑΡΓΥΡΙΟΥ ΑΦΑΝΙΣΜΟΣ

9 (4, 469)

Ἀλλ' ἔλεος ἐμπέπτωκέ τίς μοι τῶν ὅλων,
ὅταν ἀπορουμένους μὲν ἀνθρώπους ἴδω
ἐλευθέρους, μαστιγίας δ' ἐπ' ἀργυροῦ
πίνακος ἄγοντος μνᾶν τάριχον ἐνίοτε
δυοῖν ὀβολῶν ἔσθοντας ἢ τριωβόλου,
καὶ κάππαριν χαλκῶν τριῶν ἐν τρυβλίῳ
ἄγοντι πεντήκοντα δραχμὰς ἀργυρῷ·
πρότερον δὲ φιάλην ἦν ἀνακειμένην ἰδεῖν
ἐργῶδες. Β. ἀμέλει τοῦτο μὲν καὶ νῦν ἔτι·
ἂν γὰρ ἀναθῇ τις, εὐθὺς ἕτερος ἥρπασεν.

Athenaeus VI p. 230a: *Φιλιππίδης δ' ἐν Ἀργυρίου ἀφανισμῷ ὡς φορτικοῦ μέμνηται τοῦ τοιούτου* (argenteorum vasorum usum dicit) *καὶ σπανίου, ζηλουμένου δὲ ὑπό τινων νεοπλούτων μετοίκων Ἀλλ' ἔλεος κτλ.* Vs. 4 *τάριχον* scripsi pro *τάριχος* ex B. Vs. 5 Dindorfius *ὀβολοῖν*. Pro *δυοῖν* A *δυεῖν*.

Praeterea ad hanc fabulam referenda videntur Fragm. inc. fab. V et IX.

Α Υ Α Ο Ι

10 (4, 470)

Τοὺς δὲ πυριέφθας καὶ τὰ λάχανα ταῦτ' ἔχων.

Athenaeus XIV p. 658d: *πυριέφθων δὲ μνημονεύει — οὕτω δὲ καλεῖται τὸ πρῶτον γάλα — Φιλιππίδης ἐν Αὐλοῖς Τοὺς δὲ πυριέφθας κτλ.* Pollux VI 54: *Φιλιππίδης δὲ ἐν Αὐλοῖς καὶ πυρίεφθα εἴρηκεν.* "Schweighaeuserus corrigit *τὰ δὲ πυρίεφθα*, vel *ἔχων* in *ἔχειν* mutato *τοὺς δὲ πυρίεφθα*. In C omisso poetae versu est *πυριέφθα* (sic) *δὲ καλεῖται παρὰ Φιλιππίδῃ τὸ πρῶτον γάλα.*" Dindorfius.

ΒΑΣΑΝΙΖΟΜΕΝΗ

(4, 470) 11

Antiatticista p. 92 22. *Ἐπαναχάμψαι: ἐπαναστρέψαι. Φιλιππίδης Βασανιζομένῃ.*

ΛΑΚΙΑΔΑΙ

I (4, 470) 12

Κράτιστόν ἐστι τοῦτον ἐκτεμεῖν, γύναι,
τὸν δίφρον· ἄχρηστα παντελῶς τὰ σπαρτία·
ἕτερον δὲ καινὸν ἐμβαλεῖν αὐτῷ τόνον.

Pollux X 36 37: *καὶ μὴν τό γε τῇ κλίνῃ ἢ τῷ σκίμποδι ἐντεταμένον, ὡς φέρειν τὰ τυλεῖα, σπάρτα, σπαρτία, τόνος, χειρία. Φιλιππίδης δ' ἐν Λακιάδαις Κράτιστόν ἐστι κτλ.* Vs. 2 vulgo editur *ἄχρηστα παντελῶς οὕτως ἔχει τὰ σπάρτα.* Correxi haec eiectis verbis *οὕτως ἔχει.* Sequutus est Bekkerus.

II (4, 471) 13

Ὀρθῶς γε τὴν ῥύμην ὁδοιπεπορήκαμεν.

Pollux IX 38: *τάχα δ' ἂν εὕροις καὶ ῥύμην εἰρημένην — Φιλιππίδου (εἰπόντος) ἐν Φιλευριπίδῃ — καὶ Λακιάδαις Ὀρθῶς γε τήν κτλ.* Legebatur *ὡδοιπορήκαμεν.*

ΜΑΣΤΡΟΠΟΣ

(4, 471) 14

Antiatticista p. 80 32. *Ἀπόστασις: ἀντὶ τοῦ οἴνου ἀποθήκας ἔχουσα. Φιλιππίδης Μαστροπῷ.*

ΟΛΥΝΘΙΑ

(4, 471) 15

Οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ
εἰπεῖν τιν' ἐσθίοντα "μὴ κακῶς ἔχε",
πύκτῃ τ' ἐπιτιμᾶν οὐδὲν ἔργον μαχομένῳ,
αὐτὸν μάχεσθαι δ' οὐκ ἔτ' ἐστὶ ῥᾴδιον.
ἕτερόν τι τὸ λέγειν ἐστὶ τοῦ πεπονθέναι.

Stobaeus Flor. CXIII 17: *Φιλίππου Ὀλυνθιακῷ.* Vide Hist. crit. p. 341. Vs. 2 pro *ἐσθίοντα* Bernardus *εὐθενοῦντα.* Valckenarius *εὐσθενοῦντα.* Vs. 4 legebatur *αὐτὸν δὲ μάχεσθαι* et vs. 5 *τοῦ λέγειν ἐστὶ τὸ πεπονθέναι.* Correxit Porsonus.

ΣΥΜΠΛΕΟΥΣΑΙ

16 I (4, 472)

Ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδὲ ἕν.
Β. ἔπειτα φυσᾶν δυστυχὴς οὐκ ἠδύνω;

Athenaeus XV p. 700c: *ἄλλοι δ' ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα, οἱ δὲ τὴν ἔκ τινων ξύλων τετμημένων δέσμην.* — *Φιλιππίδης Συμπλεούσαις Ὁ φανὸς κτλ.* Cfr. Eustathius ad Hom. p. 1571, 13.

17 II (4, 472)

Ὅ τι ἂν ἔχῃς,
παραγώγιόν σ', ἂν ἐκφέρῃς, εἰσπράξομαι.

Pollux IX 30: *καὶ παραγώγιον τέλους ὄνομα, εἰ δεῖ πρὸς ἀπολογίαν τῆς κοινῆς χρήσεως παρέχεσθαι τὸ ἐν τῇ Φιλιππίδου Συνεκπλεούσῃ εἰρημένον Ὅταν ἐξῇς παραγώγιον ἂν ἐκφέρῃς, εἰσπράξομαι.* Correxit Bekkerus.

ΦΙΛΑΔΕΛΦΟΙ

18 (4, 472)

Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα,
Εὐριπίδου μνήσθητι, καὶ ῥᾴων ἔσει.
"οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ."
εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.

Stobaeus Flor. CVIII 10. His quattuor versibus Michael Hamartolus apud Boissonadum Anecd. IV p. 456 tacite usus est pro suis. Vs. 2 libri *ἔσῃ*. Vs. 4 pro *εἶναι δ' ὑπόλαβε* Michael *νόμιζε δ' εἶναι.*

ΦΙΛΑΘΗΝΑΙΟΣ

19 (4, 473)

Τοῖς συκαμίνοις δ' ἀντὶ τοῦ φύκους ὅλον
τὸ πρόσωπον.

Photius p. 547, 7. *Συκάμινα: τὰ μόρα. Φιλιππίδης Φιλαθηναίῳ Τοῖς συκαμίνοις — τὸ πρόσωπον. τὰ δὲ μόρα Δώριον μᾶλλον.* Post *τὸ πρόσωπον* sequebatur fortasse *ἐστι καταπεπλησμένον.*

ΦΙΛΑΡΓΥΡΟΣ

20 (4, 473)

Πλακοῦντες, ἐπιδορπίσματ', ὠά, σήσαμα·
ὅλην λέγοντ' ἂν μ' ἐπιλίποι τὴν ἡμέραν.

Athenaeus XIV p. 640 c: *τραγήματα Κράτης φησὶ Φιλιππίδην λέγειν ἐν Φιλαργύρῳ οὕτως Πλακοῦντες κτλ.* Vs. 2 *λέγοντ' ἂν* pro *λέγοντα* Iacobsius. Tum *ἐπιλίποι* VL *ἐπιλείποι* ABP.

ΦΙΛΑΡΧΟΣ

(4, 473) 21

Antiatticista p. 108 12. *Μαχρὸν ποιῶ: ἀντὶ τοῦ μηχύνω. Φιλιππίδης Φιλάρχῳ.* Eadem Suidas et Photius s. v. *μαχρὸν ποιῶ*, sed omisso fabulae titulo.

ΦΙΛΕΥΡΙΠΙΔΗΣ

I (4, 473) 22

Πόστην ὑφοδώσεις παιδάριον ῥύμην; τρίτην.

Pollux IX 38: *τάχα δ' ἂν εὕροις καὶ ῥύμην εἰρημένην — Φιλιππίδου (εἰπόντος) ἐν Φιλευριπίδῃ Πόστην ὑφ' ὁδοῦ ὡς εἶναι παιδάριον ῥύμην τρίτην. ὁ γὰρ στενωπὸς οὗτος ἐν Ἀθήνησιν ἦν.* Priora correxit Dobraeus Adv. I p. 578. Verba *ὁ γὰρ στενωπός* etc. si ipsa quoque Philippidis sunt, cui attribuunt Dobraeus et Bekkerus, memorabile est in attico scriptore *ἐν Ἀθήνησιν*, pro quo Dobraeus *Λαχιάδαισιν* tentat.

II (4, 474) 23

Οὗτος οἴεται
περισπάσειν κερμάτιον αὐτοῦ.

Pollux IX 88: *παρὰ μέντοι τοῖς Δωριεῦσι καὶ τὸ κέρμα* (pro quo vetustiores Attici *τὰ κέρματα* dicebant) *ἐστὶν εἰρημένον· εὕροι δ' ἄν τις αὐτὸ καὶ παρὰ τοῖς Ἀττικοῖς —. ἐν μέντοι τῷ Φιλίππου Φιλευριπίδῃ Οὗτος κτλ.* Legendum *Φιλιππίδου*, ut tacite edidit Bekkerus.

III (4, 474) 24

Antiatticista p. 112 31: *Περικατάληπτος γίνομαι. Φιλιππίδης Φιλευριπίδῃ.*

EX INCERTIS FABVLIS

I (4, 474. 475) 25

Ὁ τὸν ἐνιαυτὸν συντεμὼν εἰς μῆν' ἕνα,
ὁ τὴν ἀκρόπολιν πανδοκεῖον ὑπολαβών
καὶ τὰς ἑταίρας εἰσαγαγὼν τῇ παρθένῳ.
δι' ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους,
δι' ὃν ἀσεβοῦντα δ' ὁ πέπλος ἐρράγη μέσος,

τὰς τῶν θεῶν τιμὰς ποιοῦντ' ἀνθρωπίνας.
ταῦτα καταλύει δῆμον, οὐ κωμῳδία.

Servavit Plutarchus V. Demetr. tres priores versus cap. 26, reliquos quattuor cap. 12. Dicuntur autem ista de Stratocle. Coniunxi ad unum fragmentum. Vs. 3 propter *ὑπολαβών* ex duobus libris scripsi *εἰσαγαγών* pro vulgato *εἰσάγων*. Vs. 5 legebatur *ἀσεβοῦνθ' ὁ πέπλος*. Codd. *ἀσεβοῦντα ὁ πέπλος*. Interserui *δ'*.

26 II (4, 475)

Ἀποστρεφομένης τὴν κορυφὴν φιλεῖς μόλις.

Plutarchus Amat. p. 750 f: *τούτου οὐδέν ἐστιν ἐρωτικώτερος ὁ μὴ διὰ κέρδος ἀλλ' ἀφροδισίων ἕνεκα καὶ συνουσίας ὑπομένων γυναῖκα μοχθηρὰν καὶ ἄστοργον· ὥσπερ Στρατοκλεῖ τῷ ῥήτορι Φιλιππίδης ὁ κωμικὸς ἐπεγγελῶν ἐποίησεν Ἀποστρεφομένης κτλ.* Pro *φιλεῖς* suspicabar *φιλεῖ*. Sed fortasse ipsum Stratoclem Philippides in scenam produxit.

27 III (4, 475. 476)

Οὐκ ἔστιν "ἐμεθύσθην πάτερ" λέγοντα
"ἥμαρτον", ὥστε πρός σέ με συγγνώμης τυχεῖν.
ὁ γὰρ εἰς τὸν ἀσθενῆ βίᾳ τι, Πάμφιλε,
ποιῶν, ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ.

Stobaeus Flor. XVIII 21. In fine primi versus *νῦν* addidit Gesnerus, quo nihil proficitur. Fortasse *λέγοντά σε* et vs. 2 *ὡς τὸ πρόσθε* (*ἔμπροσθε*) *συγγνώμης τυχεῖν*. Cod. A *ὥστε πρὸς ἐμὲ συγγνώμης*.

28 IV (4, 476)

Τὰ ποτήρι' ἂν ἴδῃς τὰ παρεσκευασμένα,
ἅπαντα χρυσᾶ, Τρόφιμε, νὴ τὸν οὐρανόν,
ὑπερήφανα. ἐγὼ μὲν γὰρ ἐξέστην ἰδών.
κρατῆρες ἀργυροῖ, κάδοι μείζους ἐμοῦ.

Athenaeus XI p. 781 f de usu aureorum et argenteorum vasorum disserens: *Φιλιππίδης Τὰ ποτήρι' κτλ.* Partem loci affert Eustathius ad Hom. p. 1632 29. Vs. 3 forsan *ὑπερήφαν'· ἔγωγε*. Sed videntur hic plura esse corrupta. Vs. 4 *καὶ* ante *μείζους* delevit Schweigh. qui non male hunc locum e fabula *Ἀργυρίου ἀφανισμὸς* ductum esse suspicatur.

29 V (4, 476)

Αἰσχρὰν γυναῖχ' ἔγημας, ἀλλὰ πλουσίαν.
κἄθευδ' ἀηδῶς ἡδέως μασώμενος.

Stobaeus Flor. LXIX 8. Vs. 1 Trinc. *ἀλλ' οὐ*.

VI (4, 476) 30

Ὁ τραχύτατος δὲ συκοφάντης μνᾶς δύο
λαβὼν ἄπεισιν ἀρνίου μαλακώτερος.

Stobaeus Flor. II 10.

VII (4, 477) 31

Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.

Stobaeus Flor. CXXIV 21. Vide Hist. crit. p. 342 sq.

VIII (4, 477) 32

Ἅλύσιον εἶχε τετταράκοντ' ἄγον δραχμάς.

Pollux X 167: *ἡ δὲ ἅλυσις . . . ἐπὶ τοῦ γυναικείου κόσμου . . . Φιλιππίδης δὲ ἔφη Ἁλύσιον δὲ εἶχε τετταράκοντα δραχμὰς ἄγον.* Fortasse ex *Ἀργυρίου ἀφανισμῷ*. V. Hist. crit. p. 473.

IX (4, 477) 33

Athenaeus I p. 23 c: *ἀνακεῖσθαι δὲ φαμὲν ἐπὶ ἀνδριάντος. ὅθεν τοὺς ἐπὶ κατακειμένων χρωμένους τῇ λέξει διέσυρον . . . Φιλιππίδης Καὶ δειπνῶν ἀεὶ ἀνακείμενος παρ' αὐτόν. καὶ ἐπάγει πότερον ἀνδριάντας εἰστία;* Cfr. Herodianus Piers. p. 441.

X (4, 477) 34

Photius p. 238 5. *Λυχνοῦχον: τὸν κεράτινον φανὸν ἀπὸ τοῦ λύχνον ἐν αὐτῷ περιέχεσθαι. φανὸς δὲ ἡ ἐκ ξύλων λαμπάς. Φιλιππίδης.* Integrum Philippidis locum servavit fortasse Athenaeus XV p. 699. V. Hist. crit. p. 529.

XI (4, 477) 35

Photius p. 369 26. *Παιδισκάριον: κοράσιον δ' οὐ λέγεται, ἀλλὰ καὶ κεκωμῴδηκεν Φιλιππίδης ὡς ξενικόν.* Macedonicum esse docet schol. B ad Hom. Iliad. *ὑ* 404.

XII (4, 478) 36

Phrynichus Epit. p. 363. *Ἐξαλλάξαι: τὸ τέρψαι καὶ παραγαγεῖν εἰς εὐφροσύνην, φυλαττόμενον χρὴ οὕτω λέγειν· οὐ γὰρ χρῶνται οἱ δόκιμοι. Φιλιππίδης δὲ καὶ Μένανδρος αὐτῷ χρῶνται.*

XIII XIV (4, 478) 37. 38

Pollux VII 188: *κοσκινομάντεις δὲ εἴρηκε Φιλιππίδης.* Antiatticista p. 113 33. *Συνεπαινεῖν: ἀντὶ τοῦ συγκατατίθεσθαι. Φιλιππίδης.*

XV (4, 478) 39

Aelianus V. H. XII 31: *τί δέ; οὐκ ἐκεῖνα τοῖς Ἕλλησι*

τρυφῆς ἀπόδειξις; μύρῳ γὰρ οἶνον μιγνύντες οὕτως ἔπινον καὶ ὑπερησπάζοντο τὴν τοιαύτην χρᾶσιν, καὶ ἐκαλεῖτο ὁ οἶνος μυρρινίτης. μέμνηται δὲ αὐτοῦ Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητής. Pro *μυρρινίτης* Philippides scripsit haud dubie *μυρίνης*.

XVI (4, 478)

Eustathius ad Iliad. p. 73 42: *κατὰ δὲ Ἡρωδιανὸν καὶ τάριχος ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. φέρει δ' ἐκεῖνος καὶ χρήσεις ἀμφοῖν. Μένανδρος* (fr. 177) *ἐπέπασα ἐπὶ τὸ τάριχος ἅλας. Φιλιππίδης τυρούς τε καὶ ταρίχους.* Addidi *τε*.

De alio apud Stobaeum Flor. LXII 35 fragmento probabiliter ad Philippidem referendo vide ad Menandrum fragm. fab. inc. CLXXIX.

HEGESIPPVS

ΑΔΕΛΦΟΙ

(4, 479. 480)

Βέλτιστε, πολλοῖς πολλὰ περὶ μαγειρικῆς
εἰρημέν' ἐστίν. ἢ λέγων φαίνου τι δή
καινὸν παρὰ τοὺς ἔμπροσθεν ἢ μὴ κόπτ' ἐμέ.
Β. οὐκ ἀλλὰ τὸ πέρας τῆς μαγειρικῆς, Σύρε,
εὑρηκέναι πάντων νόμιζε μόνον ἐμέ.
οὐ γὰρ παρέργως ἔμαθον ἐν ἔτεσιν δυσίν
ἔχων περίζωμ', ἀλλ' ἅπαντα τὸν βίον
ζητῶν κατὰ μέρη τὴν τέχνην ἐξήτακα.
εἴδη λαχάνων ὅσ' ἐστί, βεμβράδων τρόπους,
φακῆς γένη παντοδαπά. τὸ πέρας σοι λέγω·
ὅταν ἐν περιδείπνῳ τυγχάνω διακονῶν,
ἐπὰν τάχιστ' ἔλθωσιν ἐκ τῆς ἐκφορᾶς,
τὰ βάπτ' ἔχοντες, τοὐπίθημα τῆς χύτρας
ἀφελὼν ἐποίησα τοὺς δακρύοντας γελᾶν.
τοιοῦτος ἔνδοθέν τις ἐν τῷ σώματι
διέδραμε γαργαλισμὸς ὡς ὄντων γάμων.
Α. φακῆν παρατιθείς, εἰπέ μοι, καὶ βεμβράδας;
Β. τὰ πάρεργά μου ταῦτ' ἔστιν· ἂν δὲ δὴ λάβω
τὰ δέοντα, καὶ τοὐπτάνιον ἁρμόσωμ' ἅπαξ,
ὅπερ ἐπὶ τῶν ἔμπροσθε Σειρήνων, Σύρε,
ἐγένετο, καὶ νῦν ταὐτὸ τοῦτ' ὄψει πάλιν·
ὑπὸ τῆς γὰρ ὀσμῆς οὐδὲ εἷς δυνήσεται

ἁπλῶς διελθεῖν τὸν στενωπὸν τουτονί·
ὁ δὲ παριὼν πᾶς εὐθέως πρὸς τὴν θύραν
ἑστήξετ' ἀχανής, προσπεπατταλευμένος,
ἄφωνος, ἄχρι ἂν τῶν φίλων βεβυσμένος
τὴν ῥῖν' ἕτερός τις προσδραμὼν ἀποσπάσῃ.
A. μέγας εἶ τεχνίτης. B. ἀγνοεῖς πρὸς ὃν λαλεῖς·
πολλοὺς ἐγὼ σφόδρ' οἶδα τῶν καθημένων,
οἳ καταβεβρώκασ' ἕνεκ' ἐμοῦ τὰς οὐσίας.

Athenaeus VII p. 290b: *ἀλαζονικὸν δ' ἐστὶ πᾶν τὸ τῶν μαγείρων φῦλον, ὡς καὶ Ἡγήσιππος ἐν Ἀδελφοῖς παρίστησι. παράγει δὲ μάγειρον λέγοντα Βέλτιστε, πολλοῖς κτλ.* Priora iterum apposuit Athen. IX p. 405 d. Vs. 2 *τί μοι* VL *τι λη* AB *τι δὴ* Schweighaeuserus. Vs. 3 *κόπτε με* VL *κόπτε ἐμὲ* AP *κόπτ' ἐμὲ* Schweigh. et Dindorfius. Vs. 4 *Σύρε* pro *εὖρε* Petitus. Vs. 5 libri *εὕρημα μόνον εἰδέναι τῶν νομιζομένων ἐμέ.* Casaubonus *εὑρηκέναι τὰ νῦν νόμιζε μόνον ἐμέ.* Valckenarius *εὑρημένον μόνον εἰδέναι νόμιζ' ἐμέ.* Dobraeus *εὑρηκέναι νόμισόν με τῶν* (*ὄντων*, vel *νυνί*, vel *ζώντων*, vel *πάντων*) *μόνον.* Elegi ex his quae commodissima videbantur. Vs. 6 *δυσὶν* pro *δυεῖν* Porsonus. Vs. 8 *ἐξήτακα* AC *ἐξήτασα* VL *ἐξήτηκα* BP. Vs. 9 C *μεμβράδων*, ut vs. 17 *μεμβράδας*. Ibid. *τρόπους* ABC *τρόπος* PVL Vs. 11—13 partim affert Eustath. p. 1604 27. Vs. 18 vulgo *ἐάν*. Dindorfius ex C *ἤν*. Ibid. *δὲ δὴ* VL *δὲ μὴ* ABP simplex *δὲ* C. Vs. 19 libri *τοὐπτανεῖον*. Hunc et sequentes octo versus affert Eustathius ad Odyss. *μ'* p. 1709 60. Vs. 20 *ἔμπροσθεν* Eustath. BP. Vs. 22 libri *ὀσμῆς γάρ*. Correxit Pierson. Vs. 26 *ἄχρι ἂν* BC *ἀχαριαν* A *ἄχρις ἂν* VL et Eustath. Ib. ante *τῶν* VL addunt *αὐτόν*, quo ABC et Eustathius carent.

ΦΙΛΕΤΑΙΡΟΙ

(4, 481) 2

Ἐπίκουρος ὁ σοφὸς ἀξιώσαντός τινος
εἰπεῖν πρὸς αὐτὸν ὅ τι ποτ' ἐστὶ τἀγαθόν,
ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν.
εὖ γ', ὦ κράτιστ' ἄνθρωπε καὶ σοφώτατε·
τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ' οὐδὲ ἕν
ἀγαθόν· πρόσεστιν ἡδονῇ γὰρ τἀγαθόν.

Athenaeus VII p. 279 d: *Ἡγήσιππος δ' ἐν Φιλεταίροις Ἐπίκουρος κτλ.* Vs. 6 *ἡδονῇ* Schweighaeuserus. Vulgo *ἡδονήν*.

SOSIPATER

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

(4, 482 — 484)

Οὐ παντελῶς εὐκαταφρόνητος ἡ τέχνη,
ἂν κατανοήσῃς, ἔστιν ἡμῶν, Δημύλε·
ἀλλὰ πέπλυται τὸ πρᾶγμα, καὶ πάντες σχεδόν
εἶναι μάγειροί φασιν, οὐδὲν εἰδότες.
ὑπὸ τῶν τοιούτων δ' ἡ τέχνη λυμαίνεται.
ἐπεὶ μάγειρον ἂν λάβῃς ἀληθινόν,
ἐκ παιδὸς ὀρθῶς εἰς τὸ πρᾶγμ' εἰσηγμένον,
καὶ τὰς δυνάμεις κατέχοντα καὶ τὰ μαθήματα
ἅπαντ' ἐφεξῆς εἰδόθ', ἕτερόν σοι τυχόν
φανήσεται τὸ πρᾶγμα. τρεῖς ἡμεῖς μόνοι
ἐσμὲν ἔτι λοιποί, Βοιδίων καὶ Χαριάδης
ἐγώ τε. τοῖς λοιποῖς δὲ προσπέρδου. Β. τί φής;
Α. ἐγώ. τὸ διδασκαλεῖον ἡμεῖς σώζομεν
τὸ Σίκωνος. οὗτος τῆς τέχνης ἀρχηγὸς ἦν.
ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν Σίκων,
ἔπειτα μετὰ ταῦτ' εὐθὺς ἀρχιτεκτονεῖν.
περὶ φύσεως κατεῖχε πάντας τοὺς λόγους·
ἐπὶ πᾶσι τούτοις ἔλεγε τὰ στρατηγικά.
πρὸ τῆς τέχνης ἔσπευδε ταῦθ' ἡμᾶς μαθεῖν.
Β. ἆρα σύ με κόπτειν οἷος εἶ γε, φίλτατε.
Α. οὐκ ἀλλ' ἐν ὅσῳ προσέρχετ' ἐξ ἀγορᾶς ὁ παῖς,
μικρὰ διακινήσω σε περὶ τοῦ πράγματος,
ἵνα τῷ λαλεῖν λάβωμεν εὔκαιρον χρόνον.
Β. Ἄπολλον, ἐργῶδές γ'. Α. ἄκουσον, ὠγαθέ.
δεῖ τὸν μάγειρον εἰδέναι πρώτιστα μέν
περὶ τῶν μετεώρων, τάς τε τῶν ἄστρων δύσεις
καὶ τὰς ἐπιτολάς, καὶ τὸν ἥλιον πότε
ἐπὶ τὴν μακράν τε καὶ βραχεῖαν ἡμέραν
ἐπάνεισι, κἀν ποίοισίν ἐστι ζῳδίοις.
τὰ γὰρ ὄψα φασὶ πάντα καὶ τὰ βρώματα
σχεδὸν ἐν περιφορᾷ τῆς ὅλης συντάξεως
ἑτέραν ἐν αὑτοῖς λαμβάνειν τὴν ἡδονήν.
ὁ μὲν οὖν κατέχων τὰ τοιαῦτα τὴν ὥραν ἰδών
τούτων ἑκάστοις ὡς προσῆκε χρήσεται·
ὁ δ' ἀγνοῶν ταῦτ' εἰκότως τυντλάζεται.
πάλιν τὸ περὶ τῆς ἀρχιτεκτονικῆς ἴσως

ἐθαύμασας τί τῇ τέχνῃ συμβάλλεται.
Β. ἐγῷδα θαυμάστ'. Α. ἀλλ' ὅμως ἐγὼ φράσω.
τοὐπτάνιον ὀρθῶς καταβαλέσθαι καὶ τὸ φῶς
λαβεῖν ὅσον δεῖ καὶ τὸ πνεῦμ' ἰδεῖν πόθεν
ἔστιν μεγάλην χρείαν τίν' εἰς τὸ πρᾶγμ' ἔχει.
ὁ καπνὸς φερόμενος δεῦρο κἀκεῖ διαφοράν
εἴωθε τοῖς ὄψοισιν ἐμποιεῖν τινα.
τί οὖν; ἔτι σοι δίειμι τὰ στρατηγικά . . .
ἔγωγε τὸν μάγειρον. ἡ τάξις σοφόν
ἅπανταχοῦ μέν ἐστι κἂν πάσῃ τέχνῃ,
ἐν τῇ καθ' ἡμᾶς δ' ὥσπερ ἡγεῖται σχεδόν.
τὸ γὰρ παραθεῖναι κἀφελεῖν τεταγμένως
ἕκαστα, καὶ τὸν καιρὸν ἐπὶ τούτοις ἰδεῖν,
πότε δεῖ πυκνότερον ἐπαγαγεῖν, καὶ πότε βάδην,
καὶ πῶς ἔχουσι πρὸς τὸ δεῖπνον, καὶ πότε
εὔκαιρον αὐτῶν ἐστι τῶν ὄψων τὰ μέν
θερμὰ παραθεῖναι, τὰ δ' ἐπανέντα, τὰ δὲ μέσως,
τὰ δ' ὅλως ἀποψύξαντα — ταῦτα πάντα δή
ἐν τοῖς στρατηγικοῖσιν ἐξετάζεται
μαθήμασιν. Β. τίς δή τι παραδείξας ἐμοί
τὰ δέοντ' ἀπελθὼν αὐτὸς ἡσυχίαν ἄγε.

Athenaeus IX p. 377 f: *Μέγας δ' ἐστὶ σοφιστὴς καὶ οὐδὲν ἧττων τῶν ἰατρῶν εἰς ἀλαζονείαν καὶ ὁ παρὰ Σωσιπάτρῳ μάγειρος ἐν Καταψευδομένῳ, λέγων ὧδε Οὐ παντελῶς κτλ.* Vs. 2 libri *Δήμυλε.* Vs. 4 *οὐδὲν* Dindorfius pro *οὐθέν.* Vs. 6 ante Grotium *ἐάν.* Vs. 10 *μόνοι* addidit Casaubonus. Vs. 13 fortasse *ἔγωγε· τὸ διδασκάλιον.* Alterum nisi de loco, in quo scholae habentur, non dicitur. Vs. 15 *Σίκων* addidit Grotius. Vs. 22 Iacobsius tentabat *μικρὸν διαμνήσω σε.* Vs. 23 *ἄκαιρον* V. Vs. 24 *ἐργῶδές γ'* pro *ἐργῶδες* Dindorfius. Vs. 30 et 31 *βρώματα σχεδὸν ἐν τῇ περιφορᾷ* ABP. Delevit articulum Dindorfius. VL omittunt *σχεδόν.* Poterit tamen retineri articulus, si vs. 30 *φασὶ* deleas et vs. 32 ex C scribas *λαμβάνει* pro *λαμβάνειν*, in hunc modum:

τὰ γὰρ ὄψα πάντα καὶ τὰ βρώματα σχεδόν
ἐν τῇ περιφορᾷ τῆς ὅλης συντάξεως
ἑτέραν ἐν αὑτοῖς λαμβάνει τὴν ἡδονήν.

Vs. 32 *αὑτοῖς* pro *αὐτοῖς* edidit Dindorfius. Vs. 34 C *προσήκει*, quod nescio an praestet. Vs. 38 *ἐγὼ δ' ἐθαύμασ'* AP *ἐγὼ δ' ἐθαύμασα* B *ἔγωγ' ἐθαύμασ'* VL. Iacobsius *ἐγὼ οὐκ* **ἐθαύμασ'. Sequutus sum Dindorfium. Vs. 39 libri *τοὐπτάνειον***

vel *τοὐπτανεῖον*. Ibid. B *καταβάλλεσθαι*. Vs. 40 *λἀβεῖν* pro *λαμβάνειν* Casaubonus. Vs. 43 *ὄψοισιν* Dobraeus. Libri *ἔψουσιν*. Vs. 44 *τί οὖν* Casaubonus. Libri *τοιοῦτον*. In C *τοιοῦτον* om. cetera autem usque ad vs. 47 ita scripta sunt: *ἔτι δίειμί σοι τὰ στρατηγικά. ἡ τάξις σοφὸν πανταχοῦ· καθ' ἡμᾶς δὲ πάνυ*. Lacunam indicavit Dindorfius. Vs. 45 *ἔγωγε* B *ἔχω γε* A *ἔχειν γε* PVL. Vs. 46 *ἅπανταχοῦ μὲν* AB *μὲν ἅπανταχοῦ* PVL. Vs. 47 *ἡγεῖτο* AP. Vs. 54 *δὴ* abest ab ABCP addunt VL. Vs. 56 pro *τίς δή τι* Casaub. *σὺ δῆτα*. Grotius *τί δ' εἶτα;* Neutrum ferri posse apparet.

EVPHRO

ΑΔΕΛΦΟΙ

(4, 486. 487)

Πολλῶν μαθητῶν γενομένων ἐμοί, Λύκε,
διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν,
ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
ἐν οὐχ ὅλοις δέκα μησί, πολὺ νεώτατος.
Ἄγις Ῥόδιος ὤπτιχεν ἰχθὺν μόνος ἄκρως·
Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἥψε τοῖς θεοῖς·
θρῖον τὸ λευκὸν οὑξ Ἀθηνῶν Χαριάδης.
ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ.
ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος φακῆν,
ἀπὸ συμβολῶν συνάγουσιν ἀρίστων πόρους . . .
οὗτοι μετ' ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
γεγόνασιν ἡμῶν ἑπτὰ δεύτεροι σοφοί.
ἐγὼ δ' ὁρῶν τὰ πολλὰ προκατειλημμένα,
εὗρον τὸ κλέπτειν πρῶτος, ὥστε μηδένα
μισεῖν με διὰ τοῦτ', ἀλλὰ πάντας λαμβάνειν.
ὑπ' ἐμοῦ δ' ὁρῶν σὺ τοῦτο προκατειλημμένον
ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ' ἔστι σόν.
πέμπτην ἔθυον ἡμέραν οἱ Τήνιοι,
πολιοὶ γέροντες, πλοῦν πολὺν πεπλευκότες,
λεπτὸν ἔριφον καὶ μικρόν. οὐκ ἦν ἐκφορά
Λύκῳ κρεῶν τότ', οὐδὲ τῷ διδασκάλῳ.
ἑτέρους πορίσασθαι δύ' ἐρίφους ἠνάγκασας·
τὸ γὰρ ἧπαρ αὐτῶν πολλάκις σκοπουμένων,
καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθών
ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν.

πολὺν ἐποίησας θόρυβον. οὐκ ἔχει νεφρόν,
ἔλεγον. ἔκυπτον οἱ παρόντες ἀποβολῇ.
ἔθυσαν ἕτερον. τοῦ δὲ δευτέρου πάλιν
τὴν καρδίαν εἶδόν σε καταπίνοντ᾽ ἐγώ.
πάλαι μέγας εἶ, γίνωσκε· τοῦ γὰρ μὴ χανεῖν
λύκον διακενῆς σὺ μόνος εὕρηκας τέχνην.
χορδῆς ὀβελίσκους ἡμέρας ζητουμένους
δύ᾽ ἐχθὲς ὠμοὺς εἰς τὸ πῦρ ἀποσβέσας,
καὶ πρὸς τὸ δίχορδον ἐτερέτιζες. ἠσθόμην
ἐκεῖνο δρᾶμα, τοῦτο δ᾽ ἐστὶ παίγνιον.

Athenaeus IX p. 379 d: *Εὔφρων — ἐν τοῖς Ἀδελφοῖς τῷ δράματι ποιήσας τινὰ μάγειρον πολυμαθῆ καὶ εὐπαίδευτον μνημονεύοντά τε τῶν πρὸ αὐτοῦ τεχνιτῶν καὶ τίνα ἕκαστος εἶχεν ἰδίαν ἀρετὴν καὶ ἐν τίνι ἐπλεονέκτει, ὅμως οὐδενὸς ἐμνήσθη τοιούτου ὧν ἐγὼ ὑμῖν πολλάκις τυγχάνω παρασκευάζων. λέγει δ᾽ οὖν οὕτως Πολλῶν μαθητῶν κτλ.* Vs. 5 *Ἄγις* L *Ἄργις* PV. Ibidem *ὤπτακεν* B. Scribendum videtur *ὤπτα μέν.* Vs. 7 *θρῖον* Casaubonus. Libri *ὅριον* et *οριον.* Vs. 8 propter *θρῖον τὸ λευκὸν* malim *ζωμὸς ὁ μέλας.* Vs. 10 *ἀρίστων πόροι* sunt sumptus prandiorum, et accusativus *πόρους* pendet a *συνάγουσιν.* Tum indicavi lacunam: excidit versus, in quo et nomen coqui et cibus ab eo inventus, denique verbum aliquod legebatur, a quo accusativi suspensi erant, e. c. *εὗρεν, ἔδειξεν, ἐδίδαξεν.* Vs. 18 *οἱ Τήνιοι πολιοὶ* receptum ex VL. Inediti ferè *οἱ τινι οἱ πολλοί.* Vs. 21 *Λύκῳ κρεῶν τότ᾽* Porsonus. Toupius *Λύκῳ τότε κρεῶν.* A *τότε λεύκῳ κρεῶν.* VL *τότε λευκοκρέων.* Vs. 23 *σκοπουμένων* Casaubonus. *σκοπούμενον* L *κοπούμενον* APV. Vs. 25 Dobraeus *τῷ νεφρῷ* et versu sequente *νεφρῷ.* Vs. 26 *ἔχει* Schweighaeuserus. Libri *εἶχε.* Vs. 28 libri *πάνυ.* Correxit Tyrwhittus. Vs. 30 Iacobsius *μάγος* pro *μέγας.* Vs. 33 *ἐχθὲς* AB *ἰχθῦς* PVL. Ibid. B *ἐς* pro *εἰς.* Pro *ἀποσβέσας* Casaubonus *ἀπέσβεσας.* Vs. 34 *πρὸς* B omittit, quem sequutus Fritzschius Quaest. Arist. I p. 282 pro *καὶ* scripsit *κατά.* Fortasse recte.

A I Σ X P A

(4, 489) 2

Μίδας δὲ κεστρεύς ἐστι· νῆστις περιπατεῖ.

Athenaeus VIII p. 307 e: *ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις — Εὔφρων Αἰσχρᾷ Μίδας δέ κτλ.*

ΑΠΟΔΙΔΟΥΣΑ

3 (4, 489)

Ἐπὰν δὲ καλέσῃ ψυγέα τὸν ψυκτηρίαν,
τὸ τευτλίον δὲ σεῦτλα, φακέαν τὴν φακῆν,
τί δεῖ ποιεῖν; σὺ γὰρ εἶπον. Β. ὥσπερ χρυσίου
φωνῆς ἀπότισον, Πυργόθεμι, καταλλαγήν.

Heracleon apud Athenaeum XI p. 503 a: *ὃν ἡμεῖς ψυγέα καλοῦμεν, ψυκτηρίαν τινὲς ὀνομάζουσιν· τοὺς δ' Ἀττικοὺς καὶ κωμῳδεῖν τὸν ψυγέα ὡς ξενικὸν ὄνομα. Εὔφρων ἐν Ἀποδιδούσῃ Ἐπὰν δὲ καλέσῃ κτλ.* Vs. 1 *τὸν* pro *τὴν* Casaubonus ex Eustathio p. 1632 13. Vs. 2 libri *τὸ σευτλίον δὲ τεῦτλα.* Correxit Schweighaeuserus. Ib. libri *φακέα*, quod correxi. Vs. 3 *σὺ* Schweighaeuserus. Libri *εὖ*. Vs. 4 pro *ἀπότισον* nescio an *ἀπότισαι* scribendum sit.

ΔΙΔΥΜΟΙ

4 I (4, 490)

Ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον,
πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά;

Stobaeus Flor. XV 2 cum lemmate *Εὔφρονος Διδύμων.* "Sic Froben. *Εὔφρονος* B. Nihil enotavi ex A. *Εὔφρονος ἐν Διδύμοις* Schow. *Euphronis in Didymis* Gesner. *Euphro Geminis* Grotius." *Gaisfordus.*

5 II (4, 490)

Ὦ Ζεῦ, τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχὺν
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς;

Stobaeus Flor. XCVIII 12 cum lemmate *Εὔφρονος Διδύμων.* Versu primo A *πάνθ'* pro *ποθ'*.

ΘΕΩΝ ΑΓΟΡΑ

6 (4, 491)

Καινοὺς πορίζου πρός με θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ 'πιορκῇς πολλάκις.

Stobaeus Flor. XXVIII 11 in titulo *περὶ ἐπιορκίας* cum lemmate *Εὔφρονος Θεῶν ἀγορᾶς.* Vs. 1 *πρὸς* ante *θεῶν* addidit Grotius, quem sequutus est Gaisfordus. Baileius Com. graec. I p. 76 *πρὸς σὲ τῶν θεῶν.*

Θ Ε Ω Ρ Ο Ι

(4, 491)

Λοβός τίς ἐστι καὶ ψύαι καλούμεναι·
ταύτας ἐπιτεμὼν πρὶν θεωρῆσαι μαθών.

Athenaeus IX p. 399 b: *μνημονεύει αὐτῶν (ψυῶν) καὶ Εὔ-φρων ὁ κωμικὸς ἐν Θεωροῖς Λοβός τίς ἐστι κτλ.*

Μ Ο Υ Σ Α Ι

(4, 491. 492)

Φοινικίδης δ' ὡς εἶδεν ἐν πλήθει νέων
μεστὴν ζέουσαν λοπάδα Νηρείων τέκνων,
ἐπίσχετ' ὀργῇ χεῖρας ἠρθισμένας·
τίς φησιν εἶναι δεινὸς ἐκ κοινοῦ φαγεῖν;
τίς ἐκ μέσου τὰ θερμὰ δεινὸς ἁρπάσαι;
ποῦ Κόρυδος, ἢ Φυρόμαχος, ἢ Νείλου βία;
ἴτω πρὸς ἡμᾶς, καὶ τάχ' οὐδὲν μεταλάβοι.

Athenaeus VIII p. 343 b de lurconibus famosi nominis dicens: *Εὔφρων δὲ ἐν Μούσαις Φοινικίδης δ' ὡς εἶδεν κτλ.* Vs. 1 *νέων* Schweighaeuserus. Libri *νεῶν*. Vs. 4 *φαγεῖν* AB *φυγεῖν* PVL. Vs. 6 *νίλλου βία* A *κοίλου βία* PVL *ὡς λουβία* B.

Π Α Ρ Α Δ Ι Δ Ο Μ Ε Ν Η

(4, 492)

Οὐμὸς διδάσκαλος δὲ μήτραν σκευάσας
παρέθηκε Καλλιμέδοντι, κἀσθίονθ' ἅμα
ἐποίησε πηδᾶν, ὅθεν ἐκλήθη Κάραβος.

Athenaeus III p. 100 d de *μήτρᾳ* agens: *Εὔφρων δ' ἐν Παραδιδομένῃ Οὐμὸς διδάσκαλος κτλ.*

Σ Υ Ν Ε Φ Η Β Ο Ι

(4, 492. 493)

Ὅταν ἐρανισταῖς, Καρίων, διακονῇς,
οὐκ ἔστι παίζειν, οὐδ' ἃ μεμάθηκας ποιεῖν.
ἐχθὲς κεκινδύνευκας· οὐδεὶς εἶχέ σοι
κωβιὸς ὅλως γὰρ ἦπαρ, ἀλλ' ἦσαν κενοί·
ἐγκέφαλος ἠλλοίωτο. δεῖ δέ, Καρίων,
ὅταν μὲν ἔλθῃς εἰς τοιοῦτον συρφετόν,
Δρόμωνα καὶ Κέρδωνα καὶ Σωτηρίδην,
μισθὸν διδόντας ὅσον ἂν αἰτήσῃς, ἁπλῶς
εἶναι δίκαιον, οὗ δὲ νῦν βαδίζομεν,
εἰς τοὺς γάμους, ἀνδροφόνον. ἂν τοῦτ' αἰσθάνῃ,

ἐμὸς εἶ μαθητὴς καὶ μάγειρος οὐ κακός.
ὁ καιρὸς εὐκτός· ὠφελοῦ. φιλάργυρος
ὁ γέρων. ὁ μισθὸς μικρός. εἴ σε λήψομαι
νῦν μὴ κατεσθίοντα καὶ τοὺς ἄνθρακας,
ἀπόλωλας. εἴσω πάραγε. καὶ γὰρ οὑτοσί
προσέρχεθ' ὁ γέρων. ὡς δὲ καὶ γλίσχρον βλέπει.

Athenaeus IX p. 377 d: *ὁ δ' ἐν τοῖς Εὐφρονος Συνεφήβοις μάγειρος ἀκούσατε οἷα παραινεῖ Ὅταν ἐρανισταῖς κτλ.* Vs. 5 malim *ὁ κέφαλος*. Vs. 8 libri *αἰτήσαις*. Correxit Dindorfius. Vs 15 *αὐτός*, quod libri ante *οὑτοσὶ* habent, praeeunte Dindorfio expunxi. Schweighaeuserus *πάραγε* delebat.

EX INCERTIS FABVLIS

11

I (4, 494)

Ἐγὼ μαθητὴς ἐγενόμην Σωτηρίδου,
ὃς ἀπὸ θαλάττης Νικομήδει δώδεκα
ὁδὸν ἀπέχοντι πρῶτος ἡμερῶν ποτε
ἀφύης ἐπιθυμήσαντι χειμῶνος μέσου
παρέθηκε νὴ Δί' ὥστε πάντας ἀναχραγεῖν.
Β. πῶς δὲ δυνατὸν τοῦτ' ἔστι; Α. θήλειαν λαβὼν
γογγυλίδα, ταύτην ἔτεμε λεπτὰ καὶ μακρά,
τὴν ὄψιν αὐτῆς τῆς ἀφύης μιμούμενος·
ἀποζέσας, ἔλαιον ἐπιχέας, ἅλας
δοὺς μουσικῶς, μήκωνος ἐπιπάσας ἄνω
κόκκους μελαίνης τὸν ἀριθμὸν δώδεκα,
περὶ τὴν Σκυθίαν ἔπαυσε τὴν ἐπιθυμίαν.
καὶ Νικομήδης, γογγυλίδα μασώμενος,
ἀφύης τότ' ἔλεγε τοῖς φίλοις ἐγκώμιον.
οὐδὲν ὁ μάγειρος τοῦ ποιητοῦ διαφέρει·
ὁ νοῦς γάρ ἐστιν ἑκατέρῳ τούτων τέχνη.

Athenaeus I p. 7 d: *Νικομήδει τῷ Βιθυνῶν βασιλεῖ ἐπιθυμήσαντι ἀφύης (μακρὰν δὲ καὶ οὗτος ἦν τῆς θαλάσσης) μάγειρός τις μιμησάμενος τὸ ἰχθύδιον παρέθηκεν ὡς ἀφύας. ὁ γοῦν παρ' Εὐφρονι τῷ κωμικῷ μάγειρός φησιν Ἐγὼ μαθητής κτλ.* Vs. 2 libri *θαλάσσης*. Vs. 5 *παρέθηκεν ἡδείας* BC *παρέθηκεν ἡδεῖς* VL. Correxi Praef. ad Menandum p. XX. Vss. 6—12 apud Suidam v. *ἀφύα* ita scripti leguntur: *θήλειαν λαβὼν γογγυλίδα ταύτην ἔτεμεν εἰς μακρὰ καὶ λεπτὰ τὴν ὄψιν τῆς ἀφύης μιμούμενος ἐπιζέσας ἔλαιον ἐπιχέας ἅλας, μήκωνας ἐπιπάσας, ἔλυσε τὴν ἐπιθυμίαν.* Vs. 7 "*ταύτην ἔτεμε λεπτὰ τὴν ὄψιν* BCD *ταύτην ἔτεμεν εἰς λεπτὰ σφόδρα τὴν ὄψιν* VL.

Veram scripturam Suida duce restituerunt Porsonus et Elmsleius ad Acharn. 300.” *Dindorfius.* Vs. 9 *ἀποζέσας* BC *ἀποζέσαι δ’* VL. Vs. 11 “*δώδεκα* V *δυώδεκα* L, quod retinuit Schweigh. de codd. tacens. Qui ex B mihi enotavit *ἀριθμόν*, videtur voluisse *ἀριθμὸν δώδεκα*: nam in *ἀριθμὸν* nihil varietatis est. Porsonus *κόκκους μελαίνης τετταράκοντα τὸν ἀριθμόν.*” *Dindorfius.* Suspicor commate post *μελαίνης* posito scribendum esse *τὸν ἀριθμὸν δὲ δώδεκα.* Vs. 12 *ἔγλυσε* V *ἐκλύσε* Basil. *ἔλυσε* L *ἔπανσε* Porsonus.

II (4, 495) 11

Οὐκ ἔστι μοιχοῦ μεῖζον οὐδὲ ἓν κακόν·
ἐν ταῖς γὰρ ἑτέρων βούλετ’ ἀτυχίαις τρυφᾶν.

Stobaeus Flor. VI 21 cum lemmate *Εὐφρονος.*

MACHO

AGNOIA

(4, 496) 1

Ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης.
τοῦτ’ εἴτε πρῶτοι Μακεδόνες τοῖς Ἀττικοῖς
κατέδειξαν ἡμῖν, εἴτε πάντες οἱ θεοί,
οὐκ οἶδα· πλήν γ’ ὅτι μουσικωτάτου τινός.

Athenaeus XIV p. 664 a de mattya, delicatissimo edulio, disserens: *ἐποίησε δὲ καὶ οὗτος* (Machon) *ἐν δράματι Ἀγνοίᾳ ταυτί Ἥδιον οὐδέν κτλ.* Vs. 3 *κατέδειξαν* L. Ceteri *κατεδίδαξαν.* Vs. 4 *πλήν γ’ ὅτι* Schweighaeuserus. Libri *πλὴν ἔστι γε.* Post *μουσικωτάτου τινὸς* sequebatur fortasse *τοῦτ’ ἔστιν εὕρημ’ ἀνδρός*, vel *εὑρήματ’ ἀνδρός ἐστι.*

EPISTOLA

(4, 496. 497) 2

Ὀψοφάγος εἰμί. τοῦτο δ’ ἐστὶ τῆς τέχνης
θεμέλιος ἡμῖν. προσπεπονθέναι τι δεῖ
τὸν μὴ τὰ παρατεθέντα λυμανούμενον.
πεφροντικὼς αὑτοῦ γὰρ οὐκ ἔσται κακός.
ἔπειτ’ ἐπὰν ᾖ καθαρὰ τἀσθητήρια,
οὐκ ἂν διαμάρτοις. ἔψε, καὶ γεύου πυκνά.
ἅλας οὐκ ἔχει, προσένεγκ’. ἔτ’ ἐπιδεῖταί τινος
ἑτέρου, πάλιν γεύου σὺ μέχρι ἂν ἡδὺς ᾖ,

ὥσπερ λύραν ἐπίτειν' ἕως ἂν ἁρμόσῃ·
εἶθ' ὁπόταν ἤδη πάντα συμφωνεῖν δοκῇς,
εἴσαγε διὰ πασῶν Νικολᾷδας Μυκονίας.

Athenaeus VIII p. 345 f: εἴρηται δὲ καὶ ὀψοφάγος, ὦ ἑταῖροι, καὶ τὸ ὀψοφαγεῖν. — Μάχων Ἐπιστολῇ Ὀψοφάγος εἰμί κτλ. Vs. 2 Dindorfius θεμέλιον. Vs. 3 cod. B παρατιθέντα. Nescio an sententia παραδοθέντα requirat. Non enim de apponendis, sed de parandis cibis hic agitur. Vs. 4 αὐτοῦ ante Iacobsium. Vs. 6 γεύου Coraes pro γέ ου. Vs 7 ἔτ' ἐπιδεῖται Iacobsius. Libri ἐπιδεῖται. Dindorfius ex Porsoni correctione ἔπιδ' εἰ δεῖται. Dobraeus προσένεγκον· ἐπιδεῖται. Cod. B προσήνεγκε. Vs. 8 ἑτέρου addunt AB omittunt PVL. Quae sequuntur in libris ita fere scribuntur:

ἑτέρου· πάλιν γεύου συμμετρίαν ἁρμόσῃ
ὥσπερ λύραν ἐπιτεῖναί γ' ὡς ἡδὺς εἶ.

Detersit partem sordium Iacobsius: πάλιν γεύου σύ· μέτρι' ἀναρμόσῃ, ὥσπερ λ. ἐπίτεινέ γ' ἕως ἂν ἡδὺς ᾖ. Correxi locum Praefat. ad Menandri fragm. p. XIX. Vs. 10 δοκῇς A δοκεῖ PVL δοκῇ Iacobsius. Vs. 11 Νικολᾷδας Dindorfius, Νικολαΐδας libri. Tum Μυκονίας Casaubonus, Μυκόνιος A. Versus nondum persanatus.

B A T O

Α Ι Τ Ω Λ Ο Σ

(4, 499)

1 Ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ
τέρας ἐστὶν εἴ τις εὐτύχηκε διὰ βίου.

Stobaeus Flor. XCVIII 18: Βάθωνος ἐξ Αἰτωλοῦ, et CV 30 cum eodem lemmate, nisi quod Voss. Αἰτωλῶν habet.

Α Ν Δ Ρ Ο Φ Ο Ν Ο Σ

I (4, 499. 500)

2 Τῶν φιλοσόφων τοὺς σώφρονας ἐνταυθοῖ καλῶ,
τοὺς ἀγαθὸν αὑτοῖς οὐ διδόντας οὐδὲ ἕν,
τοὺς τὸν φρόνιμον ζητοῦντας ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα.
5 ἄνθρωπ' ἀλάστωρ, διὰ τί συμβολὰς ἔχων
νήφεις; τί τηλικοῦτον ἀδικεῖς τοὺς θεούς;
τί τἀργύριον, ἄνθρωπε, τιμιώτερον

αὐτοῦ τέθεικας ἢ πέφυκε τῇ φύσει;
ἁλυσιτελὴς εἶ τῇ πόλει πίνων ὕδωρ·
τὸν γὰρ γεωργὸν καὶ τὸν ἔμπορον κακοῖς.
ἐγὼ δὲ τὰς προσόδους μεθύων καλὰς ποιῶ.
ἔπειθ' ἕωθεν περιάγεις τὴν λήκυθον,
καταμανθάνων τοὔλαιον, ὥστε περιφέρειν
ὡρολόγιον δόξει τις, οὐχὶ λήκυθον.

Athenaeus IV p. 163b: *Βάτων δ' ὁ κωμικὸς ἐν Ἀνδροφόνῳ φησίν Τῶν φιλοσόφων κτλ.* Vs. 3 et 4 etiam in Synexapatonte posuit (I 14. 15). Vs. 8 *αὑτοῦ* Dobraeus pro *αὐτοῦ*.

II (4, 500) 3

Ἑξὸν γυναῖκ' ἔχοντα κατακεῖσθαι καλήν,
καὶ Λεσβίου χυτρῖδε λαμβάνειν δύο·
ὁ φρόνιμός ἐστι τοῦτο, τοῦτο τἀγαθόν.
Ἐπίκουρος ἔλεγε ταῦθ' ἃ νῦν ἐγὼ λέγω.
εἰ τοῦτον ἔζων πάντες ὃν ἐγὼ ζῶ βίον,
οὔτ' ἄτοπος ἦν ἂν οὔτε μοιχὸς οὐδὲ εἷς.

Athenaeus VII p. 279c: *καὶ ἐν τῷ Ἀνδροφόνῳ δὲ ἐπιγραφομένῳ ὁ αὐτὸς Βάτων διαπαίξας τινὰ τῶν ἐπιεικῶν φιλοσόφων ἐπιφέρει Ἑξὸν γυναῖκ' ἔχοντα κτλ.* Vs. 2 *χυτρῖδε* Casaubonus pro *χυτρίδε*. Porsonus *χυτρίδια*. Vs. 3 *τοῦτο, τοῦτο τἀγαθόν* Casaubonus. *τοῦτο τἀγαθόν* BCP *τοῦτ' ἀγαθόν* A *τοῦτο τοῦτ' ἀγαθόν* VL.

ΕΥΕΡΓΕΤΑΙ

(4, 501) 4

Εὖ γ', ὦ Σιβύνη, τὰς νύκτας οὐ καθεύδομεν,
οὐδ' ἀναγεγράμμεθ', ἀλλὰ κάεται λύχνος,
καὶ βιβλί' ἐν ταῖς χερσί, καὶ φροντίζομεν
τί Σόφων καταλέλοιπ' ἢ τί Σημωνακτίδης
ὁ Χῖος, ἢ Τυνδάριχος ὁ Σικυώνιος,
ἢ Ζωπυρῖνος. Β. αὐτὸς εὗρηκας δὲ τί;
Α. τὰ μέγιστα. Β. ποῖα ταῦτα; Α. τοὺς τεθνηκότας —

Athenaeus XIV p. 662c: *ἀοιδίμων δ' ὀψαρτυτῶν ὀνόματα καταλέγει Βάτων ἐν Εὐεργέταις οὕτως Εὖ γ' ὦ Σιβύνη κτλ.* Vs. 1 *Σιβύνη* BP *Σιβύννη* VL. Vs. 2 *ἀναγεγράμμεθ'* explicat Porsonus Miscell. p. 247. Ibid. libri *καίεται*. Vs. 3 libri *βιβλίον ταῖς χερσίν*. Correxit Porsonus, qui etiam sequentem versum emendavit cll. Polluc. VI 70, libri ita fere *τί σοφὸν καταλέλοιπεν ἢ τίς ἡμῶν ἀκτίδης*. Nisi praestat *Δημωνακτίδης* Vs. 5

Τυνδάριχος Porsonus: libri *Τυνδαρικός*. Vs. 6 libri *Ζωπύρινος*. Vs. 7 *ποῖα* Schweighaeuserus et Porsonus: libri *πόσα*. Post *τεθνηκότας* qui excidit versus, eius sententiam indicavit Porsonus cll. Philemone Mil. vs. 25 sq.

ΣΥΝΕΞΑΠΑΤΩΝ

I (4, 502)

Ἀπολώλεκας τὸ μειράκιόν μου παραλαβών,
ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον
ἀλλότριον αὐτοῦ, καὶ πότους ἑωθινούς
πίνει διὰ σὲ νῦν πρότερον οὐκ εἰθισμένον.
Β. εἶτ' εἰ μεμάθηκε, δέσποτα, ζῆν, ἐγκαλεῖς;
Α. ζῆν δ' ἐστὶ τὸ τοιοῦθ'; Β. ὡς λέγουσιν οἱ σοφοί.
ὁ γοῦν Ἐπίκουρός φησιν εἶναι τἀγαθόν
τὴν ἡδονὴν δήπουθεν, οὐκ ἔστιν δ' ἔχειν
ταύτην ἑτέρωθεν, ἐκ δὲ τοῦ ζῆν παγκάλως
εὖσως ἅπαντας ἢ τυχὸν δώσεις ἐμοί.
Α. ἑόρακας οὖν φιλόσοφον εἰπέ μοί τινα
μεθύοντ' ἐπὶ τούτοις θ' οἷς λέγεις κηλούμενον;
Β. ἅπαντας, οἱ γὰρ τὰς ὀφρῦς ἐπηρκότες
καὶ τὸν φρόνιμον ζητοῦντες ἐν τοῖς περιπάτοις
καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα,
οὕτως ἐπὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου,
καὶ τὴν κεφαλὴν ζητοῦσιν ὥσπερ πράγματος,
ὥστ' ἐκπεπλῆχθαι πάντας.

Athenaeus III p. 103c: *καὶ Βάτων δ' ἐν Συνεξαπατῶντι δυσχεραίνοντα ποιήσας μειρακίου πατέρα, ὡς διαφθαρέντος κατὰ τὴν δίαιταν ὑπὸ τοῦ παιδαγωγοῦ, φησίν Ἀπολώλεκας κτλ.* Idem VII p. 279a: *Βάτων μὲν ἐν Συνεξαπατῶντι δυσχεραίνοντα ποιήσας πατέρα τῷ τοῦ υἱοῦ παιδαγωγῷ καὶ λέγοντα Ἀπολώλεκας κτλ.* Vs. 1 primo loco *μου τὸ μειράκιον*. Vs. 4 altero loco *εἰθισμένος*. Vs. 5 primo loco *εἴτι μεμάθηκε*. Vs. 6 *τοιοῦθ' ὡς* altero loco, *τοιοῦτον ὡς* primo. Dindorfius *ζῆν δὲ τὸ τοιοῦτον; ὡς*. Vs. 9 pro *παγκάλως* primo loco *δὴ καλῶς*. Vs. 10 *εὖσως ἅπαντας ἢ* altero loco. Primo loco VL *ὦ σωσία πάντη*, codd. fere *εὐσωσία πάντη*. Pro *ἢ* recte Grotius *ἦ*. Non credo tamen haec persanata esse. Vs. 11 *ἑώρακας οὖν* altero loco, *ἑώρακας σὺ* primo, *ἑόρακας οὖν* Dindorfius. Vs. 12 libri *μεθύοντα ἐπὶ τούτοις*. Grotius *μεθύοντα τούτοις*. Vs. 13 pro *γὰρ* altero loco *γοῦν*. Vs. 16 *οὕτως* Schweighaeuserus ad

ὥστε vs. 19 refert, *tam bene norunt, ut* etc. Dindorfius cum ἀποδεδραχότα iunxit. Fortasse versus excidit, ut ab οὕτως nova sententia incipiat: ita fit ut, si glaucum iis apposueris etc. Vs. 18 libri ὡσπερὶ πράγματος. Correxit Porsonus.

II (4, 504) 6

Athenaeus XV p. 678 f: *σὺ γὰρ εἶ ὁ τὰ ἐν τοῖς βιβλίοις οὐ μόνον ἀπόρρητα ἐκλέγων ἀλλὰ καὶ διορύττων, καθάπερ οἱ παρὰ Βάτωνι τῷ κωμῳδιοποιῷ ἐν Συνεξαπατῶντι φιλόσοφοι.*

EX INCERTIS FABVLIS

I (4, 503. 504) 1

Πολλῶν σφόδρ' ὄντων χἀτέρων ἐν τῷ βίῳ
ἐφ' οἷς ἅπαντες εἰκότως θορυβούμεθα,
μάλιστ' ἐμοὶ δήπουθε κινοῦσιν χολὴν
οἱ τῶν τρόπων φάσκοντες ἐπιεικῶς ἐρᾶν
καὶ λανθάνειν δοκοῦντες, ὅτι πεπλασμένως
τὸ πρᾶγμα παρακεντοῦσι κοὐκ ἀληθινῶς.
τίνα γὰρ ἔχει, πρὸς τῆς Ἀθηνᾶς, διαφοράν
ὁ τῶν νεωτέρων τε καὶ λείων τρόπος
παρ' ὃν οἱ δασεῖς ἔχουσι καὶ προβεβηκότες;

Stobaeus Flor. VI 19 cum lemmate *Βάθωνος*. Vs. 6 *παρακεντοῦσι* non intellego. Fuit, ni fallit memoria, qui tentaret *περιπέττουσι*.

II (4, 504) 8

Plutarchus de adul. et am. p. 55 c: *Βάττῳ (Βάτωνι) τὴν σχολὴν ἀπεῖπεν Ἀρκεσίλαος, ὅτι πρὸς Κλεάνθην στίχον ἐποίησεν ἐν κωμῳδίᾳ· πείσαντος δὲ τὸν Κλεάνθην καὶ μεταμελομένου διηλλάγη.* Cfr. Hist. crit. p. 480.

EPINICVS

ΜΝΗΣΙΠΤΟΛΕΜΟΣ

(4, 505) 1

Ἐπ' ἀλφίτου πίνοντα τοῦ θέρους ποτέ
ἰδὼν Σέλευκον ἡδέως τὸν βασιλέα
ἔγραψα, καὶ παρέδειξα τοῖς πολλοῖς ὅτι,
κἂν τὸ τυχὸν ᾖ πραγμάτιον ἢ σφόδρ' εὐτελές,
σεμνὸν δύναται τοῦθ' ἡ δύναμις ἡ 'μὴ ποιεῖν.
"γέροντα Θάσιον τόν τε γῆς ἀπ' Ἀτθίδος

ἑσμὸν μελίσσης τῆς ἀκραχόλου γλυκύν,
συγκυρκανήσας ἐν σκύφῳ χυτῆς λίθου,
Δήμητρος ἀκτῇ πᾶν γεφυρώσας ὑγρόν
κατῃσίμωκα πῶμα, καύματος λύσιν."

Athenaeus X p. 432 b: *Ἔπινον οἱ πολλοὶ καὶ ἄλφιτα ἐπιβάλλοντες τῷ οἴνῳ, ὡς ὁ Δελφὸς Ἡγήσανδρός φησιν. Ἐπίνικος γοῦν, Μνησιπτολέμου ἀνάγνωσιν ποιησαμένου τῶν ἱστοριῶν, ἐν αἷς ἐγέγραπτο ὡς Σέλευκος ἀπηλφίτισε, γράψας δρᾶμα Μνησιπτόλεμον, καὶ κωμῳδῶν αὐτόν, καὶ περὶ τῆς πόσεως ταῖς ἐκείνου* (Seleuci) *χρώμενος φωναῖς, ἐποίησε λέγοντα Ἐπ' ἀλφίτου κτλ.* Vs. 1 *ἐπ' ἀλφίτου* A *ἐπαλφίτου* PVL. Vs. 5 ante Dindorfium *ποεῖν.* Vs. 7 *ἀκραχόλου* epit. Hoeschelii. *ἀκροχόλου* BPV *γλυκὺν* ABC *γλυκὺ* PVL. Vs. 10 *κατῃσίμωκα* C *κατῃσίμωσα* PVL.

ΥΠΟΒΑΛΛΟΜΕΝΑΙ

2

(4, 506)

Καὶ τῶν ῥυτῶν τὰ μέγιστα τῶν ὄντων τρία
πίνειν δεήσει τήμερον πρὸς κλεψύδραν
χρουνιζόμενον. ἀμφότερα δ' οἰωνίζομαι·
ἔστι δ' ἐλέφας. Β. ἐλέφαντα περιάγει; Α. ῥυτόν
χωροῦν δύο χόας· οὐδ' ἂν ἐλέφας ἐκπίοι.
ἔγωὶ δὲ τοῦτό γ' ἐκπέπωκα πολλάκις.
Β. οὐδὲν ἐλέφαντος γὰρ διαφέρεις οὐδὲ σύ.
Α. ἕτερον τριήρης· τοῦτ' ἴσως χωρεῖ χόα . . .
Β. ὁ Βελλεροφόντης ἔστιν ἀπὸ τοῦ Πηγάσου
τὴν πύρπνοον χίμαιραν εἰσηκοντικώς.
Α. εἶεν. δέχου καὶ τοῦτο.

Athenaeus XI p. 497 a de *ῥυτῷ* poculo disserens: *Ἐπίνικος δ' ἐν Ὑποβαλλομέναις Καὶ τῶν ῥυτῶν — τοῦτ' ἴσως χωρεῖ χόα. περὶ δὲ τοῦ ῥυτοῦ λέγων φησίν Ὁ Βελλεροφόντης κτλ.* Respicit eundem locum Athenaeus XI p. 469 a: *μνημονεύει τοῦ ποτηρίου τούτου (ἐλέφαντος) καὶ Ἐπίνικος ἐν Ὑποβαλλομέναις, οὗ τὸ μαρτύριον παρέξομαι ἐν τῷ περὶ τοῦ ῥυτοῦ λόγῳ.* Vs. 4 corrigunt *περιάγεις.* Ad sequentia cfr. Eustathius ad Iliad. *ψ'* p. 1286 28: *Δίφιλος· ῥυτὸν χωροῦντα δύο χοᾶς, ὃν οὐδ' ἂν ἐλέφας ἐκπίῃ· καὶ σημείωσαι τὸ ῥυτὸς ἐνταῦθα ἀρσενικόν.* Vbi quod Diphilo haec tribuit, id eum fecisse ab epitomae auctore deceptum, qui post superius Diphili testimonium ab Athenaeo prolatum omisso Epinici nomine ita perrexerat, *καὶ πάλιν· ῥυτὸν χωροῦντα κτλ.* monuit Schweighaeuserus. De

masculino genere fallitur haud dubie Eustathius, corrupta loci lectione deceptus. Vs. 5 scripsi *χωροῦν* pro *χωροῦντα*, et delevi quod libri ante *οὐδ'* habent *ὅν*. Dobraeus *χωροῦν δύο χόας, οἷον οὐδ' ἂν ἐκπίοι ἐλέφας*. Vs. 6 *δὲ* addidit Casaubonus. Ibid. *τοῦτό γ' ἐκπέπωκα* scripsi pro *τοῦτο πέπωκα*. Dobraeus *ἐλέφας· ἐγὼ τοῦτ' ἐκπέπωκα*. Vs. 7 cfr. Diogenianum IV 43 *Ἐλέφαντος διαφέρεις οὐδέν: ἐπὶ τῶν ἀναισθήτων*. Vs. 8 Athenaeus p. 500f: *ὅτι καὶ τριήρης εἶδος ἐκπώματος, Ἐπίνικος ἐν Ὑποβαλλομέναις δεδήλωκε. προείρηται δὲ τὸ μαρτύριον*. Quod sequitur *τοῦτ' ἴσως* Schweighaeusero debetur. Vulgo *τοῦτο τίς οὐ*. Cod. A *τοῦ τις ὡ*. Vs. 9 cf. Astydamas apud Athenaeum XI p. 496 e: *ῥέοντα* (i. e. *ῥυτὰ*) *δώδεχ', ὧν τὰ μὲν δέχ' ἀργυρᾶ | ἦν, δύο δὲ χρυσᾶ, γρύψ, τὸ δ' ἕτερον πήγασος*. Vs. 10 *πύρπνοον* PVL *πυρπνόον* AB.

EVDOXVS

NAVKLHROS

(4, 508) 1

Pollux VII 201: *τὸ δὲ ὄνομα τοῦτο (ψηφοπαίκτης) εἴρηκέ τις τῶν νέων κωμῳδῶν Εὔδοξος ἐν Ναυκλήρου δράματι.*

YPOBOLIMAIOS

(4, 508) 2

Zenobius I 1. *Ἀβυδηνὸν ἐπιφόρημα: ἐπὶ τῶν ἀηδῶν τάττεται ἡ παροιμία. μέμνηται δὲ αὐτῆς Εὔδοξος ἐν Ὑποβολιμαίῳ.* Vide interpretes.

PHOENICIDES

AVLHTRIDES

(4, 509) 1

Δύνασαι σιωπᾶν; B. ὥστε τοὺς τὰς διαλύσεις
συντιθεμένους κεκραγέναι [πᾶσιν] δοκεῖν.

Hesychius I p. 1041. *Δύνασαι σιωπᾶν; πρῶτον φασὶ Φοινικίδην — ἀποσκῶψαι τὴν σιωπωμένην ὁμολογίαν περὶ τῶν διαλύσεων Ἀντιγόνου καὶ Πύρρου βουλόμενον εἰπεῖν ἐν ταῖς Αὐλητρίσιν οὕτως Δύνασαι σιωπᾶν; κτλ.* Ita enim haec emen-

davi Hist. crit. p. 482. Secundo versu possis fortasse probabilius *κεκραγέναι δοκεῖν μέγα.*

ΜΙΣΟΥΜΕΝΗ

(4, 509)

Μύρτων λέγουσι καὶ μέλιτος ἐγκώμια,
καὶ τῶν προπυλαίων καὶ τέταρτον ἰσχάδων.
τούτων ἐγευσάμην καταπλεύσας εὐθέως
καὶ τῶν προπυλαίων· κοὐδὲν ἦν τούτων ὅλως
πρὸς ἀτταγῆνα συμβαλεῖν τῶν βρωμάτων.

Athenaeus XIV p. 652 d de ficubus Atticis disserens: *Φοινικίδης δ' ἐν Μισουμένῃ φησί Μύρτων λέγουσι κτλ.*

ΦΥΛΑΡΧΟΣ

(4, 510)

Τρίτον δὲ πρὸς τούτοισι τὸν σοφώτατον
Χαίριππον. οὗτος, ὥσπερ οἶδας, ἐσθίει
μέχρι ἂν διδῷ τις ἢ λάθῃ διαρραγείς.
τοιοῦτ' ἔχει ταμιεῖον ὥσπερ οἰκίας.

Athenaeus X p. 415 e: *περὶ δὲ Χαιρίππου φησὶ Φοινικίδης ἐν Φυλάρχῳ οὕτως Τρίτον κτλ.* Aelianus hominem istum *Χάριππον* vocat V. H. I 27, quem sequutus est Dindorfius. Vs. 1 *τρίτον* PVL *τὸ τρίτον* AB. Ib. fortasse *βορώτατον*. Vs. 3 *μέχρι ἄν* P ceteri *μέχρις ἄν*. Vs. 4 *ταμιεῖον* B ceteri *ταμεῖον*. Ibidem *οἰκίαι* PVL.

EX INCERTA FABVLA

(4, 511)

Μὰ τὴν Ἀφροδίτην οὐκ ἂν ὑπομείναιμ' ἔτι,
Πυθιάς, ἑταιρεῖν. χαιρέτω· μή μοι λέγε·
ἀπέτυχον· οὐδὲν πρὸς ἐμέ· καταλῦσαι θέλω.
εὐθὺς ἐπιχειρήσασα φίλον εἶχόν τινα
στρατιωτικόν· διαπαντὸς οὗτος τὰς μάχας
ἔλεγεν, ἐδείκνυ' ἅμα λέγων τὰ τραύματα,
εἰσέφερε δ' οὐδέν. δωρεὰν ἔφη τινά
παρὰ τοῦ βασιλέως λαμβάνειν, καὶ ταῦτ' ἀεί
ἔλεγεν· διὰ ταύτην ἣν λέγω τὴν δωρεάν
ἑνιαυτὸν ἔσχε μ' ὁ κακοδαίμων δωρεάν.
ἀφῆκα τοῦτον, λαμβάνω δ' ἄλλον τινά,
ἰατρόν. οὗτος εἰσάγων πολλούς τινας
ἔτεμν', ἔκαε, πτωχὸς ἦν καὶ δήμιος.

δεινότερος οὗτος θατέρου μοι καταφάνη.
ὁ μὲν διήγημι' ἔλεγεν, ὁ δ' ἐποίει νεκρούς.
τρίτῳ συνέζευξ' ἡ τύχη με φιλοσόφῳ,
πώγων' ἔχοντι καὶ τρίβωνα καὶ λόγον.
εἰς προὔπτον ἦλθον ἐμπεσοῦσα δὴ κακόν·
οὐδὲν ἐδίδου γάρ· εἴ τι δ' αἰτοίμην, ἔφη
οὐκ ἀγαθὸν εἶναι τἀργύριον. ἔστω κακόν,
διὰ τοῦτο δός μοι, ῥῖψον· οὐκ ἐπείθετο.

Stobaeus Flor. VI 30 cum lemmate *Φοινικίδου*. Vs. 3 Stephanus *ἐπέτυχον*. Vs. 6 vulgo *ἐδείκνυ*. Grotius *ἐδείκνυ δ'*. Gaisf. *ἐδείκνυ'*. Vs. 11 δ' additum a Valckenario. Vs. 13 *ἔτεμν'* Stephanus. Libri *ἔτεμνεν*. Vs. 19 *εἴ τι δ' αἰτοίμην* Grotius. Vulgo *εἰ δέ τ' αἰτοίμην*. Cod. A *τάλαν αἰτῶ τι*. Wakefieldus *εἰ δ' ἐπαιτοίην*. Gaisfordus *εἰ δ' ἂν αἰτοίμην*.

POSIDIPPVS

ΑΝΑΒΛΕΠΩΝ

(4, 513)

Ἐγὼ μάγειρον ἀναλαβὼν ἀκήκοα
τὰ τῶν μαγείρων πάντα καθ' ἕκάστου κακά.
ἀντεργολαβοῦντες ἔλεγον ὁ μὲν ὡς οὐκ ἔχει
ῥῖνα κριτικὴν πρὸς τοὖψον, ὁ δ' ὅτι τὸ στόμα
πονηρόν, ὁ δὲ τὴν γλῶτταν εἰς ἀσχήμονας
ἐπιθυμίας ἔνιά τε τῶν ἡδυσμάτων,
κἀθαλος, κάτοξος, χναυστικός, προσκαυστικός,
καπνὸν οὐ φέρων, πῦρ οὐ φέρων. ἐκ τοῦ πυρὸς
εἰς τὰς μαχαίρας ἦλθον· ὧν εἷς οὑτοσί
διὰ τῶν μαχαιρῶν τοῦ πυρός τ' ἐλήλυθεν.

Athenaeus XIV p. 661 f de coquorum arte disserens: *Ποσείδιππος ἐν Ἀναβλέποντι Ἐγὼ μάγειρον κτλ.* Vs. 1 Coraes *ἕνα λαβών*. Vs. 2 *καθ' ἕκαστον* Dobraeus. Vs 3 vulgo *ἀντεργολαβοῦντος ἐλέγομεν ὡς*. Correxi praeeunte Grotio. Praeterea Dobraeus *ἔχοι* pro *ἔχει*. Vs. 4 *τὸ* ante *στόμα* Iacobsius addidit. Dobraeus *ὅτιή*. Vs. 5 libri *γλῶσσαν*. Tum Hermannus *εὐσχήμονα ἐπιθυμίαν*. Vs. 7 *κάτοξος* pro *κατ' ὄξους* vel *κατόξους* Grotius. Vs. 8 *πῦρ οὐ φέρων* Grotius. VL *οὐ πῦρ οὐ φέρων δ'*. B *οὐ πῦρ οὐ φέρων οὐδ'*. Vs. 9 pro *ἦλθον* B *ἆλθον*. Vs. 10 *τοῦ πυρός τ'* ex B editum. PVL *τοῦ πυρός*. Dobraeus *τοῦ τε*

πυρός. De proverbiali dictione *διὰ μαχαιρῶν καὶ πυρὸς ἔρχεσθαι* cfr. intpp. Zenobii III 19.

ΑΠΟΚΛΕΙΟΜΕΝΗ

Respicere videtur hanc fabulam Strato in Anthol. Palat. XII 193: *Μνησθήσῃ τούτων, ὑπερήφανε, καὶ σὺ φιλήσεις, καὶ κωμῳδήσεις τὴν ἀποκλειομένην.*

2 I (4, 514)

Ταυτὶ μὲν οὖν τοιαῦτα· συμβαίνει δέ τι
νῦν μοι διανοοῦντι παρὰ τῷ δεσπότῃ
ἀστεῖον· οὐχ ἁλώσομ' ἐκφέρων κρέας.

Athenaeus XIV p. 659a: *ἀλλ' ὅ γε Ποσείδιππος περὶ δούλων μαγείρων ἐν Ἀποκλειομένῃ φησί Ταυτὶ κτλ.* Ad eundem hunc locum respiciens iam supra Athenaeus p. 658f scripsit: *οὐδὲ γὰρ ἂν εὕροι τις ὑμῶν δοῦλόν τινα μάγειρον ἐν κωμῳδίᾳ πλὴν παρὰ Ποσειδίππῳ μόνῳ.* Quibus verbis abusus est Th. Ladewigius in Schneidewini Philol. I 2 p. 288.

3. 4 II III (4, 515)

Athenaeus VII p. 301b: *ἐνικῶς (ἐψητὸς) Νικόστρατος ἐν Ἡσιόδῳ "βεμβράδ' ἀφύην ἐψητόν." Ποσείδιππος Ἀποκλειομένῃ Ἐψητὸν ἀγοράζειν τινά.* Pollux X 98: *τὸ τηγανίζεσθαι ἔστιν ἐν Ἀποκλειομένῃ Ποσειδίππου.*

ΓΑΛΑΤΗΣ

5 I (4, 515)

Pollux VII 111: *ἣν Ὅμηρος εἴρηκε κορώνην οἱ δὲ νῦν κόρακα, οὕτως ὠνόμασε καὶ Ποσείδιππος ἐν Γαλάτῃ εἰπὼν κόρακι κλύεται ἡ θύρα.* Cod. A *κλείεται θύρα.* Bekkerus *κλείεθ' ἡ θύρα.* Falck. *κόρακι κλύε τὰς θυρίδας.* Idem X 22: *Ποσείδιππος γοῦν ἐν Γαλάτῃ φησὶν κόρακι κρούεθ' ἡ θύρα.* Falck. *κλείεθ' ἡ θύρα.*

6 II (4, 516)

Pollux IV 175: *ἔνιοι δὲ καὶ τῶν Ἀθήνησι κωμῳδούντων τῶν νέων, οἷον Φιλήμων ἐν Σικελικῷ καὶ Ποσείδιππος ἐν Γαλάτῃ, λίτρας μνημονεύουσιν.*

ΔΗΜΟΤΑΙ

7 (4, 516)

Photius p. 291 2. *Νεανισκεύεται: Ἄμφις Ἐρίθοις. Ποσείδιππος Δημόταις.*

ΕΡΜΑΦΡΟΔΙΤΟΣ

(4, 516) 8

Υἱὸν τρέφει πᾶς κἂν πένης τις ὢν τύχῃ,
θυγατέρα δ' ἐκτίθησι κἂν ᾖ πλούσιος.

Stobaeus Flor. LXXVII 7 cum lemmate *Ποσειδίππου Ἑρμαφροδίτου*. Vs. 1 *πᾶς* AB. Vulgo *τις*. Vs. 2 *δ'* omittit B.

ΕΠΙΣΤΑΘΜΟΣ

(4, 516) 9

Σκηνάς, ὄχους,
ῥίσκους, ἀορτάς, τάχανα, λαμπήνας, ὄνους.

Pollux X 139: *αἱ δὲ ἀορταὶ εἴρηνται ἐν Ποσειδίππου Ἐπισταθμῷ Σκηνάς κτλ.* Vs. 2 Iungerm. et Toupius *λάχανα* cll. Hesychio, *Λάχανα: τὸ ἐπὶ τῆς ἀπήνης πεπλεγμένον, ἐν ᾧ καθέζονται.* Sed ipsum illud *λάχανα* Hesychii controversum est. Suspicor igitur *λάσανα*.

ΕΦΕΣΙΑ

(4, 517) 10

Φρύνη πρὸ ἡμῶν γέγονεν ἐπιφανεστάτη
πολὺ τῶν ἑταιρῶν· καὶ γὰρ εἰ νεωτέρα
τῶν τότε χρόνων εἶ, τόν γ' ἀγῶν' ἀκήκοας.
βλάπτειν δοκοῦσα τοὺς βίους μείζους βλάβας
τὴν Ἡλιαίαν εἶλε περὶ τοῦ σώματος,
καὶ τῶν δικαστῶν καθ' ἕνα δεξιουμένη
μετὰ δακρύων διέσωσε τὴν ψυχὴν μόλις.

Athenaeus XIII p. 591 c de Phryne disserens: *Ποσείδιππος δ' ὁ κωμικὸς ἐν Ἐφεσίᾳ τάδε φησὶ περὶ αὐτῆς Φρύνη κτλ.* Vs. 3 *εἶ* Casaubonus. Libri *εἴη*. Vs. 5 Dobraeus *εἰς Ἡλιαίαν ἦλθε*. Fortasse sufficit *εἶχε* scribere cum Schweighaeusero.

ΚΩΔΩΝ

(4, 517) 11

Τὸν παῖδ' ἄνω σπεύδοντα πρὸς τὸ τελώνιον.

Pollux IX 28: *εἴρηται δὲ τὸ τελώνιον ἐν Ποσειδίππου Κώδωνι Τὸν παῖδ' ἄνω κτλ.*

ΛΟΚΡΙΔΕΣ

(4, 517) 12

Ὥρα περαίνειν ἐγχέλεια, καράβους,
κόγχας, ἐχίνους προσφάτους, μηκώνια,
πίννας, τραχήλους, μύας.

Athenaeus III p. 87 f: *οἱ τράχηλοι τῶν πορφυρῶν εὐθετοῦσι πρὸς τὰς τῶν στομάχων διαθέσεις. μνημονεύει δ' αὐτῶν Ποσείδιππος ἐν Λοκρίσιν οὕτως Ὥρα κτλ.* Vs. 1 *ἐγχέλεια* Porsonus. Libri *ἐγχέλνα, ἐγχέλνσι, ἐγχέλια.* Ib. *καὶ* ante *καράβους* addit L.

ΜΕΤΑΦΕΡΟΜΕΝΟΙ

13 I (4, 518)

Ὥστ' ἐν ἡμέραις δέκα
εἶναι δοκεῖν Ζήνωνος ἐγκρατέστερον.

Diogenes Laert. VII 27: *ἤδη δὲ καὶ εἰς παροιμίαν σχεδὸν ἐχώρησεν· ἐλέγετο γοῦν ἐπ' αὐτῷ "τοῦ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος." ἀλλὰ καὶ Ποσείδιππος Μεταφερομένοις Ὥστ' ἐν ἡμέραις κτλ.*

14. 15 II III (4, 519)

Athenaeus III p. 118 b: *Κυβίων δὲ μνημονεύει Ποσείδιππος ἐν Μεταφερομένῳ.* Antiatticista p. 102 32. *Κύπριον: τὸ τάριχον. Ποσείδιππος Μεταφερομένοις.*

ΜΥΡΜΗΞ

16 I (4, 519)

Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν
τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται.

Stobaeus Flor. CXVIII 17: *Ποσειδίππου ἐκ Μύρμηκος.* Vs. 2 *εὐθανασίας* cod. A *ἀθανασίας* vulgo.

17 II (4, 519)

Οὕτω τι πολύπους ἐστὶν ἡ λύπη κακόν.

Stobaeus Flor. XCIX 29: *Ποσειδίππου ἐκ Μύρμηκος.*

ΟΜΟΙΟΙ

18 (4, 519)

Ἔργον γε λύπην ἐκφυγεῖν, ἡ δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

Stobaeus Flor. XCIX 30: *Ποσειδίππου ἐξ Ὁμοίων.*

ΠΑΙΔΙΟΝ

19 (4, 519)

Athenaeus III p. 94 c: *εἴρηται γὰρ καὶ τὸ ἐφθοπώλιον παρὰ Ποσειδίππῳ ἐν Παιδίῳ.*

ΠΟΡΝΟΒΟΣΚΟΣ

(4, 520) 20

Ὁ μὴ πεπλευκὼς οὐδὲν ἑόρακεν κακόν·
τῶν μονομαχούντων ἐσμὲν ἀθλιώτεροι.

Athenaeus IV p. 154 f: *ὁ δὲ κωμῳδιοποιὸς Ποσείδιππος ἐν Πορνοβοσκῷ φησιν Ὁ μή κτλ.* Libri *ἑώρακεν.*

ΣΥΝΤΡΟΦΟΙ

I (4, 520) 21

Ἐβάδιζες ἔξω τῶν πυλῶν μάγειρος ὤν;
Β. ἐντὸς πυλῶν γὰρ ἂν μένων ἄδειπνος ἦν.
Α. πότερ' οὖν ἀφεῖσαι; Β. κατ' ἀγορὰν ἐργάζομαι·
ἐπρίατο γάρ τις ὁμότεχνός με γνώριμος.

Athenaeus XIV p. 659 c: *ὅ γε Ποσείδιππος περὶ δούλων μαγείρων ἐν Ἀποκλειομένῃ φησὶν — καὶ ἐν Συντρόφοις Ἐβάδιζες κτλ.* Vs. 2 *γὰρ ἂν μένων* Dindorfius. *παρμένων* A. Vs. 3 legebatur *πότερον οὖν ἀφείσεα.* Correxit Dobraeus.

II (4, 520) 22

Ἔνδοθι προνομεύειν ὅρμενα.

Photius p. 348 4. *Ὅρμενα: τὰ τῆς κράμβης· Ποσείδιππος Συντρόφοις Ἔνδοθι προνομεύειν ὅρμενα. παρὰ τοῖς παλαιοῖς οὐχ εὕρομεν.*

ΦΙΛΟΠΑΤΩΡ

(4, 521) 23

Antiatticista p. 93 19. *Ἔθισμός: ἀντὶ τοῦ ἔθος. Ποσείδιππος Φιλοπάτορι.*

ΧΟΡΕΥΟΥΣΑΙ

(4, 521) 24

Μαθητὰ Λεύκων οἵ τε συνδιάκονοι
ὑμεῖς· ἅπας γάρ ἐστιν οἰκεῖος τόπος
ὑπὲρ τέχνης λαλεῖν τι. τῶν ἡδυσμάτων
πάντων κράτιστόν ἐστιν ἐν μαγειρικῇ
ἀλαζονεία· τὸ καθ' ὅλου δὲ τῶν τεχνῶν
ὄψει σχεδόν τι πάντα τοῦθ' ἡγούμενον.
ξεναγὸς οὗτος, ὅστις ἂν θώρακ' ἔχῃ
φολιδωτὸν ἢ δράκοντα σεσιδηρωμένον,
ἐφάνη Βριάρεως, ἂν τύχῃ δ' ἐστὶν λαγώς.
ὁ μάγειρος ἂν μὲν ὑποδιακόνους ἔχων

πρὸς τὸν ἰδιώτην καὶ μαθητὰς εἰσίῃ,
κυμινοπρίστας πάντας ἢ λιμοὺς καλῶν,
ἔπτηξ' ἕκαστος εὐθύς. ἂν δ' ἀληθινόν
σαυτὸν παραβάλλῃς, καὶ προσεκδαρεὶς ἅπει.
ὅπερ οὖν ὑπεθέμην, τῷ κενῷ χώραν δίδου.
καὶ τὰ στόμια γίνωσκε τῶν κεκλημένων·
ὥσπερ γὰρ εἰς τἀμπόρια τῆς τέχνης πέρας
τοῦτ' ἔστιν, ἂν εὖ προσδράμῃς πρὸς τὸ στόμα.
διακονοῦμεν νῦν γάμους. τὸ θῦμα βοῦς,
ὁ διδοὺς ἐπιφανής, ἐπιφανὴς ὁ λαμβάνων.
τούτων γυναῖκες ἱέρειαι τῇ θεᾷ θεοί,
κορύβαντες, αὐλοί, παννυχίδες, ἀναστροφή,
ἱππόδρομος οὗτός ἐστί σοι μαγειρικῆς.
μέμνησο καὶ σὺ τοῦτο.

Athenaeus IX p. 376 e: *ἀλλ' ἦ νομίζετέ με ἔλαττον πεπαιδεῦσθαι τῶν ἀρχαίων ἐκείνων μαγείρων, περὶ ὧν οἱ κωμῳδιοποιοὶ λέγουσι; Ποσείδιππος μὲν ἐν Χορευούσαις· μάγειρος δ' ἐστὶν ὃ λέγων πρὸς τοὺς μαθητὰς τάδε Μαθητὰ Λεύκων κτλ.* **Vs. 3** *λαλεῖν* L *ἀλλειν* A *ἄλλειν* BPV. **Vs. 6** *ὄψει σχεδόν τι πάντα τοῦθ'* Porsonus pro *ὄψεις δ' ἔχοντι τοῦθ'*. **Vs. 7** pro *ὅστις ἂν* requirebam *ἡνίκ' ἄν*, vel *οἷον ξεναγὸς οὗτος, ἂν θώρακ' ἔχῃ* etc. **Vs. 12** *καλῶν* pro *καλῶς* Grotius. **Vs. 13** *ἔπτηξ'* Casaubonus. *ἐπίτηξ'* PVL *ἔπειτ' ἤξεν* C, qui *ἕκαστος εὐθὺς* omittit. **Vs. 14** Dindorfius *πρὸς ἐκδαρείς*. **Vs. 18** *ἂν εὖ* CL *ἄνευ* APV. **Vs. 21** Erfurdtus *γυναῖκές εἰσ' ἱέρειαι τῇ θεᾷ*, omisso *θεοί*. Tale quid si requiritur, possis suspicari *τούτων γυναῖκές ἱέρωνται τῇ θεῷ*. **Vs. 24** *τοῦτο* scripsi pro *τουτί*.

INCERTARVM FABVLARVM FRAGMENTA

I (4, 523)

Ἰδιώτης μέγας
αὐτοῖς ὁ Σεύθης. οἶσθα δ', ὦ βέλτισθ', ὅτι
ἀγαθοῦ στρατηγοῦ διαφέρειν οὐδὲν δοκεῖ.
οἱ πολέμιοι πάρεισιν· ὁ βαθὺς τῇ φύσει
στρατηγὸς ἕστηκεν, τὸ πρᾶγμ' ἐδέξατο.
πολέμιός ἐστι πᾶς ὁ συμπίνων ὄχλος.
κινεῖ γὰρ ἀθρόος οὗτος· εἰσελήλυθεν
ἐκ πέντε καὶ δέχ' ἡμερῶν προηλπικώς
τὸ δεῖπνον, ὁρμῆς μεστός, ἐκλελεγμένος,
τηρῶν πότ' ἐπὶ τὰς χεῖρας οἴσει τις. νόει
ὄχλου τοιούτου ῥαχίαν ἠθροισμένην.

Athenaeus IX p. 377 b: *καὶ περὶ ἑτέρου δὲ μαγείρου, ὄνομα δέ ἐστι Σεύθης, ὁ αὐτός φησι ποιητὴς οὕτως Ἰδιώτης μέγας κτλ.* Vs. 1 *ἔφη* inter *ἰδιώτης* et *μέγας* inserit A. Vs. 2 *σευήθης* A *οἶσθα δ' ὦ* pro *οἶσθα ὦ* Grotius. *οἶσθας ὦ* Piersonus. Vs. 3 *οὐθὲν* A. Vs. 5 *ἔστηκεν τὸ* vel *ἔστη καὶ τὸ* Casaubonus. Libri *ἕστηκεν* (*ἕστηκε* C) *καὶ τό*. *ἑστηκὼς τὸ* Wakefieldus. Vs. 7 *κινεῖ* Grotius, libri *πίνει*. Ibid. *ἀθρόος* scripsi ex B pro edito *ἀθρόως*. Vs. 9 libri *ἐκλελυμένος*, quod correxi. Vs. 11 *ῥαχίαν* AB *ῥακείαν* PVL *ῥαχίαν* Schweighaeuserus.

II (4, 524) 26

Ἑλλὰς μέν ἐστι μία, πόλεις δὲ πλείονες·
σὺ μὲν ἀττικίζεις, ἡνίκ' ἂν φωνὴν λέγῃς
αὐτοῦ τιν', οἱ δ' Ἕλληνες ἑλληνίζομεν.
τί προσδιατρίβων συλλαβαῖς καὶ γράμμασιν
τὴν εὐτραπελίαν εἰς ἀηδίαν ἄγεις;

Dicaearchus V. Graec. in Hudsoni Geogr. min. II p. 23: *ὅτι δὲ πᾶσα ἣν κατηριθμήμεθα Ἑλλάς ἐστι, μαρτυρεῖ ἡμῖν ὁ τῶν κωμῳδιῶν ποιητὴς Ποσείδιππος, μεμφόμενος Ἀθηναίοις ὅτι τὴν αὐτῶν φωνὴν καὶ τὴν πόλιν φασὶν Ἑλλάδος εἶναι, λέγων οὕτως Ἑλλὰς μέν ἐστι κτλ. πρὸς μὲν τοὺς οὐχ ὑπολαμβάνοντας εἶναι τὴν Θετταλίαν τῆς Ἑλλάδος, οὐδὲ τοὺς Θετταλούς, Ἕλληνος ἀπογόνους ὄντας, ἑλληνίζειν ἐπὶ τοσοῦτον εἰρήσθω.* Vs. 3 *αὑτοῦ* vel *σαυτοῦ τιν'* Salmasius. Vulgo *αὐτοῦ τινες*.

III (4, 525) 27

Ναοὶ δύ' εἰσὶ καὶ στοά, καὶ τοὔνομα,
καὶ τὸ βαλανεῖον, καὶ τὸ Σαράβου κλέος,
τὸ πολὺ μὲν ἀκτή, τοῖς δ' Ἐλευθερίοις πόλις.

Dicaearchus V. Graec. in Hudsoni Geogr. min. II p. 14: *ἡ δὲ πόλις* (*Πλαταιαὶ*) *κατὰ τὸν κωμῳδιῶν ποιητὴν Ποσείδιππον Ναοὶ δύ' εἰσί κτλ.* Vs. 1 fortasse *νεώ*. Vs. 2 legebatur *Σηράμβου*. Vs. 3 *Ἐλευθερίοις* pro vulgato *ἐλευθέροις* restituit I. Vossius.

IV (4, 525) 28

Οὐδεὶς ἀλύπως τὸν βίον διήγαγεν
ἄνθρωπος ὤν, οὐδὲ μέχρι τοῦ τέλους πάλιν
ἔμεινεν εὐτυχῶν.

Clemens Alex. Strom. VI p. 744 Pott.: *Ποσείδιππος Οὐδεὶς ἀλύπως κτλ.* Habet etiam Maximus Conf. CXLV p. 231 et omisso auctoris nomine Stobaeus Flor. XCIX 14. Vs. 1 Stobaeus

ἄλυπος. Vs. 2 Stobaeus οὐδὲ μέχρι τέλους. Maximus οὐδ' ἄχρι τέλους. Clemens οὐδ' ἄχρι τοῦ τέλους. Ex his inter se collatis genuinam lectionem restitui. Tum πάλιν unus servavit Clemens. Vs. 3 nonne ἔμεινε δυστυχῶν?

29 V (4, 526)

Τὴν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμέ
προσηγόρευον· οὐδὲ εἷς νῦν μοι λαλεῖ.

Stobaeus Flor. XIV 1 cum lemmate *Ποσειδίππου.*

30 VI (4, 526)

Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

Stobaeus Flor. XXXVII 14 in titulo *περὶ χρηστότητος*, cum lemmate *Ποσειδίππου.* Pro *τέχνην* nescio an *τύχην* scribendum sit.

31 VII (4, 526)

Οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλ' εὖ ποιεῖν·
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.

Stobaei Append. Flor. IV p. 383 Lips. cum lemmate *Ποσειδίππου.*

32 VIII (4, 526)

Διψηρούς, ἄτοπος ὁ μυρίνης ὁ τίμιος.

Athenaeus I p. 32b: *μυρίνης δὲ οἶνος κεῖται παρὰ Ποσειδίππῳ Διψηρός κτλ.* *Διψηρὸς* corruptum videtur. Pro *ἄτοπος* Coraes *ἄποτος*, malim *ἄτονος*. Pro *μυρίνης* ante Porsonum legebatur *μυρρίνης*.

33–37 IX—XIII (4, 527)

Antiatticista p. 104 19. *Κακοπρόσωπος: Ποσείδιππος.* Harpocratio p. 98 9: *ἐπάναγκες δὲ ἦν τοῖς ἔγγιστα γένους τὰς θήσσας ἢ λαμβάνειν πρὸς γάμον ἢ ἑ μνᾶς διδόναι, ὡς καὶ Ποσειδιππός που ὁ κωμικός φησιν.* Grammat. Bekkeri p. 350 21. *Ἄθετος: ὁ ἀποίητος. οὕτω Ποσείδιππος.* Ibidem p. 424 25. *Ἀπηλιώτης: ἐν τῷ π, καὶ ἀντήλιος, καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἐπηλὶς ἔστι παρὰ Ποσειδίππῳ.* Pro *ἐπηλίς* rectius *ἔπηλις* scriptum apud Suidam s. v. *ἀπηλιώτης* et *ἔπηλις*. Ibid. p. 462 25 de *αὐθέκαστος* voce: *Ποσείδιππος δὲ ἀντὶ τοῦ ἁπλοῦ ἐχρήσατο.*

38. 39 XIV XV (4, 527)

Photius p. 459 3. *Προσέκοψεν τῷ ἀνθρώπῳ: ἀντὶ τοῦ ἠλλοτριώσατο. οὕτως Ποσείδιππος.* Eadem Suidas. Scribendum

προσέκοψε τἀνθρώπῳ. Grammat. Crameri An. Ox. II p. 277 13: καὶ παρὰ Ποσειδίππῳ Τὸ τῆς ἐλαίας δένδρον.

XVI—XVIII (4, 528) 40—42

Photius p. 193 18. Κύφωνες: ἱμάτια γυναικεῖα ἢ χιτῶνος εἶδος. οὕτως Ποσείδιππος. Pollux III 101: τὸ γὰρ παρὰ Ποσειδίππῳ ἐπίχαρμα μοχθηρόν. Idem X 140: καὶ ὀνυχιστήρια δὲ λεπτὰ (παρὰ Bekk.) Ποσειδίππῳ.

DAMOXENVS

ΑΥΤΟΝ ΠΕΝΘΩΝ

(4, 529) 1

Εἰ δ' οὐχ ἱκανόν σοι, τὸν ἐλέφανθ' ἥκει φέρων
ὁ παῖς. Β. τί δ' ἐστὶ τοῦτο, πρὸς θεῶν; Α. ῥυτόν
δίκρουνον, ἡλίκον τι τρεῖς χωρεῖν χόας,
Ἄλκωνος ἔργον. προὔπιεν δέ μοί ποτε
ἐν Κυψέλοις Ἀδαῖος.

Athenaeus XI p. 468 f: Ἐλέφας. οὕτως ἐκαλεῖτο ποτήριόν τι, ὡς Δαμόξενός φησιν ἐν Αὐτὸν πενθοῦντι Εἰ δ' οὐχ ἱκανόν κτλ. Vs. 3 Epit. χοᾶς. Cfr. Eustathius ad Hom. Iliad. p. 1286 29: κεῖται δὲ καὶ οὐδετέρως (τὸ ῥυτὸν) ἐν τῷ· ἐλέφας ἐστὶ ῥυτὸν δίκρουνον τρεῖς χωροῦν χοᾶς. Hesychius fortasse hunc ipsum locum respiciens: ἐλέφας — καὶ ῥυτόν, τρεῖς χόας χωροῦν. Pro χωρεῖν ante Coraen χωροῦν.

ΣΥΝΤΡΟΦΟΙ

(4, 530—532) 2

Ἐπικούρου δέ με
ὁρᾷς μαθητὴν ὄντα τοῦ σοφοῦ, παρ' ᾧ
ἐν δύ' ἔτεσιν καὶ μησὶν οὐχ ὅλοις δέκα
τάλαντ' ἐγώ σοι κατεπύκνωσα τέτταρα.
Β. τοῦτο δὲ τί ἐστιν; εἰπέ μοι. Α. καθήγισα.
μάγειρος ἦν κἀκεῖνος. οὐκ ἤδει θεοί.
Β. ποῖος μάγειρος; Α. ἡ φύσις πάσης τέχνης
ἀρχέγονόν ἐστ', ἀρχέγονον, ὠλιτήριε.
οὐκ ἔστιν οὐδὲν τοῦ πονεῖν σοφώτερον,
ἢν τ' εὐχερὲς τὸ πρᾶγμα τοῦ λόγου τριβήν
ἔχοντι τούτου· πολλὰ γὰρ συμβάλλεται.
διὸπερ μάγειρον ὅταν ἴδῃς ἀγράμματον

μὴ Δημόκριτόν τε πάντα διανεγνωκότα
[μᾶλλον δὲ κατέχοντα, καταγέλα ὡς κενοῦ]
καὶ τὸν Ἐπικούρου κανόνα, μινθώσας ἄφες
ὡς ἐκ διατριβῆς. τοῦτο δεῖ γὰρ εἰδέναι,
τίν' ἔχει διαφορὰν πρῶτον, ὦ βέλτιστε σύ,
γλαυκίσκος ἐν χειμῶνι καὶ θέρει, πάλιν
ποῖος περὶ δύσιν Πλειάδος συνειδέναι
ἰχθὺς ὑπὸ τροπάς τ' ἐστὶ χρησιμώτατος.
αἱ μεταβολαὶ γὰρ αἵ τε κινήσεις κακὸν
ἠλίβατον ἀνθρώποισιν ἀλλοιώματα
ἐν ταῖς τροφαῖς ποιοῦσι, μανθάνεις; τὸ δέ
ληφθὲν καθ' ὥραν ἀποδίδωσι τὴν χάριν.
τίς παρακολουθεῖ ταῦτα; τοιγαροῦν στρόφοι
καὶ πνευμάτια γινόμενα τὸν κεκλημένον
ἀσχημονεῖν ποιοῦσι. παρὰ δ' ἐμοὶ τρέφει
τὸ προσφερόμενον βρῶμα, καὶ λεπτύνεται
ὀρθῶς τε διαπνεῖ. τοιγαροῦν εἰς τοὺς πόρους
ὁ χυμὸς ὁμαλῶς πανταχοῦ συνίσταται.
χυμὸς λέγεις Δημόκριτος οὐδὲν πρᾶγμα τά
γινόμενα ποιεῖ τὸν φαγόντ' ἀρθριτικόν.
B. καὶ τῆς ἰατρικῆς τι μετέχειν μοι δοκεῖς.
A. καὶ πᾶς ὁ φύσεως ἐντός. ἡ δ' ἀπειρία
τῶν νῦν μαγείρων κατανόει πρὸς τῶν θεῶν
οἵα 'στίν. ἅλμην ὅταν ἴδῃς ἐξ ἰχθύων
ὑπεναντίων αὐτοῖσι ποιοῦντας μίαν,
καὶ σήσαμ' ὑποτρίβοντας εἰς ταύτην, λαβὼν
ἕκαστον αὐτῶν κατὰ μέρος προσπαρδέτω.
B. ὥς μοι κέχρησαι. *A.* τί γὰρ ἂν εὖ γένοιτ' ἔτι,
τῆς ἰδιότητος πρὸς ἑτέραν μεμιγμένης
καὶ συμπλεκομένης οὐχὶ συμφώνους ἁφάς;
τὸ ταῦτα διορᾶν ἐστιν εὐψύχου τέχνης,
οὐ τὸ διανίζειν λοπάδας οὐδ' ὄζειν καπνοῦ.
ἐγὼ γὰρ εἰς τοὐπτάνιον οὐκ εἰσέρχομαι.
B. ἀλλὰ τί; *A.* θεωρῶ πλησίον καθήμενος,
πονοῦσι δ' ἕτεροι. *B.* σὺ δέ; *A.* λέγω τὰς αἰτίας
καὶ τἀποβαῖνον· ὀξὺ τὸ περίκομμ', ἄφες.
B. ἁρμονικός, οὐ μάγειρος. *A.* ἐπίτεινον τὸ πῦρ.
ὁμαλιζέτω τοῖς τάχεσιν· ἡ πρώτη λοπὰς
ζεῖ ταῖς ἐφεξῆς οὐχὶ συμφώνως. νοεῖς
τὸν τύπον; *B.* Ἄπολλον. *A.* καὶ τί φαίνεται; *B.* τέχνη.
A. εἶτ' οὐδὲν εἰκῇ παρατίθημι, μανθάνεις;

βρῶμ᾽, ἀλλὰ μίξας πάντα κατὰ συμφωνίαν.
B. πῶς; *A.* ἔστιν αὐτοῖς ἃ διὰ τεττάρων ἔχει
κοινωνίαν, διὰ πέντε, διὰ πασῶν πάλιν.
ταῦτα προσάγω πρὸς αὐτὰ τὰ διαστήματα,
καὶ ταῖς ἐπιφοραῖς εὐθὺς οἰκείως πλέκω·
ἐνίοτε δ᾽ ἀφεστὼς παρακελεύομαι, πόθεν
ἅπτει; τί τούτῳ μιγνύειν μέλλεις; ὅρα,
διάφωνον ἕλκεις· οὐχ ὑπερβήσει σοφόν;
Ἐπίκουρος οὕτω κατεπύκνου τὴν ἡδονήν,
ἐμασᾶτ᾽ ἐπιμελῶς, εἶδε τἀγαθὸν μόνος
ἐκεῖνος οἷόν ἐστιν· οἱ δ᾽ ἐν τῇ στοᾷ
ζητοῦσι συνεχῶς οἷόν ἐστ᾽ οὐκ εἰδότες.
οὐκοῦν ὅ γ᾽ οὐκ ἔχουσιν, ἀγνοοῦσι δέ,
οὐδ᾽ ἂν ἑτέρῳ δοίησαν. *B.* οὕτω συνδοκεῖ.
ἀφῶμεν οὖν τὰ λοιπά. δῆλα δὴ πάλαι.

Athenaeus III p. 101 f: *ἐσθίειν παρακελεύεται τὰ καὶ τά, οὐδὲν ἀποδέων τοῦ παρὰ Δαμοξένῳ τῷ κωμῳδιοποιῷ μαγείρου, ὃς ἐν Συντρόφοις φησίν Ἐπικούρου δέ με κτλ.* Vs. 5 *καθήγισα* Hermannus. Vulgo *καθήγησαι*. Libri *καθήγησα*. Vs. 9 libri *οὐθέν*. Ib. Reisigius *τοῦ πινοεῖν*. Alii *ποιεῖν*. Vs. 10 Reisigius *πᾶν τ᾽ εὐχερές*. Vs. 11 *ἔχοντι* L *ἔχοντα* PV. Vs. 13 *Δημοκρίτου* Bas. L *Δημόκριτον* ceteri omnes. Vs. 14 B *μᾶλλον δὲ καὶ κατέχοντα*. Ibid. *καταγέλα ὡς* ABCP *καταγέλα σύ γ᾽ ὡς* VL. Seclusi hunc versum praeeunte Hermanno et Dindorfio. Vs. 15 libri *μισθώσω σαφές*. Grotius *μισθώσας ἄφες*. Perfecit emendationem Hermannus. Vs. 16 *ὡς ἐκ διατριβῆς* cum sequentibus coniunxit Schweighaeuserus. Vs. 17 *πρῶτον* D. Vulgo *πρῶτος*. Vs. 19 *ἐπὶ δύσιν πλειάδων* DP. Vs. 22 *ἠλίβατον ἀνθρώποισιν* Schweighaeuserus et Porsonus. *ἠλίβατόν ἐστ᾽ ἀνθρώποις* A *ἠλίβατον ἐν ἀνθρώποισιν* VL. Ibid. Porsonus *ἀλλοίωμά τε*. C *ἀλλοιώματ᾽*. Vs. 23 *τροφαῖς* Grotius. Libri *τροπαῖς*. Vs. 29 pro *διαπνεῖ* P habet *διὰ δείπνου*. Vs. 30 C inverso verborum ordine *ὁμαλῶς ὁ χυμός*. Vs. 31 et 32 omittit C. Petitus *πράγματα*, quo parum profici in loco corruptissimo monet Dindorfius. Id unum mihi certum videtur, referri Democriti de *χυμῷ* sententiam, et scribendum esse *χυμός, λέγει Δημόκριτος*, etc. Vs. 36 *οἷα ᾽στὶν* Grotius. Libri *οἷαν τήν*. Ibid. pro *ὀσμὴν* scripsi *ἅλμην*, quam coniecturam meam commemoravit Dindorfius. Reisigius tentabat *δέσμην*. Quod ego conieci olim, nunc etiam ex Dobraei Adversariis allatum est, qui praeterea tentat *οἷα ᾽στίν· οὓς ἅλμην ἂν ἴδοις*. Vs. 37

libri *αὐτοῖσιν*. Ibid. *ποιοῦντας* Schweighaeuserus; libri *ποιούντων*. Vs. 38 Reisigius *ἐπιτρίβοντας*. Vs. 40 Iacobsius *ὁσμῇ κέχρησαι*. Coniecturam meam *ὥς μοι κεχάρισαι* memoravit Dindorfius. Idem nunc Dobraeus. Ibid. *γένοιτ' ἔτι* ABDP *γένοιτό τι* VL. Vs. 42 *συμπλεκομένης* BC *συμπλεκομένας* APVL. Vs. 44 *οὐ τοῦ* non male Dobraeus. Vs. 45 *τοὐπτάνιον* Valckenarius, *τοὐπτάνειον* AP *τοὐπτανεῖον* VL. Vs. 47 Dindorfius ex mea coniectura *πονοῦσι δ' ἑτέροισιν λέγω τὰς αἰτίας*. Libri *πονοῦσι δ' ἕτεροι σοὶ δὲ λέγω τὰς αἰτίας*. Nunc Casaubonum sequutus sum. Vs. 48 *περίκομμα* musicum fuisse videtur vocabulum, quoniam non credibile est propter unum illud *ὀξὺ* coquum nostrum ab altero interlocutore harmonicum vocari. Pro *ἄφες* nescio an *ἄνες* scribendum et versu sequente *ἐπίτεινον* a verbis *τὸ πῦρ* separandum sit, ut hoc dicat: *nimium acutus sonus est; remitte; rursum intende*. Vide tamen ad sequentem versum. Vs. 50 pro *τάχεσιν ἡ* cod. A *στάχεσιν*, reliqui *στάχεσι*. Iacobsius *ὁμαλιζέτω τις ὡς τάχος*. Scribendum videtur *ἐπίτεινον· τὸ πῦρ ὁμάλιζέ τις τοῖς τάχεσιν*, vel *ἐπίτεινον τὸ πῦρ. ὁμαλίζετ' ὦ τοῖς τάχεσιν*. Dobraeus tentabat *ἐπιτείνων τὸ πῦρ ὁμάλιζε τοῖσι τάχεσιν*. Vs. 51 "*ταῖς* Casaubonus *adiuvante Hoescheliana epitome*, in qua *τοῖς* reperisse videtur, ut in C scriptum est. *τοὺς* ABPVL." *Dindorfius*. Vs. 53 libri *οὐθέν*. Vs. 55 *αὐτοῖς* pro *αὐτοῖς* Dobraeus. Vs. 59 possis *ἔσθ' ὅτε δ'*, vel *ἔνια δ'*. Hermannus *ἐνίοτ'*. Vs. 61 libri *ὑπερβήσηι*. Pro *σοφόν*, quod certissime corruptum est, suspicabar *Σόφων*. Vs. 67 libri *οὕτω σοι δοκεῖ*; quod correxi.

EX INCERTA FABVLA

8 (4, 536)

Νεανίας τις ἐσφαίριζεν εἷς
ἐτῶν ἴσως . . ἑπταεικαίδεκα,
Κῷος· θεοὺς γὰρ φαίνεθ' ἡ νῆσος φέρειν.
ὃς ἐπεί ποτ' ἐμβλέψειε τοῖς καθημένοις,
ἢ λαμβάνων τὴν σφαῖραν ἢ διδούς, ἅμα
πάντες ἐβοῶμεν . . . . .
ἥ τ' εὐρυθμία τό τ' ἦθος ἡ τάξις θ' ὅση
ἐν τῷ τι πράττειν ἢ λέγειν ἐφαίνετο.
πέρας τι κάλλους, ἄνδρες. οὔτ' ἀκήκοα
ἔμπροσθεν οὔθ' ἑόρακα τοιαύτην χάριν.
κακὸν ἄν τι μεῖζον ἔλαβον, εἰ πλείω χρόνον
ἔμεινα· καὶ νῦν δ' οὐχ ὑγιαίνειν μοι δοκῶ.

Athenaeus I p. 15b: *ἐφρόντιζον δ' εὐρυθμίας οἱ σφαιρίζοντες. Δαμόξενος γοῦν φησι Νεανίας κτλ.* Vs. 1 εἷς BCD ὢν VL. Vs. 2 addendum videtur *γενόμενος*. Porsonus *ἴσως ἑκκαίδεκ' ἢ 'πτακαίδεκα*. Vs. 6 Pors. supplebat *ὥσπερ ἐκ κελεύσματος*. Vs. 7 *ἥ τ'* Pors. pro *ἡ δ'*. Tum *τό τ'* VL et Pors. *τὸ δὲ* BCD. Ibid. ante Pors. *ἥ τε* (*δὲ* BC) *τάξις ὅση*. Vs. 8 ante Casaub. *λέγειν ἢ πράττειν*. Vs. 9 *τι* Pors. Vulgo *ἔτι*. Pro *πέρας* C *τέρας*.

CRITO

ΑΙΤΩΛΟΙ

(4, 537) 1

Ἐκεῖ γὰρ ἡμῖν ἐστιν ἡ παρεμβολή.

Pollux IX 15: *παίζοντι δὲ τὸ στρατόπεδον ἔξεστι κατὰ τὴν τῶν πολλῶν χρῆσιν καὶ παρεμβολὴν ὀνομάσαι παρεχόμενόν τινα τῶν νεωτέρων Θεόφιλον ἐν Παγκρατιαστῇ εἰρηκότα· εἶτ' ἐν χάρακι μὲν ταῦτα καὶ παρεμβολῇ. καὶ Κρίτων ἐν Αἰτωλοῖς· ἐκεῖ γὰρ ἡμῖν ἐστιν ἡ παρεμβολή.* Ita edili. At in MSS pro vulgatis *παρεχόμενον* etc. haec ita contracta leguntur: *τινὲς δὲ καὶ τῶν νεωτέρων ποιητῶν ἐχρήσαντο τῇ λέξει, ὥσπερ Δίφιλος καὶ Κρίτων.*

ΜΕΣΣΗΝΙΑ

(4, 537) 2

Pollux X 35: *ἀλλὰ καὶ σκίμπους τῶν ἔνδον σκευῶν, ὃς καὶ ἀσκάντης ἐστὶν εἰρημένος, καὶ σκιμπόδιον. ἐν δὲ τῇ Κρίτωνος Μεσσηνίᾳ καὶ τῷ Ῥινθωνος Τηλέφῳ καὶ κράββατον εἰρῆσθαι λέγουσιν.*

ΦΙΛΟΠΡΑΓΜΩΝ

(4, 537. 538) 3

Φοινίκα, μεγάλου κύριον βαλλαντίου,
ναύκληρον ἐν τῷ λιμένι ποιήσας ἄπλουν,
κἀφ' ὅρμου ὥσαι ναῦς ἀναγκάσας δύο,
εἰς Δῆλον ἐλθεῖν ἠθέλησ' ἐκ Πειραιῶς,
πάντων ἀκούων διότι παρασίτῳ τόπος
οὗτος τρία μόνος ἀγαθὰ κεκτῆσθαι δοκεῖ·
εὔοψον ἀγοράν, παντοδαπὸν οἰκοῦντ' ὄχλον,
αὐτοὺς παρασίτους τοῦ θεοῦ τοὺς Δηλίους.

Athenaeus IV p. 173 b: *Κρίτων, δ' ὁ κωμῳδιοποιὸς ἐν Φιλοπράγμονι παρασίτους τοῦ θεοῦ καλεῖ τοὺς Δηλίους διὰ τούτων Φοίνικα, μεγάλου κτλ.* Vs. 2 *κἀφ' ὅρμον ὧσαι* Erfurdtus. Libri *καὶ φορμιῶσαι.* Fortasse tamen praestat *κἀκφορτιῶσαι.* Vs. 6 *μόνος* pro *μόνον* Casaubonus. Vs. 7 valde otiosum est *οἰκοῦντ'*. AB *παντοδαπᾶν οὐκοῦντ'*. P *παντοδαπὰν οὔκουν τ'*. Itaque vide ne *πλουτοῦντ' ὄχλον* scribendum sit.

DEMETRIVS

ΑΡΕΟΠΑΓΙΤΗΣ

(4, 539)

Ὅσον ἀπὸ ταύτης τῆς τέχνης εἴργασμαι ἐγώ,
οὐδεὶς ὑποκριτὴς ἐσθ' ὅλως εἰργασμένος.
καπνιζομένη τυραννὶς αὕτη 'σθ' ἡ τέχνη.
ἀβυρτακοποιὸς παρὰ Σέλευκον ἐγενόμην·
παρ' Ἀγαθοκλεῖ δὲ πρῶτος εἰσήνεγκ' ἐγώ
τῷ Σικελιώτῃ τὴν τυραννικὴν φακῆν.
τὸ μέγιστον οὐκ εἴρηκα· λαχάρους τινός,
ὅτ' ἦν ὁ λιμός, ἑστιῶντος τοὺς φίλους,
ἀνάληψιν ἐποίησ' εἰσενέγκας κάππαριν.

Athenaeus IX p. 405 e: *καταφρονεῖς ὅτι μάγειρός εἰμι ἴσως· ὅσον ἀπὸ ταύτης τῆς τέχνης εἴργασμ' ἐγώ, κατὰ τὸν κωμικὸν Δημήτριον, ὃς ἐν τῷ ἐπιγραφομένῳ Ἀρεοπαγίτῃ ταῦτ' εἴρηκεν Ὅσον ἀπὸ ταύτης τῆς τέχνης κτλ.*

DIOXIPPVS

ΑΝΤΙΠΟΡΝΟΒΟΣΚΟΣ

1 (4, 541)

Οἷον δ' ἐπιθυμεῖ βρωμάτων, ὡς μουσικῶν.
ἤνυστρα, μήτρας, χόλικας.

Athenaeus III p. 100 e: *μνημονεύει τῆς μήτρας καὶ Ἀντιφάνης — Διώξιππος δ' ἐν Ἀντιπορνοβοσκῷ Οἷον δ' ἐπιθυμεῖ κτλ.*

ΙΣΤΟΡΙΟΓΡΑΦΟΣ

(4, 541)

Τὴν στοὰν διεξέπαιεν Ἀμφικλῆς μήτρας δύο
χρεμαμένας δείξας, ἐκεῖνον πέμπε, φάς, ἐὰν ἴδῃς.

Athenaeus III p. 100 f: *μνημονεύει τῆς μήτρας καὶ Ἀντιφάνης — Διώξιππος δ' ἐν — Ἱστοριογράφῳ Τὴν στοάν κτλ.* Libri *διεξέπαιον*. Correxit Casaubonus. Vs. 2 *φὰς* Dindorfius. Libri *φήϛ*.

ΘΗΣΑΥΡΟΣ

(4, 542)

Μὴ κατακούσειεν δέ μου
ὁ Κωρυκαῖος. Β. ἀλλὰ μὴν κατακήκοα
κατακολουθῶν ἔνδοθέν σου.

Photius p. 199 in. et Suidas v. *Κωρυκαῖος. οἱ δὲ κωμικοὶ Κωρυκαῖον τὸν θεὸν εἰσάγουσι. Μένανδρος Ἐγχειριδίῳ. Διώξιππος Θησαυρῷ Μὴ κατακούσειεν κτλ.* Vs. 1 Bernhardi *μὴ κατήκουσεν*. Ibid. *δέ μου* Kusterus. Libri *δέμας*. Vs. 3 Toupius *σοῦ κατακολουθῶν ἔνδοθεν*. Bernhardy *τὰ πάντ'* (vel *ἅπαντ'*) *ἀκολουθῶν ἔνδοθέν σου*.

ΦΙΛΑΡΓΥΡΟΣ

I (4, 542)

Τῆϛ θηρικλείου τῆϛ μεγάλης χρεία 'στί μοι.
Β. εὖ οἶδα. Α. καὶ τῶν ῥοδιακῶν· ἥδιστα γάρ
ἐκ τῶν τοιούτων ἐχέας ποτηρίων
εἴωθα πίνειν.

Athenaeus XI p. 472 b: *θηλυκῶς δὲ τὴν θηρίκλειον εἶπε Μένανδρος — καὶ Διώξιππος ἐν Φιλαργύρῳ Τῆϛ θηρικλείου κτλ.* Vs. 1 Dindorfius *θηρικλείας*. Vs. 2 cfr. Athenaeus XI p. 496 f: *μνημονεύει αὐτῶν (ῥοδιακῶν) καὶ Διώξιππος ἐν Φιλαργύρῳ*. Vs. 3 *ἐχέας* Porsonus. Libri *αἴσχεα*. Coraes *ἐσχέας* vel *ἐγχέας*. Fortasse *Αἰσχέα* scribendum.

II (4, 543)

Παρ' Ὀλυμπίχου δὲ θηρικλείους ἔλαβεν ξξ,
εἶτα τοὺϛ δύο ψυκτῆραϛ.

Athenaeus XI p. 502 d de *ψυκτῆρι* poculo agens: *Διώξιππος Φιλαργύρῳ Παρ' Ὀλυμπίχου κτλ.* Pro *ξξ εἶτα τοὺϛ* libri *ἐξιτάτους*. Correxit Casaubonus. Praeterea Schweighaeuserus pro *εἶτα* scripsit *ἔπειτα*, quo recepto Dindorfius articulum *τοὺϛ* deleri iubet. Mihi post *ξξ* aliqua excidisse et verba *τοὺϛ δύο* in fine versus posita fuisse videntur.

STEPHANVS

ΦΙΛΟΛΑΚΩΝ

(4, 544)

Τούτῳ προέπιεν ὁ βασιλεὺς κώμην τινά.
Β. καινόν τι τοῦτο γέγονε νῦν ποτήριον;
Σ. κώμη μὲν οὖν τίς ἐστι περὶ τὴν Θουρίαν.
Β. εἰς τὰς ῥοδιακὰς ὅλος ἀπηνέχθην ἐγώ
καὶ τοὺς ἐφήβους, Σωσία, τοὺς δυσχερεῖς.

Athenaeus XI p. 469 a: *Ἔφηβος: τὸ καλούμενον ποτήριον ἐμβασικοίταν οὕτως φησὶ καλεῖσθαι Φιλήμων ὁ Ἀθηναῖος. Στέφανος δ' ὁ κωμικὸς ἐν Φιλολάκωνί φησι Τούτῳ προέπιεν κτλ.* Vs. 2 libri ante *τοῦτο* adiiciunt *νῦν*. Delevit Iacobsius. Hanovius tentabat *καινόν τι νῦν τοῦτο γέγονεν π.* Vs. 4 libri *εἰς τὰς δ' ὁδιακός*. Correxit Adamus.

STRATO

ΦΟΙΝΙΚΙΔΗΣ

(4, 545 546)

Σφίγγ' ἄρρεν', οὐ μάγειρον, εἰς τὴν οἰκίαν
εἴληφ'· ἁπλῶς γὰρ οὐδὲ ἓν μὰ τοὺς θεούς
ὅσ' ἂν λέγῃ συνίημι. καινὰ ῥήματα
πεπορισμένος πάρεστιν· ὡς εἰσῆλθε γάρ
εὐθύς μ' ἐπηρώτησε προσβλέψας μέγα,
"πόσους κέκληκας μέροπας ἐπὶ δεῖπνον; λέγε."
ἐγὼ κέκληκα Μέροπας ἐπὶ δεῖπνον; χολᾷς.
τοὺς δὲ Μέροπας τούτους με γινώσκειν δοκεῖς;
οὐδεὶς παρέσται· τοῦτο γὰρ νὴ τὸν Δία
ἔστι κατάλοιπον, Μέροπας ἐπὶ δεῖπνον καλεῖν.
"οὐδ' ἄρα παρέσται δαιτυμὼν οὐδεὶς ὅλως;"
οὐκ οἶμαί γε Δαιτυμών. ἐλογιζόμην,
ἦξει Φιλῖνος, Μοσχίων, Νικήρατος,
ὁ δεῖν', ὁ δεῖνα· κατ' ὄνομ' ἀνελογιζόμην·
οὐκ ἦν ἐν αὐτοῖς οὐδὲ εἷς μοι Δαιτυμών.
οὐδεὶς παρέσται, φημί. "τί λέγεις; οὐδὲ εἷς;"
σφόδρ' ἠγανάκτησ', ὥσπερ ἠδικημένος,
εἰ μὴ κέκληκα Δαιτυμόνα. καινὸν πάνυ.
"οὐδ' ἄρα θύεις ἐρυσίχθον';" οὐκ ἔφην ἐγώ.

"βοῦν δ' εὐρυμέτωπον;" οὐ θύω βοῦν, ἄθλιε.
"μῆλα θυσιάζεις ἄρα;" μὰ Δί' ἐγὼ μὲν οὔ,
οὐδέτερον αὐτῶν, προβάτιον δ'. "οὐκοῦν, ἔφη,
τὰ μῆλα πρόβατα. μανθάνεις;" οὐ μανθάνω
τούτων οὐδέν, οὐδὲ βούλομαι.
ἀγροικότερός εἰμ', ὥσθ' ἁπλῶς μοι διαλέγου.
"Ὅμηρον οὐκ οἶδας λέγοντα;" καὶ μάλα
ἐξῆν ὃ βούλοιτ', ὦ μάγειρ', αὐτῷ λέγειν.
ἀλλὰ τί πρὸς ἡμᾶς τοῦτο πρὸς τῆς Ἑστίας;
"κατ' ἐκεῖνον ἤδη πρόσεχε καὶ τὰ λοιπά μοι.
Ὁμηρικὸς γάρ." διανοεῖ μ' ἀπολλύναι;
"οὕτω λαλεῖν εἴωθα." μὴ τοίνυν λάλει
οὕτω παρ' ἐμοί γ' ὤν. "ἀλλὰ διὰ τὰς τέτταρας
δραχμὰς ἀποβάλω, φησί, τὴν προαίρεσιν;
τὰς οὐλοχύτας φέρε δεῦρο." τοῦτο δ' ἐστὶ τί;
"χριθαί." τί οὖν, ἀπόπληκτε, περιπλοκὰς λέγεις;
"πηγὸς πάρεστι;" πηγός; οὐχὶ λαικάσει;
ἐρεῖς σαφέστερόν θ' ὃ βούλει μοι λέγειν;
"ἀτάσθαλός γ' εἶ, πρέσβυ." φήσ'. "ἄλας φέρε.
τοῦτ' ἔστι πηγός. ἀλλὰ δεῖξον χέρνιβα."
παρῆν. ἔθυεν, ἔλεγεν ἄλλα ῥήματα
τοιαῦθ' ἃ μὰ τὴν γῆν οὐδὲ εἷς ἤκουσεν ἄν,
μίστυλλα, μοίρας, δίπτυχ', ὀβελούς. ὥστε με
τῶν τοῦ Φιλητᾶ λαμβάνοντα βιβλίων
σκοπεῖν ἕκαστα τί δύναται τῶν ῥημάτων·
πλὴν ἱκέτευον αὐτὸν ἤδη μεταβαλεῖν
ἀνθρωπίνως λαλεῖν τε. τὸν δ' οὐκ ἂν ταχύ
ἔπεισεν ἢ πειθὼ μὰ τὴν γῆν οἶδ' ὅτι.

Athenaeus IX p. 382 c: *καίτοι καὶ ὁ πρῶτος τῶν τὸν Ὀλυμπίασιν ἀγῶνα ἀναθησαμένων Κόροιβος ὁ Ἠλεῖος μάγειρος ἦν, καὶ οὐχ οὕτως ὠγκύλλετο ἐπὶ τῇ τέχνῃ, ὡς ὁ παρὰ Στράτωνι μάγειρος ἐν Φοινικίδῃ. περὶ οὗ τοιαῦτα λέγει ὁ μεμισθωμένος· Σφίγγ' ἄρρεν', οὐ μάγειρον κτλ.* Ex his versus 1—3 cum initio quarti Philemoni tribuuntur ab Athenaeo XIV p. 659b, unde recepi inter huius fragmenta p. 851. Falmulae index utrum *Φοινικίδης* fuerit, ut ab Athenaeo, an *Φοῖνιξ*, ut ab Suida vocatur, incertum est. Vs. 3 pro *ὅσ' ἂν λέγῃ* Philemo *ὥνπερ λέγει*. Vs. 4 Philemo *γάρ ἐστι*. Vs. 17 *ἠγανάκτησ'*, h. e. *ἠγανάκτησε*, Casaubonus et P *ἠγανάκτησα* B *ἀγανάκτησ'* VL. Vs. 18 *δαιτυμόνα* PL *δαιτυμώνα* V *δαιτυμόνας* ABC. Ibid. *σκαιὸν* PVL *καινὸν* AC *καὶ οὐ* B. Vs. 21 *ἐγὼ μὲν οὔ* PVL

omittunt *οὔ* ABC. Schweighaeus. *ἐγὼ μὲν οὖν.* Malim *ἔγωγε μήν.* Vs. 22 *δὲ* pro *δ'* BCP. Vs. 23 sequutus sum Dobraeum. Vulgo *πρόβατ' οὐ μανθάνω.* Dindorfius locum ita supplendum coniicit:

οὐδέτερον αὐτῶν, προβάτιον δ', ἔφην ἐγώ.
οὐκοῦν, ἔφη, τὰ μῆλα πρόβατ'. οὐ μανθάνω.

Epitome haec inde a verbis *οὐκοῦν ἔφη* usque ad vs. 30 ita contraxit: *οὐκ οὖν, ἔφη, τὰ μῆλα πρόβατα ὅμηρος* (*ὅμηρον* epit. Hoesch.) *οὐκ οἶσθα λέγοντα. ὁμηρικῶς γὰρ διανοῆ.* Vs. 24 Casaubonus *ἔγωγε τούτων.* Possis etiam *τούτων ἁπάντων.* Vs. 26 pro *οἶδας* B *οἶδα.* Idem *μάλ'* pro *μάλα.* Vs. 27 *βούλει τῷ μάγειρ'* (*μαγείρῳ* B) PVL *βούλετ' ὦ μάγειρ'* Casaubonus. *βούλοιτ' ὦ μάγειρε* Coraes. Vs. 30 *Ὁμηρικὸς γάρ*, ut sint coqui verba, Dobraeus. Vulgo *Ὁμηρικῶς γὰρ διανοεῖ* etc. Vs. 33 *ἀποβάλω* Dindorfius; libri *ἀποβαλῶ.* Vs. 34 *τὰς οὐλοχύτας — χριθαὶ* affert Eustath. ad Odyss. p. 1476 48. Vs. 36 *λαικάσει* Coraes. Libri *λεκὰς εἰ.* Casaubonus *λευκὰ σὺ* allato Eusebio Praep. evang. XI: *καὶ τοῦτό γε λευκότερον διασαφήσας*, et *Φίλων ὁ Ἑβραῖος λευκότερον ἑρμηνεύων*, aliisque ex eodem scriptorum genere pluribus. Recepit Casauboni coniecturam Dindorfius. Sed illa significatio adiectivi *λευκὸς* novitia est et antiquioribus scriptoribus plane incognita. Probavi igitur quod a poeta scriptum esse libri ostendunt, *λαικάσει*, respondens illud ei "quod effutire apud nos solent homines impuri et *ἀνάγωγοι*, dicentes *allez vous faire f . . .* ut patet ex sequente coqui sermone, *ἀτάσθαλός γ' εἶ, πρέσβυ.*" Coraes. Vs. 39 fortasse praestat *τοῦτ' ἔστι πηγός;* ut haec a sene et per interrogationem dicantur. Per autem mirum est *πηγὸς* apud Homerum de *sale* usurpatum dici. Strato fortasse alius poetae locum in animo habuit, qui *ἅλα πηγόν, marinam aquam concretam*, de sale marino dixerat. Vs. 40 pro *παρῆν* A habet *παρ' ἦν.* Vs. 42 Casaubonus *μίσυλλε* secundum illud Homericum *μίσυλλόν τ' ἄρα τἄλλα.* Vs. 45 libri *ἱκετεύω γ'.* Correxit Porsonus. Idem pro *ἤδη, nunc tandem*, scripsit *ἦθη*, receptum a Dindorfio.

THEOGNETVS

ΦΑΣΜΑ Ἢ ΦΙΛΑΡΓΥΡΟΣ

(4, 549) 1

Ἄνθρωπ', ἀπολεῖς με· τῶν γὰρ ἐκ τῆς ποικίλης
στοᾶς λογαρίων ἀναπεπλησμένος νοσεῖς·
"ἀλλότριόν ἐσθ' ὁ πλοῦτος ἀνθρώπῳ, πάχνη·
σοφία δ' ἴδιον, κρύσταλλος. οὐδεὶς πώποτε
ταύτην λαβὼν ἀπώλεσ'." ὦ τάλας ἐγώ,
οἵῳ μ' ὁ δαίμων φιλοσόφῳ συνῴκισεν.
ἐπαρίστερ' ἔμαθες, ὦ πόνηρε, γράμματα·
ἀνέστροφέν σου τὸν βίον τὰ βιβλία.
πεφιλοσόφηκας γῇ τε κοὐρανῷ λαλῶν,
οἷς οὐδέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων.

Athenaeus III p. 104 b: *πρὸς οὓς καὶ Θεόγνητος* (C *Θέογνις*) *ἐν Φάσματι ἢ Φιλαργύρῳ φησὶν ἐκ τούτων Ἄνθρωπ' ἀπολεῖς με κτλ.* Postremos quinque versus idem habet XV p. 671 b. Vs. 2 quod libri post *νοσεῖς* addunt *ἐρεῖς*, delevit Grotius. Idem vs. 3 *πάχνη* pro librorum lectione *πάχνης*. Vs. 4 *οὐδεὶς* VL *οὐθεὶς* ABP, quod fortasse tenendum erat. Vs. 6 comparat Casaubonus Euripidis quem dicit versum ex Andromeda: *οἵῳ μ' ὁ δαίμων θηρίῳ συνῴκισεν.* Quem unde ille arripuerit vel quo auctore ad Euripidem rettulerit, non indicavit. Errorem Casauboni, quem non dubium est quin memoria fefellerit, praeter Valckenarium ad Euripidis Hippol. vs. 1389 et Matthiae Euripidis fragm. p. 45 sequutus est et vero etiam exornavit Fritzschius ad Aristoph. Thesmoph. p. 498, in eo etiam cum Matthiae falsus, quod illum versum a Zenobio V 45 allatum esse dicunt. Nihil, mihi crede, de Euripide Zenobius, sed Philoxeni ex Cyclope affert versum *οἵῳ μ' ὁ δαίμων τέρατι συγκαθεῖρξεν*, quem habent etiam Proverb. Bodlei. 737 et Diogen. Cent. VII 19. Non Euripidem igitur, sed Philoxenum imitatione expressit Theognetus. Vs. 7 *πονηρὲ* C. Vs. 8 *ἀνέστροφεν* pro *ἀντέστροφεν* Porsonus. Vs. 10 *οὐδὲν* C et Athen. altero loco p. 671.

ΦΙΛΟΔΕΣΠΟΤΟΣ

(4, 550) 2

Ὁ Πανταλέων μὲν αὐτὸς αὐτοὺς τοὺς ξένους
τούς τ' ἀγνοοῦντας αὐτὸν ἐπλάνα, καὶ σχεδόν

ἀπεκραιπάλα τὰ πλεῖστα τοῦ γελάσαι χάριν,
ἰδίαν τίν' αὑτῷ θέμενος ἀδολεσχίαν.

Athenaeus XIV p. 616 a: *Πανταλέοντος δὲ μνημονεύει Θεόγνητος ἐν Φιλοδεσπότῳ Ὁ Πανταλέων κτλ.* De Pantaleonte plano v. Hist. crit. p. 241. Vs. 1 pro *αὐτοὺς* Th. Bergkius *ἀστός*. Ipse coniiciebam *οὗτος*, *ipse ille Pantaleon*, de quo in antecedentibus actum videtur. Vs. 2 *τούς τ'* AB *τοὺς δ'* PVL. Vs. 4 ante Dind. *αὐτῷ*.

FRAGMENTA COMICORVM

AETATIS INCERTAE

Digitized by Google

ALEXANDER

ΑΙΠΟΛΟΙ

(4, 553) 1

Zenobius Cent. VI 11. *Τὰ τρία τῶν εἰς τὸν θάνατον: μέμνηται ταύτης Ἀλέξανδρος ἐν Αἰπόλοις.* Vide Hist. crit. p. 488 et Alexidis fragm. p. 690.

ΔΙΟΝΥΣΟΣ

(4, 553) 2

Ἰδοὺ κάτοπτρον· εἰπέ μοι, τούτῳ τί χρῇ;

Schol. Ven. ad Iliad. *ά* 216: *ἀπὸ τοῦ χρῶμαι τὸ δεύτερον τῆς κοινῆς διαλέκτου ἐστὶ χρᾷ, Ἰωνικῶς. Ἀττικὸν δὲ χρῇ, ὡς εἴρηται Ἀλεξάνδρῳ ἐν Διονύσῳ Ἰδοὺ κάτοπτρον· εἰπέ μοι τί χρῇ τούτῳ;* Correxit Hermannus.

ΕΛΕΝΗ

(4, 553) 3

Antiatticista p. 96 33. *Εὐοχησία: Ἀλέξανδρος Ἑλένῃ.* V. Hist. crit. p. 370.

ΠΟΤΟΣ

(4, 554) 4

Εἰς αὔριόν με δεῖ λαβεῖν αὐλητρίδα·
τραπεζοποιόν, δημιουργὸν λήψομαι·
ἐπὶ τοῦτ' ἀπέστειλ' ἐξ ἀγροῦ μ' ὁ δεσπότης.

Athenaeus IV p. 170 e: *Ἰόβας ὁ βασιλεὺς ἐν ταῖς Ὁμοιότησι τὸν αὐτὸν εἶναί φησι τραπεζοκόμον καὶ τὸν ὑπὸ Ῥωμαίων καλούμενον στρούκτωρα, παρατιθέμενος ἐκ δράματος Ἀλεξάνδρου ᾧ ἐπιγραφὴ Πότος· Εἰς αὔριον κτλ.*

ΤΙΓΟΝΙΟΝ

(4, 554) 5

Athenaeus XI p. 496 c: *Προχύτης: εἶδος ἐκπώματος — Φιλητᾶς δ' ἐν Ἀτάκτοις ἀγγεῖον ξύλινον, ἀφ' οὗ τοὺς ἀγροίκους πίνειν. μνημονεύει αὐτοῦ καὶ Ἀλέξανδρος ἐν Τιγονίῳ.* Ita scripsi pro *Τίγονι. Τιγόνιον*, quod nomen etiam *τιτιγόνιον* scribitur, apud Alexandrum meretricis nomen fuisse suspicor.

EX INCERTIS FABVLIS

6 I (4, 554)

Ταμιεῖον ἀρετῆς ἐστι γενναία γυνή.

Stobaeus Flor. LXVII 12 cum lemmate *Ἀλεξάνδρου*. Omisso auctoris nomine idem versus paullulum mutatus legitur apud Clement. Alex. Paed. III p. 293 Pott. *συλλήβδην γοῦν ταμιεῖον ἀρετῆς ἐστιν ἀνδρεία γυνή, ἥτις σῖτα ὀκνηρὰ οὐκ ἔφαγεν.* V. Hist. crit. p. 488. Cfr. gnom. monost. 505, *ταμιεῖον ἀρετῆς ἐστιν ἡ σώφρων γυνή*, ex mea coniectura.

7 II (4, 555)

Ἦσαν ἄνθρωποι δὲ πέντε καὶ γυναῖκες τέτταρες.

Schol. Aristoph. Thesm. 682. *γυναιξὶ καὶ βροτοῖς: γελοίως εἶπεν, ὡς Ἀλεξανδ.* (sic) *"ἦσαν ἄνθρωποι πέντε καὶ γυναῖκες τρεῖς." πέπαικται οὖν τοῦτο ὡς ἐν κωμῳδίᾳ.* Scribendum videtur ut supra exhibui. Lobeck. Path. p. 25 not. 14 corrigit *Ἀλεξανδρεῖς*.

8 III (4, 555)

Schol. Aristoph. Ran. 840: *ὅτι δὲ λαχανοπώλιδος υἱὸς ἦν Κλειτοῦς ὁ Εὐριπίδης Ἀλέξανδρός φησι.* Si tamen haec recte ad Alexandrum comicum rettuli. Cfr. Hist. crit. p. 488.

9 IV (4, 555)

Proverbia Bodl. 856 (Append. Proverb. Goett. IV 77) *Συμβαλούμενος: κατ' ἔλλειψιν καὶ αὕτη. ἐνδεῖ γὰρ εἰς ἔρωτα. μέμνηται ταύτης Ἀλέξανδρος.* Pro *συμβαλούμενος* iam in edit. mai. scripsi *συμβαλοῦμαι μέλος*, quod ignoravit G. M. Schmidt Diatr. de dithyr. p. 57, qui recte idem proverbium restituit Dionysio Hal. Comp. Verb. I 8, cuius verba ita scribenda sunt: *συμβάλλομαί σοι μέλος εἰς τὸν ἔρωτα τὴν περὶ συνθέσεως τῶν ὀνομάτων πραγματείαν.*

10 V (4, 555)

Zonaras Lex. p. 1047. *Θόλος: οἴκημα στρογγυλοειδές. οὕτως Ἀλέξανδρος.*

Ceterum omnibus his locis, quae ad Alexandrum comicum rettuli, nomen hoc ex Anaxandridae vel Alexidis vel Menandri nominibus corruptum videri potest.

CHARICLIDES

Α Λ Υ Σ Ι Σ

(4, 556)

Δέσποιν' Ἑκάτη τριοδῖτι,
τρίμορφε, τριπρόσωπε,
τρίγλαις κηλευμένα.

Athenaeus VII p. 325 d: *Ἀθήνησι δὲ καὶ τόπος τις Τρίγλα καλεῖται, καὶ αὐτόθι ἐστὶν ἀνάθημα τῇ Ἑκάτῃ τῇ Τριγλανθίνῃ. διὸ καὶ Χαριχλείδης ἐν Ἁλύσει φησί Δέσποιν' Ἑκάτη κτλ.* Eustathius ad Il. p. 1197 29: *ὅτι δὲ πολυώνυμος ἡ ᾀηθεῖσα Ἑκάτη δηλοῖ καὶ τὸ εἰς αὐτὴν ἐπίγραμμα ἔχον οὕτως "Δέσποινα τριοδῖτι, τρίμορφε, τριπρόσωπε, τρίγλαις κηλευμένη," τουτέστι θελγομένη, χαίρουσα.* Et paucis interiectis: *ὅτι δὲ καὶ τόπος τις Ἀθήνησι Τρίγλη ἐκαλεῖτο, καὶ ὡς ἀνάθημα ἦν ἐκεῖ Τριγλανθήνῃ* (sic) *Ἑκάτῃ, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί.* In Chariclidae versibus *κηλευμένα* ex BC edidit Dindorfius, qui etiam *Ἑκάτα* scribendum existimat; vulgo *κηλευμένη*.

ATHENIO *)

Σ Α Μ Ο Θ Ρ Α Ι Κ Ε Σ

(4, 557. 558)

Οὐκ οἶσθ' ὅτι πάντων ἡ μαγειρικὴ τέχνη
πρὸς εὐσέβειαν πλεῖστα προσενήνεχθ' ὅλως;
Β. τοιοῦτόν ἐστι τοῦτο; Α. πάνυ γε, βάρβαρε.
τοῦ θηριώδους καὶ παρασπόνδου βίου
ἡμᾶς γὰρ ἀπολύσασα καὶ τῆς δυσχεροῦς
ἀλληλοφαγίας, ἦγαγ' εἰς τάξιν τινά,
καὶ τουτονὶ περιῆψεν ὃν νυνὶ βίον
ζῶμεν. Β. τίνα τρόπον; Α. πρόσεχε, κἀγώ σοι φράσω.
ἀλληλοφαγίας καὶ κακῶν ὄντων συχνῶν,
γενόμενος ἄνθρωπός τις οὐκ ἀβέλτερος
θύσας ἱερεῖον πρῶτος ὤπτησεν κρέας.
ὡς δ' ἦν τὸ κρέας ἥδιον ἀνθρώπου κρεῶν,
αὐτοὺς μὲν οὐκ ἐμασῶντο, τὰ δὲ βοσκήματα

---

*) Veram nominis huius scripturam esse *Ἀθηνικῶν* G. Dindorfius probavit in Zimmermanni Rhemer. philol. a. 1839 p. 1135.

θύοντες ὤπτων. ὡς δ' ἅπαξ τῆς ἡδονῆς
ἐμπειρίαν τίν' ἔλαβον, ἀρχῆς γενομένης,
ἐπὶ πλεῖον ηὔξον τὴν μαγειρικὴν τέχνην.
ὅθεν ἔτι καὶ νῦν τῶν πρότερον μεμνημένοι
τὰ σπλάγχνα τοῖς θεοῖσιν ὀπτῶσιν φλογί
ἅλας οὐ προσάγοντες· οὐ γὰρ ἦσαν οὐδέπω
εἰς τὴν τοιαύτην χρῆσιν ἐξευρημένοι.
ὡς δ' ἤρεσ' αὐτοῖς ὕστερον, καὶ τοὺς ἅλας
προσάγουσιν ἤδη τῶν ἱερῶν γεγραμμένων,
τὰ πάτρια διατηροῦντες, ἅπερ ἡμῖν μόνα
ἅπασιν ἀρχὴ γέγονε τῆς σωτηρίας,
τὸ προσφιλοτεχνεῖν διά τε τῶν ἡδυσμάτων
ἐπὶ πλεῖον αὔξειν τὴν μαγειρικὴν τέχνην.
B. καινὸς γάρ ἐστιν οὗτοσὶ Παλαίφατος.
A. μετὰ ταῦτα γαστρίον τις ὠνθυλευμένον
προϊόντος εἰσηνέγκατ' ἤδη τοῦ χρόνου·
ἐρίφιον ἐτακέρωσε, πνικτὸν διέλαβεν,
περικομματίῳ διεγίγρασ' ὑποκρούσας γλυκεῖ,
ἰχθὺν παρεισεκύκλησεν οὐδ' ὁρώμενον,
λάχανον, τάριχος πολυτελές, χόνδρον, μέλι.
ὡς πολὺ δὲ διὰ τὰς ἡδονὰς ἃς νῦν λέγω
ἀπεῖχ' ἕκαστος τοῦ φαγεῖν ἂν ἔτι νεκροῖ,
αὐτοῖς ἅπαντες ἠξίουν συζῆν, ὄχλος
ἠθροίζετ', ἐγένοντ' αἱ πόλεις οἰκούμεναι
διὰ τὴν τέχνην, ὅπερ εἶπα, τὴν μαγειρικήν.
B. ἄνθρωπε χαῖρε, περὶ πόδ' εἶ τῷ δεσπότῃ.
A. καταρχόμεθ' ἡμεῖς οἱ μάγειροι, θύομεν,
σπονδὰς ποιοῦμεν, τῷ μάλιστα τοὺς θεούς
ἡμῖν ὑπακούειν διὰ τὸ ταῦθ' εὑρηκέναι
τὰ μάλιστα συντείνοντα πρὸς τὸ ζῆν καλῶς.
B. ὑπὲρ εὐσεβείας οὖν ἀφεὶς παῦσαι λέγων.
A. ἥμαρτον. *B.* ἀλλὰ δεῦρο σὺ ξυνείσιθι
ἐμοί, τά τ' ἔνδον εὐτρεπῆ ποίει λαβών.

Athenaeus XIV p. 660 e: *οὐκ ἀπεικότως δὲ καὶ Ἀθηνίων ἐν Σαμόθρᾳξιν, ὡς φησιν Ἰόβας, μάγειρον εἰσάγει φυσιολογοῦντα διὰ τούτων Οὐκ οἶσθ' ὅτι κτλ.* Vs. 11 θύσας pro ἔθυσ' margo P, ut voluit Reisigius. Ib. *κρέας* pro *κρέα* Porsonus. Vs. 12 ὡς Casaubonus. Libri ἴσως. Vs. 13 αὐτοὺς Schweigh. voluit pro *αὐτούς*, cui in C praefigitur εἶτ'. Post *μὲν* B inserit *οὖν*. Vs. 16 A *ἐπὶ πλειον τιν.* B *ἐπιπλεῖον*

τίν'. P *ἐπὶ πλεῖον τιν'*. V *ἐπιπλεῖστον τιν*. L *ἐπὶ πλεῖστον*. C *ἐπιπλεῖον τινες*. Ibid. *ηὖξον* AC *ἤυξον* B *ηὔξαν* PVL. Vs. 17 *μεμνημένη* B. Vs. 21 *ἤρεσεν* C *ἥρετ'* P. Fort. *ὡς ἤρεσαν τοῖς ὕστερον*. Vs. 22 *γεγραμμένα* Grotius. Vs. 27 *καινὸς πάρεστιν*? Vs. 30 *ἀκριβῶς* quod libri ante *ἐρίφιον* habent delevi praeeunte Dobraeo. Tum A *ἐν ταχερωσεπνικτω*. *ἐτακέρως ἐπνίκτω* BP *ἐνταχερὸν ἔμπνικτον* VL *ἐτακέρωσε πνικτὸν* Porsonus. Sed *πνικτῷ* fortasse retineri potest, ut coniungatur *πνικτῷ διέλαβεν, suffocata carne dispescuit*. Sin *διέλαβεν* per se positum est, verterim *dissecuit*. Vs. 31 libri *περικομματίω δι' ἐπίγγρας*. In his *γίγγρας* latere vidit Grotius. Perfecit emendationem Dobraeus. Vs. 32 *οὐδ' ὁρώμενον*, adeo scilicet ceteris farciminibus obtegebatur. Vs. 34 post *πολύ*, pro quo L habet *πουλύ*, addidi *δέ*, Dindorfius *τι*. Vs. 35 *ἄνευτι* B. Vs. 36 *αὐτοῖς* Dindorfius pro *αὐτοῖς*. Vs. 39 *περὶ πόδ' εἶ* Schweighaeuserus pro librorum lectione *περίποδ' εἶ* vel *περιποδεῖ*. Vs. 42 *ταῦτ' εἰρηκέναι* B. Vs. 44 libri *ἄφες*. Coraes *ἃ φῄς*. Iacobsius *ἀφείς*. Vs. 45 *σὺ ξυνείσιθι ἐμοί* Dobraeus. Libri *συνέσθιέ μοι*. Vs. 46 *εὐτρεπῆ* Grotius. Libri *εὐπρεπῆ*. *ποίει* L *πόει* ABV om. P.

CALLIPPVS

ΠΑΝΝΥΧΙΣ

(4, 561)

Ὁ διαγρυπνήσας πυραμοῦντα λήψεται
τὰ κοττάβια καὶ τῶν παρουσῶν ἣν . .
θέλει φιλήσει.

Athenaeus XV p. 668 c: *Ἦν δέ τι καὶ ἄλλο κοτταβίων εἶδος προτιθέμενον ἐν ταῖς παννυχίσιν, οὗ μνημονεύει Κάλλιππος* (Porsonus *καὶ Ἵππαρχος*) *ἐν Παννυχίδι διὰ τούτων Ὁ διαγρυπνήσας κτλ.* Vs. 1 legebatur *ὁ δ' ἀγρυπνήσας τὸν πυραμοῦντα*. Correxit Porsonus. Vs. 2 *κοττάβια* VL *κοττάβεια* AP. Tum lacunam indicavi. Pro *θέλει* PVL *θέλῃ*. Fortasse *ἥντιν' ἂν θέλῃ*. Nisi forte *πυραμοῦντα* delendum est locusque ita resfituendus:

Ὁ διαγρυπνήσας λήψεται
τὰ κοττάβια καὶ τῶν παρου- .
σῶν ἣν θέλει φιλήσει.

Cfr. Etym. M. p. 533 21: *καὶ ἆθλα οἱ νικῶντες ἐλάμβανον πλακουντίσκους, πυραμοῦντας ἢ σησαμοῦντας, ἅπερ κοττάβια ἐλέγον.* Itaque *πυραμοῦντα* ex interpretatione illatum videri potest.

Ceterum si recte habet in Athenaei loco Callippi nomen, idem fort. etiam Hesychio restituendum, *Δευτερίας: κάλλιπος. οἶνος εὐτελής.*

CLEARCHVS

ΚΙΘΑΡΩΙΔΟΣ

1 I (4, 562)

Τήνδ' ἐγώ
μεστὴν ἅπαξ ἐπονομάσας προπίομαι
συγγενέσι πίστωμα φιλίας, πιὼν δ' ἐρῶ
τὰ λοιπά· πνίγομαι γάρ. Β. ἀλλ' ἐπιρρόφει.

Athenaeus X p. 426 a: *Ἐπὶ τούτοις τοῖς λόγοις ἐκπίνων τὸ ποτήριον ὁ Οὐλπιανὸς ἔφη Τήνδ' ἐγὼ — φιλίας. πρὸς ὃν ἔτι πίνοντα τῶν παρόντων τις προσέθηκε τὰ λειπόμενα ἰαμβεῖα Πιὼν ἐρῶ — ἐπιρρόφει. καὶ ὁ Οὐλπιανὸς ἐκπιὼν ἔφη, ταῦτα μὲν Κλέαρχος ἐν Κιθαρῳδῷ.* Vs. 2 pro *ἅπαξ* legebatur *ἅπασαν*. Correxit Dobraeus. Vs. 3 si cui offensioni est ictus in ultima syllaba nominis *πίστωμα* positus, poterit inverso verborum ordine scribere *πίστωμα φιλίας συγγενέσι*. Post *πιὼν* addidi *δ'*. Vs. 4 verba *ἀλλ' ἐπιρρόφει* alteri interlocutori attribui. Vs. 3 et 4 pro *ἐρῶ τὰ λοιπὰ* ante Schweighaeuserum *ἔρωτα λοιπόν*.

2 II (4, 563)

Γόγγρων τε λευκῶν πᾶσι τοῖς κολλώδεσι
βρόχθιζε. τούτοις γὰρ τρέφεται τὸ πνεῦμα καὶ
τὸ φωνάριον ἡμῶν περίσαρκον γίνεται.

Athenaeus XIV p. 623 c: *καὶ ὃς πάνυ ἐμμελέστατα ἀπαντήσας αὐτῷ ἀνεφώνησε τὰ ἐκ τοῦ Κλεάρχου Κιθαρῳδοῦ τάδε Γόγγρων κτλ.* Vs. 1 *γόγγρῳ τε λευκῷ* ABPV *γόγγρον τε λευκόν* L. Scripsi quod Emperium alicubi coniicere memini, *γόγγρων τε λευκῶν*. Idem pro *πᾶσι*, si recte memini, *κρέασι*. Vs. 3 *περίσαρκον* Schweighaeuserus. Libri *περίσαργον*. Casaubonus *περίλαμπρον*.

K O R I N Θ I O I

(4, 563)

Εἰ τοῖς μεθυσκομένοις ἑκάστης ἡμέρας
ἀλγεῖν συνέβαινε τὴν κεφαλὴν πρὸ τοῦ πιεῖν
τὸν ἄκρατον, ἡμῶν οὐδὲ εἷς ἔπινεν ἄν.
νυνὶ δὲ πρότερον τοῦ πόνου τὴν ἡδονὴν
προλαμβάνοντες ὑστεροῦμεν τἀγαθοῦ.

Athenaeus XIV p. 613b: *Κλέαρχος δ' ὁ κωμῳδιοποιὸς ἐν Κορινθίοις φησίν Εἰ τοῖς κτλ.* Vs. 4 libri *νῦν δὲ πρότερόν γε.* Correxit Porsonus.

Π A N Δ P O Σ O Σ

(4, 563)

Λάβ' ὕδωρ κατὰ χειρός. Β. μηδαμῶς. καλῶς ἔχει.
Α. λάβ' ὡγάθ'. οὐδὲν χεῖρον. ἡ παῖς ἐπιτίθει
ἐπὶ τὴν τράπεζαν κάρυα καὶ τραγήματα.

Athenaeus XIV p. 642b de mensis secundis disserens: *Κλέαρχος Πανδρόσῳ Λάβ' ὕδωρ κτλ.* Vs. 2 ἡ ante *παῖς* addidit Dobraeus.

EX INCERTA FABVLA

(4, 564)

Οἶνος Λέσβιος,
ὃν αὐτὸς ἐποίησεν ὁ Μάρων μοι δοκῶ.

Athenaeus I p. 28e: "*οἶνος Λέσβιος, ὃν αὐτὸς ἐποίησεν ὁ Μάρων μοι δοκῶ*" *φησί Κλέαρχος.* Eustathius ad Odyss. p. 1623 47: *δοκεῖ δὲ ἀμπέλων ἐπιμελητὴς ὁ Μάρων γενέσθαι μάλιστα ὧν γλυκὺς ὁ οἶνος, διὸ Κλέαρχός τις ἐπισημαινόμενος ἔφη τὸ "οἶνος Λέσβιος, ὃν ἐποίησεν ὁ Μάρων μοι δοκῶ."* Possis *ἐμοί*, nisi malis *ἐξεποίησεν.*

CROBYLVS

A Π A Γ X O M E N O Σ

I (4, 565)

Παράσιτον αὐτόσιτον· αὐτὸν γοῦν τρέφων
τὰ πλεῖστα συνερανιστὸς εἶ τῷ δεσπότῃ.

Athenaeus VI p. 248b: *αὐτόσιτον δ' εἴρηκε Κρώβυλος ἐν Ἀπαγχομένῳ Παράσιτον αὐτόσιτον κτλ.* Idem II p. 47e: *ἀπόσιτον δ' εἴρηκε Φιλωνίδης, αὐτόσιτον δὲ Κρώβυλος· παράσιτον αὐτόσιτον.* Vs. 2 libri *συνερανιστής.* Correxit Pors.

2 II (4, 565)

Καὶ σκάφην λαβών τινα
τῶν ἐσχαριτῶν τῶν καθαρῶν.

Athenaeus III p. 109 d: *τούτου (ἄρτου ἐσχαρίτου) μνημονεύει — καὶ Κρώβυλος ἐν Ἀπαγχομένῳ Καὶ σκάφην κτλ.*

ΑΠΟΛΙΠΟΥΣΑ

3 I (4, 566)

Πάλιν ἡ τοῦ βίου
ὑγρότης με τοῦ σοῦ τέθαφε· τὴν ἀσωτίαν
ὑγρότητα γὰρ νῦν προσαγορεύουσίν τινες.

Athenaeus VI p. 258 b. c: *οὐκ ἂν διαμάρτοι δέ τις τὸν τοῦ μειρακίου τούτου τοῦ Κυπρίου βίον ὑγρὸν ὀνομάζων, οὗ πολλοὺς καὶ διδασκάλους φησὶν εἶναι Ἀθήνησιν Ἄλεξις ἐν Πυραύνῳ — καὶ Κρώβυλος ἐν Ἀπολιπούσῃ Πάλιν κτλ.* Vs. 1 fort. *πάλαι δ' ἡ* vel *πάνυ γ' ἡ.* Vs. 2 *τέθαφε* Casaubonus. *τέθαιφε* DPQVL *τε . . φε* membranae Casauboni. *τέθ φε* B *τέθρεφε* codex Huraldinus. Reliqui *τέθαφε*, quamquam certum est poetam aliud quid scripsisse. Fortasse *τέθυφε* i. e. *ἐκκέκαυκε, urit, moerore afficit.*

4 II (4, 566)

Τὸ γὰρ ἐνδελεχῶς μεθύειν τίν' ἡδονὴν ἔχει,
ἀποστεροῦντα ζῶνθ' ἑαυτὸν τοῦ φρονεῖν,
ὃ μέγιστον ἡμῶν ἀγαθὸν ἔσχεν ἡ φύσις;

Athenaeus X p. 429 d de ebrietate disserens: *τὸ δ' ἐνδελεχῶς μεθύειν, φησί Κρώβυλος ἐν Ἀπολιπούσῃ, τίν' ἡδονήν κτλ.* Idem p. 443 f: *Κρώβυλός τ' ἐν Ἀπολιπούσῃ Τὸ γὰρ ἐνδελεχῶς κτλ.* Vs. 2 priore loco libri *τοῦ σωφρονεῖν.*

ΨΕΥΔΥΠΟΒΟΛΙΜΑΙΟΣ

5 I (4, 567)

Λάχης. Β. ἐγὼ δὲ πρὸς σέ. Α. πρόαγε. Β. ποῖ;
Α. ὅποι μ' ἐρωτᾷς; ὡς Φιλουμένην, παρ' ἣ
τἀπιδόσιμ' ἡμῖν ἐστιν, ἧς ἐχθὲς πιεῖν
κυάθους ἕκαστον ἐβιάσω σὺ δώδεκα.

Athenaeus VIII p. 364 f: *ὀνομάζουσι δ' οἱ ἀρχαῖοι καὶ ἐπιδόσιμά τινα δεῖπνα, ἅπερ Ἀλεξανδρεῖς λέγουσιν ἐξ ἐπιδομάτων. Ἄλεξις . . . καὶ Κρώβυλος ἐν Ψευδυποβολιμαίῳ Λάχης κτλ.* Ante *Λάχης* apud poetam fuisse videtur *πρὸς σὲ βούλομαι.* Vs. 2 *ὅποι* pro *ὅπου* Iacobsius. Vs. 4 *ἕκαστον* pro *ἑκατὸν* Casaubonus.

II (4, 567) 6

Καὶ πλεκτάνην στιφρὰν σφόδρ', ἐν τούτοις τέ που
αἰσχυνόμενον ἦπαρ καπρίσκου σκατοφάγου.

Athenaeus III p. 107 e: *μήποτε δὲ καὶ Κρώβυλος ὁ κωμῳδιοποιὸς αἰσχυνόμενον εἶπε τὸ τοιοῦτον ἧπαρ, ὥσπερ καὶ Ἄλεξις, ἐν Ψευδυποβολιμαίῳ λέγων οὕτως Καὶ πλεκτάνην κτλ.* Scilicet Alexis dixerat Crat. I 17: *ἡπάτιον ἐγκεκαλυμμένον· αἰσχύνεται γὰρ πελιτνὸν ὂν τῷ χρώματι.* Vs. 2 *καπρίσκου σκατοφάγου* Porsonus. *καὶ πρίσκους καταφαγοῦ* BPV. *καὶ καπρίσκους καταφαγοῦ* Casaubonus.

III (4, 568) 7

Εἰσῆλθεν ἡμίκραιρα ταχερὰ δέλφακος·
ταύτης μὰ τὸν Δί' οὐχὶ κατέλιπον δ' ἐγώ
οὐδέν.

Athenaeus IX p. 384 c: *Ἦσαν δὲ καὶ ἡμίκραιραι πολλαὶ δελφάκων. μνημονεύει δ' αὐτῶν Κρώβυλος ἐν Ψευδυποβολιμαίῳ· Εἰσῆλθεν κτλ.* Vs. 2 ante Dindorfium *γ' ἐγώ*. B *λέγω*. Ex eadem huius fabulae scena petitum suspicor fragm. inc. II.

EX INCERTIS FABVLIS

I (4, 568) 8

Ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ
τοὺς δακτύλους δήπουθεν Ἰδαίους ἔχω,
καὶ τὸν λάρυγγ' ἥδιστα πυριῶ τεμαχίοις.
Β. κάμινος, οὐκ ἄνθρωπος.

Athenaeus I p. 5 f: *Τὰ δ' αὐτὰ καὶ περὶ τοῦ Κυθηρίου Φιλοξένου ἱστοροῦσι καὶ Ἀρχύτου καὶ ἄλλων πλειόνων, ὧν τις παρὰ Κρωβύλῳ τῷ κωμικῷ φησιν Ἐγὼ δέ κτλ.* Vs. 3 *φάρυγγ'* Suidas. *πυρειῶ* BCD *τεμάχοις* Suidas *τεμαχείῳ* D.

II (4, 569) 9

Χλωρὸν ἐρέβινθόν τινα
ἐκοττάβιζον κενὸν ὅλως. Β. τράγημα δέ
ἔστιν πιθήκου τοῦτο δήπου δυστυχοῦς.

Athenaeus II p. 54 e: *Ἐρέβινθοι. Κρώβυλος Χλωρόν κτλ.* Vs. 2 vulgo *τραγήματα δ'*. Casaubonus *τράγημα δή*. Dindorfius *τράγημα δέ*.

III (4, 569) 10

Τὸν πλακοῦντα κόμμιδι,
οὐ μέλιτι, διεκόσμει.

Grammat. Bekkeri p. 1208: *δεῖ δὲ γινώσκειν ὅτι τοῦ κόμμι εὑρέθη παρὰ Κρωβύλῳ* (editur *Κρυβόλῳ*) *ἡ δοτικὴ κόμμιδι ὡς παρὰ τῆς κόμμιδος γενικῆς· ἔχει δὲ οὕτως Τὸν πλακοῦντα κτλ.*

De quarto quodam loco vide Hist. crit. p. 491.

DEMONICVS

ΑΧΕΑΙΟΣ

(4, 570)

Ἐσπουδάκει δ' ἕκαστος, ὡς ἂν ἑστιῶν
ἅμα τ' ὀξύπεινον ἄνδρα καὶ Βοιώτιον·
τὸ γοῦν κατὰ χειρὸς περιγράφει πᾶς, ὅτι μετά
τὸ δεῖπνον αὐτῷ τοῦτο γίνεται λαβεῖν.

Athenaeus IX p. 410 d: *Πολέμων ἐν ἕκτῳ τῶν πρὸς Ἀντίγονον καὶ Ἀδαῖον περὶ τῆς διαφορᾶς λέγει τοῦ κατὰ χειρὸς πρὸς τὸ νίψασθαι. Δημόνικος δ' ἐν τῷ Ἀχελῴῳ τὸ πρὸ τοῦ δείπνου κατὰ χειρός φησι διὰ τούτων Ἐσπουδάκει κτλ. Ἀχελῴῳ* Dalecampius, libri *Ἀχελωνίῳ*. Sequentia Athenaei verba fortasse ita scribenda: *τό τε πρὸ τοῦ δείπνου [καὶ τὸ μετὰ τὸ δεῖπνον] κατὰ χειρός φησι διὰ τούτων.* Vs. 1 malim *ἐσπούδαχεν*. Tum *ἑστιῶν* Casaubonus. Vulgo *ἐσθίων*. Vs. 4 addidi *τό*.

DEXICRATES

ΥΦ ΕΑΥΤΩΝ ΠΛΑΝΩΜΕΝΟΙ

(4, 571)

Εἰ δὲ μεθύω καὶ χιόνα πίνω καὶ μύρον
ἐπίσταμ' ὅτι κράτιστον Αἴγυπτος ποιεῖ.

Athenaeus III p. 124 b de nivis potu disserens: *Δεξικράτης δ' ἐν τῷ ἐπιγραφομένῳ 'Υφ' ἑαυτῶν πλανώμενοί φησιν Εἰ δὲ μεθύω κτλ.* Vs. 1 *ἴδε* pro *εἰ δὲ* Porsonus, *ἤδη* Dindorfius. Possis etiam *τί δέ;* nisi Athenaeus apodosin omisit. Vs. 2 vulgo *ἐπὶ στόματος*. AB *ἐπὶ στόματι*, quod correxi.

EVANGELVS

ΑΝΑΚΑΛΥΠΤΟΜΕΝΗ

(4, 572)

*Τέτταρας * * τραπέζας τῶν γυναικῶν εἶπά σοι*
ἐξ δὲ τῶν ἀνδρῶν, τὸ δεῖπνον δ' ἐντελὲς καὶ μηδενί
ἐλλιπές. λαμπροὺς γενέσθαι βουλόμεσθα τοὺς γάμους.
B. οὐ παρ' ἑτέρου δεῖ πυθέσθαι, πάντα δ' αὐτόπτης ἐρῶ.
τῶν μὲν ἐλαῶν ἄφελε πάνθ' ὅσ' ἂν βούλῃ γένη.
εἰς δὲ τὰ κρέα μόσχον ἔλαβες, δέλφακας, χοίρους, λαγώς.
A. ὡς ἀλαζὼν ὁ κατάρατος. B. θρῖα, τυρόν, ἐγχύτους.
*A. παῖ Δρόμων. B. κάνδυλον, ᾠά τ', ἀμύλιον * * **
τὸ πέρας, ὕψος τῆς τραπέζης πήχεών ἐστιν τριῶν,
ὥστε τὸν δειπνοῦντ' ἐπαίρειν, ἄν τι βούληται λαβεῖν.

Athenaeus XIV p. 644 c. d: *ἐγχύτων δὲ πλακούντων μνημονεύει Μένανδρος μὲν — Εὐάγγελος δ' ἐν Ἀνακαλυπτομένῃ Τέτταρας τραπέζας κτλ.* Vs. 1 fortasse *ποιεῖν* addendum post *τέτταρας*. Ibid. vulgo *εἶπα* sine *σοι*. Cod. A *εἶπας οἱ*. Correxit Schweighaeuserus. Vs. 2 *δ'* additum a Dindorfio. Ibid. *μηδενί* Fiorillo. Libri *μηδέν*. Nisi praestat *μηδενός*. Vs. 3 ante Dindorfium *γίνεσθαι*. Vs. 4 B *αὐτόπτας*. Vs. 5 Dindorfius tentat *τῶν ἐλαῶν μὲν γὰρ ἄφελε*. Fortasse ante *πάνθ'* excidit *πρῶτον* vel simile quid. Ibid. libri *ὅσα βούλει*. Dindorfius *ὅσ' ἂν βούλῃ* vel *ὁπόσα βούλει*. Vs. 6 *λαγὼς* pro *λαγωοὺς* Schweighaeuserus. Vs. 8 supplere possis *παῖ παῖ Δρόμων*, quae verba facile excidere potuerunt.

LAON

ΔΙΑΘΗΚΑΙ

(4, 574) 1

Τῶν γὰρ μετ' ἐμαυτὸν εἰκόνος καὶ μνημάτων
ἀεὶ καταφρονῶν ζῶν ἔχειν τι βούλομαι.

Stobaeus Flor. CXXIII 5 cum lemmate *Λάωνος ἐκ Διαθηκῶν.*

EX INCERTA FABVLA

(4, 574) 2

Βοιωτὸν ἄνδρα στέργε, τὴν Βοιωτίαν
μὴ φεῦγ'· ὁ μὲν γὰρ χρηστὸς ἡ δ' ἐφίμερος.

Dicaearchus Vit. Graec. p. 28 Buttm. de Thebis scribens: *καὶ νίφεται καὶ πηλὸν ἔχει πολύν· οἱ στίχοι Λάωνος. γράφει δὲ ἐπαινῶν αὐτοὺς καὶ οὐ λέγων τὴν ἀλήθειαν. μοιχὸς γὰρ ἁλοὺς ἀφείθη, μικροῦ διαφόρου τὸν ἀδικηθέντα ἐξαγοράσας· Βοιωτὸν ἄνδρα κτλ.* Legebatur *ἐφήμερος*, quod correxit Stephanus.

NAVSICRATES

NAYKΛHPOI

1 I (4, 575)

Δύο μὲν ἅπαλοὶ καὶ καλοί
. . . . τοῦ ναυτίλοισι πολλάκις
ἤδη φανέντος πελαγίοις ἐν ἀγκάλαις,
ὃν καὶ τὰ θνητῶν φασιν ἀγγέλλειν πάθη.
Β. γλαῦκον λέγεις. Α. ἔγνωκας.

Athenaeus VII p. 296a de glauco pisce disserens: *Ναυσικράτης Ναυκλήροις Δύο μέν, φησίν, ἅπαλοί κτλ.* Vs. 2 Dobraeus supplet *παῖδες θεοῦ*, Porsonus *ἐπώνυμοι*. Ceterum vide ad sequens fragmentum.

2 II (4, 575)

Μετ' αὐτῶν δ' εἰσὶν ἐκπρεπεῖς φύσιν
αἱ ξανθοχρῶτες, ἃς κλύδων Αἰξωνικός
πασῶν ἀρίστας ἐν τόποις παιδεύεται,
αἷς καὶ θεὰν τιμῶσι φωσφόρον Κόρην
δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι.
Β. τρίγλας λέγεις. γαλακτοχρῶτα Σικελὸς ὃν
πήγνυσ' ὄχλος ῥόμβος.

Athenaeus VII p. 325e: *Ναυσικράτης δ' ὁ κωμῳδιοποιὸς ἐπαινεῖ τὰς Αἰξωνικὰς τρίγλας ἐν Ναυκλήροις λέγων οὕτως Μετ' αὐτῶν — τρίγλας λέγεις.* Idem p. 330b: *Ῥωμαῖοι δὲ καλοῦσι τὴν ψῆτταν ῥόμβον, καὶ ἔστι τὸ ὄνομα ἑλληνικόν. Ναυσικράτης ἐν Ναυκλήροις· προειπὼν δὲ [περὶ Γλαύκου τοῦ θεοῦ, εἶτα] περὶ γλαύκου τοῦ ἰχθύος ἐπιφέρει Αἱ ξανθοχρῶτες — πήγνυσ' ὄχλος ῥόμβος.* Inclusa verba de coniectura addidi. Vs. 3 loco priore *ἐντόπους* epit. Hoeschelii. Fortasse *ἐντόποις* vel *ἐμπόροις*. Quamquam nec *ἐν τόποις, in locis illis*, spernendum. Vs. 6 altero loco *τρίγλαν*. Postrema verba *γαλακτοχρῶτα* etc. ex altero Athenaei loco accesserunt. Numeros et sententiam ita quodammodo restituere licebit:

τρίγλαν λέγεις γαλακτοχρῶτα, Σικελὸς ἦν
πήγνυσ' ὄχλος ῥόμβοισι.

Quae ad nescio quam Siculorum superstitionem spectare videntur. At vix credibile est triglis, quas paucis versibus ante *ξανθοχρῶτας* appellaverat, nunc lacteum colorem tribui. Accedit quod Athenaeus Nausicratem *ῥόμβον* commemorasse dicit, postquam is de glauco pisce dixisset, *προειπὼν περὶ γλαύκου τοῦ ἰχθύος ἐπιφέρει.* Ex quo apertum esse arbitror verba "*γαλακτοχρῶτα Σικελὸς ὃν πήγνυσ' ὄχλος ῥόμβοισι*" ad glaucum piscem, non autem ad triglam pertinere, et cum primo fabulae fragmento ita coniungenda esse:

γλαῦκον λέγεις γαλακτοχρῶτα, Σικελὸς ὃν
πήγνυσ' ὄχλος ῥόμβοισι.

Haec si vera sunt, consentaneum est postremam partem secundi fragmenti ita scribendam esse: *B. τρίγλας λέγεις. A. ἔγνωκας.* Itaque ex mea quidem sententia utrumque fragmentum ita scribendum fuerit:

Δύο μὲν ἅπαλοὶ καὶ καλοί
[παῖδες θεοῦ] τοῦ ναυτίλοισι πολλάκις
ἤδη φανέντος πελαγίοις ἐν ἀγκάλαις,
ὃν καὶ τὰ θνητῶν φασιν ἀγγέλλειν πάθη.
B. γλαῦκον λέγεις γαλακτοχρῶτα, Σικελὸς ὃν
πήγνυσ' ὄχλος ῥόμβοισιν. A. ἔγνωκας . .
. . . A. μετ' αὐτῶν δ' εἰσὶν ἐκπρεπεῖς φύσιν
αἱ ξανθοχρῶτες, ἃς χλύδων Αἰξωνικὸς
πασῶν ἀρίστας ἐν τόποις παιδεύεται·
αἷς καὶ θεὰν τιμῶσι φωσφόρον Κόρην
δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι.
B. τρίγλας λέγεις. A. ἔγνωκας.

Praeterea etiam in prioribus loci verbis aliquid vitii inesse suspicor, siquidem ex vs. 5 colligi potest, initio non plures glaucos sed unum tantum commemoratum fuisse. Itaque nescio an, non Athenaeus quidem, at poeta vs. 1 et 2 ita fere scripserit: *Ἄκουε δή. πρῶτον μὲν ἁπαλὸς καὶ καλός | παῖς τοῦ θεοῦ τοῦ ναυτίλοισι κτλ.* et vs. 7 *μετ' αὐτὸν* pro *μετ' αὐτῶν.*

ΠΕΡΣΙΣ

(4, 578)

Ἐν τῇ γὰρ Ἀττικῇ τίς εἶδε πώποτε
λέοντας ἢ τοιοῦτον ἕτερον θηρίον;
οὗ δασύποδ' εὑρεῖν ἐστιν οὐχὶ ῥᾴδιον.

Athenaeus IX p. 399 e: *Ναυκράτης δ' ὁ κωμῳδιοποιὸς ἐν Περσίδι σπανίως φησὶν ἔστιν εὑρεῖν δασύποδα περὶ τὴν Ἀττικήν. λέγει δ' ὧδε Ἐν τῇ γάρ κτλ.* Vide supra ad Menandri fragm. inc. fab. CCXCVII. Vs. 2 C ante *τοιοῦτον* addit *τι*.

N I C O

K I Θ A P Ω I Δ O Σ

(4, 578)

Καὶ πάνυ τις εὐκαίρως προπίνων φησί
πατριῶτα. μάνην δ' εἶχε κεραμεοῦν, ἁδρόν,
χωροῦντα κοτύλας πέντ' ἴσως. ἐδεξάμην.

Athenaeus XI p. 487 c: *Μάνης: ποτηρίου εἶδος. Νίκων Κιθαρῳδῷ Καὶ πάνυ κτλ.* Pollux VI 99: *γευστηρίου μὲν Ἀριστοφάνης μέμνηται, μάνου δὲ Νίκων ἐν Κιθαρῳδῷ Πατριώτιδα δὲ μάνην λαβὲ* (A et Ald. *λάβε*) *κεραμεοῦν ἁδρόν, χωροῦντα κοτύλας πέντε ἴσως.* Porsonus tentabat *Κεἰ πάνυ τις εὐκαίρως προπίνων φησί μοι,* | *μάνην δέχου πατριῶτα.* Heringa *προπίνω, φησί, σοί, πατριῶτα.* Pro *μάνου* et *μάνην* in Pollucis loco Aldus habet *μανοῦ* et *μανήν*, hoc cum A.

N I C O L A V S

EX INCERTA FABVLA

(4, 579. 580)

Τὸ τῶν παρασίτων, ἄνδρες, ἐξεῦρεν γένος
Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος.
οὐ δυνάμενος δὲ τῇ τέχνῃ χρῆσθαι καλῶς
ἀκόλαστον ἔσχε γλῶσσαν, εἶτ' ἀκουσίῳ
δίφρῳ περιπεσὼν δυναμένῳ λιμὸν ποιεῖν
ἀπὸ τῆς τραπέζης ἐξαπίνης ἀπεστράφη·
ἄφνω δὲ πληγεὶς εἰς μέσην τὴν γαστέρα
ἔδοξεν αὐτῷ γεγονέναι τἄνω κάτω,
Σίπυλόν τε τοῦτον ἀνατετράφθαι τὸν τρόπον·
καὶ μάλα δικαίως· Φρὺξ γὰρ ὢν οὐχ ἱκανὸς ἦν
τὴν τοῦ τρέφοντος εὖ φέρειν παρρησίαν.
διὸ δὴ τοιαύτης παντελῶς κακεξίας
ἐν τοῖς βίοις παρὰ πᾶσιν ἐζηλωμένης
πικρῶς ἐπιπλῆξαι βούλομ', ἅνπερ νὴ Δία

παρρησίαν μοι δῶτε, τοὺς ἀσυμβόλους
τἀλλότρια δειπνεῖν ἑλομένους ἄνευ πόνου.
τί γὰρ μαθών, ἄνθρωπε, πρὸς τῶν δαιμόνων
βούλει παρασιτεῖν; ἢ τί τῶν ἐν τῷ βίῳ
ξυνῆκας; εἶπον, ἄξιον γὰρ εἰδέναι·
τίνος μαθητὴς γέγονας; αἵρεσιν τίνα
ζηλοῖς; ἀπὸ τίνων δογμάτων ὁρμώμενος
τολμᾷς παρασιτεῖν; ἃ μόλις ἡμεῖς τὸν βίον
ἅπαντα καταιρίψαντες οὐδὲ νῦν ἔτι
ἀνεφγμένην δυνάμεθα τὴν θύραν ἰδεῖν
διὰ τοὺς ἀναιδῶς τἀλλότρια μασωμένους.
οὐ παντὸς ἀνδρὸς ἐπὶ τράπεζάν ἐσθ' ὁ πλοῦς.
πλευρὰν ἔχειν πρώτιστον ἐν τούτοισι δεῖ,
πρόσωπον ἰταμόν, χρῶμα διαμένον, γνάθον
ἀκάματον, εὐθὺς δυναμένην πληγὰς φέρειν.
στοιχεῖα μὲν ταῦτ' ἔστι τῆς ὅλης τέχνης.
ἔπειτα δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾶν·
αἰσχρὸν γὰρ οἶμαι δοῦλον εἶναι σκώμματος.
ἀπὸ τῶν ἐτῶν κλέπτει τις ἢ καὶ βάπτεται,
θέλων καλὸς εἶναι, καὶ παρ' ἡλικίαν νοσεῖ·
ἔστω Γανυμήδης οὗτος ἀποθεούμενος·
πρὸς χάριν ὁμίλει τοῦ τρέφοντος ἐπ' ὀλέθρῳ·
παρατάττεταί τις καὶ ποιεῖ πάντας νεκρούς
δείπνῳ· σιωπῇ τοῦτον ὑπομυκτηρίσας
εἰς τὴν τράπεζαν καὶ σὺ τὴν χολὴν ἄφες.
οἶμαι δ' ἐμαυτὸν εὔθετον τῷ πράγματι,
παῖδες, γεγονέναι· πάντα γὰρ πρόσεστί μοι
ὅσα περ ἔχειν τἀλλότρια τὸν δειπνοῦντα δεῖ,
λιμός, ἀπόνοια, τόλμα, γαστήρ, ἀργία.
καὶ νῦν μ' ὁ Λυδῶν τῶν πολυχρύσων ἄναξ
σύνδειπνον αὑτῷ κέκρικεν εἶναι καὶ φίλον.

Stobaeus Flor. XIV 7 cum lemmate *Νικολάου*. Vs. 1 recte legitur *ἐξεῦρεν γένος*, ut apud Athen. IV p. 154 d: *τῶν μονομαχούντων εὑρετὰς ἀποφαίνει Μαντινεῖς*. Vs. 2 Euripidis est Or. vs. 5. Vs. 4 verba *ἀκόλαστον ἔσχε γλῶσσαν* item sunt ex Eurip. Or. 10. Vs. 6 *εἰ τῆς*, ut vulgo, libri meliores. *ἀπὸ τῆς* quattuor MSS apud Schowium et cod. B a manu sec. Grotius *τὰ τῆς*. Iacobsius *θείης* (*θείας*). Vs. 12 *διὸ δεῖ* cod. A. Vs. 14 *ἐπιπλῆξαι* cod. A, Gesneri margo et duo MSS apud Schowium. Vulgo *ἐκπλῆξαι*. Pro *πικρῶς* cod. A *πικρός*. Vs. 17 forsan *παθών*. Editum tamen tuetur Hermannus Praef. ad Aristoph. Nub. p. XLVII.

Vs. 19 "νυξῆκας AN εὕρηκας A in marg. νύξηκας B cum ἴσ. ἤυξηκας et γρ. εὕρηκας in marg." *Gaisfordus.* Vs. 21 ζηλοῖς Valckenarius. Trinc. κλοῖς. Gesn. . κλοῖς. AB et Gesneri margo εἴλου. Schowius ex uno MS φιλεῖς. Vs. 23 verba οὐδὲ νῦν ἔτι corrupta videntur. Sententia requirit οὐδὲ νῦν γέ πω, vel simile quid. Ibid. ἅπαντα pro πάντα Iacobsius ad Br. Anal. vol. III 1 p. 154. Vs. 25 ἀναιδῶς Grotius. Gaisfordus ἀνώδυνα ex quattuor MSS apud Schowium et B a m sec. Quae aperta interpolatio est. Vulgo ἄνω δία, in quo latere videtur ἀνοδία. Ibid. μασωμένους scripsi pro μασσωμένους. Vs. 27 πρώτιστον ἐν τούτοισι AB, margo Gesn. et MSS Schowii. πρώτοισι τούτοισι Trinc. πρώτοισι τουτέοισι Gesn. Vide an scripserit poeta: πλευρὰν ἔχειν πρώτιστον ἔντονον vel εὔτονόν σε δεῖ. Vs. 36 vulgo ὁμιλεῖ, pro quo ὁμίλει scripsi ex B. Celerum hic versus melius post vs. 32 legeretur. Vs. 37 παρατάττεται AB in margine. παράττεται Trinc. et AB in textu. Vulgo ταράττεται. Fortasse χαράττεται. Vs. 38 B δείπνει. Scribendum videtur δειπνῶν. Vs. 40 πράγματι A et margo Gesn. pro vulgato τοῖς πράγμασι. Vs. 45 καὶ addidit Grotius.

NICOMACHVS

ΕΙΑΕΙΘΥΙΑ

1 (4, 583. 584)

Ὑποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ
καὶ πρᾶον, ὀλίγωρον δὲ πεποίηκάς τι. Β. πῶς;
Α. ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐξήτακας.
ἦ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων
οὕτω τ' ἐμισθώσω με; Β. μὰ Δί' ἐγὼ μὲν οὔ.
Α. ἦ μὴν ἴσως ὅσον μαγείρου διαφέρει
μάγειρος οὐκ οἶσθ'. Β. εἴσομαι δέ γ' ἢν λέγῃς.
Α. τὸ γὰρ παραλαβόντ' ὄψον ἡγορασμένον,
πάτερ, ἀποδοῦναι σκευάσαντα μουσικῶς
διακόνου 'στ' οὐ τοῦ τυχόντος, Ἡράκλεις.
ὁ μάγειρός ἐσθ' ὁ τέλειος ἑτέρα διάθεσις.
πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ,
ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι
ταύταις προσελθεῖν εὐθύς· ἀλλ' ἔμπροσθε δεῖ
ζωγραφίας ἧφθαι. ταὐτὰ καὶ μαγειρικῆς
πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας,

ὧν εἰδέναι σοι κρεῖττον ἦν μοι πρὶν λαλεῖν,
ἀστρολογικήν, γεωμετρικήν, ἰατρικήν.
τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τύχας
ἐντεῦθεν εἶσει, παρακολουθήσεις χρόνοις,
πότ' ἄωρός ἐσθ' ἕκαστος ἢ πόθ' ὥριμος.
τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα·
ἐνίοτε κρείττων γίνεται θύννου βόαξ.
B. ἔστω. γεωμετρικῇ δὲ καὶ σοὶ πρᾶγμα τί;
A. τοὐπτάνιον ἡμεῖς σφαῖραν εἶναι τιθέμεθα.
τοῦτο διελέσθαι καὶ τόπον λαβόνθ' ἕνα
μερίσαι κατ' εἶδος τῆς τέχνης ἐπιδέξια,
ἐκεῖθεν ἐνταῦθ' ἐστὶ μετενηνεγμένα.
B. οὗτος, πέπεισμαι· καὶ τὰ λοιπὰ μὴ λάλει.
A. περὶ τῆς ἰατρικῆς δέ· τῶν γὰρ βρωμάτων
πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν
ἔχοντ' ἔνι' ἔστιν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς
τἀλλότρια γίνετ' ὀξύχειρ κοὐκ ἐγκρατής.
τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν, μεταφορὰ δ' ἐστὶν τέχνης.
ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν.
παρὰ τακτικῆς, ἕκαστα ποῦ τεθήσεται·
ἀριθμῷ τὸ πλῆθος εἰδέναι μαγειρικῆς.
οὐθεὶς ἕτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται.
B. μικρὰ διάκουσον ἐν μέρει κἀμοῦ. *A.* λέγε.
B. σὺ μηθὲν ἐνόχλει μήτε σαυτὸν μήτ' ἐμέ,
ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.

Athenaeus VII p. 290 e: *Νικόμαχος δ' ἐν Εἰλειθυίᾳ καὶ αὐτὸς παράγει τινὰ μάγειρον ὑπερβάλλοντα τοὺς περὶ τὸν Διόνυσον τεχνίτας. λέγει δ' οὖν οὗτος πρὸς τὸν μισθωσάμενον Ὑποδεικνύεις κτλ.* Vs. 2 fortasse *πεποίηκάς τί πως.* Vs. 5 et 6 vulgo *οὐκ ὤμην. B. ἴσως.* Grotius *οὐκ. A. ἦ μήν.* Iacobsius *οὔ. A. καὶ μήν.* Vs. 6 et 7 *μαγείρου διαφέρει μάγειρος* Schweighaeuserus. *διαφέρει μαγείρου μάγειρος* ABCDPQ *διαφέρει διακόνου μάγειρος* VL. Pro *ἦν* malim *ἄν.* Post vs. 7 C ita pergit: *ἔπειτα αὐχήσας ὁ μάγειρος εἰδέναι τὸ ἠγορασμένον ὄψον σκευάζειν μουσικῶς, ληρεῖ ὅτι πρὸ τῆς μαγειρικῆς τέχνης πρότερον μαθεῖν δεῖ ἑτέρας τέχνας, ἀστρολογικήν, ἰατρικήν κτλ.* Vs. 9 libri *πότερον.* Dobraeus *πότερ'.* Scripsi *πάτερ.* Vs. 10 vulgo *διακόνου 'στὶ τοῦ.* Cod. A *διακόνουσ' τούτου.* Correxit Schweighaeuserus. Vs. 14 *ἀλλὰ ἔμπροσθεν* B. Vs. 15. Haec lacunosa esse et metrum arguit et multo magis

sententiae ratio. Falluntur enim interpretes qui *ζωγραφίαν*, quam poeta commemorat, hunc ad coquinariam artem necessariam statuisse existimant. Ibid. pro *ταὐτὰ* BP habent *ταῦτα*. Recte Dindorfius suspicatur *κατὰ ταὐτὰ* olim scriptum fuisse. Vs. 16 Hermannus *δεῖ τινα τέχνης*. Vs. 17 pro *ὧν* cod. B *ὡς*. Ibid. *λαβεῖν* PVL *λαλεῖν* A. Quae si vera est lectio, non intellegitur cur non *πρίν μοι* poeta scripserit. Sed vereor ne hic etiam alia corrupta sint. Vs. 18 *γεωμετρικήν, ἰατρικὴν* ex mea emendatione (in notis mscr.) edidit Dindorfius. Idem nunc etiam Dobraeus. Vulgo *ἰατρικὴν γεωμετρικήν*. Vs. 19 *τύχας* pro *τέχνας* Erfurdto praeeunte restitui. Vs. 20 libri *εἴσῃ*. Ib. fortasse *παρακολουθήσας*. Vs. 21 pro *πότ᾽ ἄωρος* cod. B *πόθωρος*. Neque aliter ut puto cod. A. Fortasse igitur scribendum *πόθ᾽ ὥριός ἐσθ᾽ ἕκαστος ἢ πότ᾽ ἀώριος*. Vs. 25 *τοὐπτάνιον* pro *τοὐπτάνειον* vel *τοὐπτανεῖον* Casaubonus. Vs. 29 *οὗτος* AC *οὕτως* PVL *λάλει* VL *λαλεῖς* AP *λαλῆς* C. Vs. 32 *ἔνι᾽ ἔστιν* ex mea emendatione edidit Dindorfius. Libri *ἔνεστιν*. Ibid. B *δείπνω δέπας*. P *δειπνωδέπας*. Vs. 36 pro *ἐμὸν* Iacobsius tentabat *ἔχον*. Mihi haec gravius corrupta videntur quam ut coniectura sanari possint. Ac fortasse versus excidit, ut ita oratio procedat: *ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἔχον | παρ᾽ ἀρχιτεκτονικῆς διδάσκεται τέχνης*. Quae inde a vs. 37 sequuntur in C ita contracta leguntur: *ἔπειτα δεικνύει ὁ μάγειρος ὅτι καὶ τακτικῆς ἔστι τὸ εἰδέναι ἕκαστα ποῦ τεθήσεται. τὸ ἀριθμεῖν τὸ πλῆθος, ἣν καὶ αὐτὴν δεῖ εἰδέναι τὸν μάγειρον*. Vs. 38 pro *μαγειρικῆς* Iacobsius *λογιστικῆς*, Grotius *ἀριθμητικῆς*. Vs. 39 fortasse *κἀγγραφήσεται*. Vs. 39 et 41 Dindorfius *οὐδείς* et *μηδέν*.

N A Y M A X I A

2 (4, 587)

Ἐργῶδές ἐστιν ἐν βίῳ βεβιωκότα
τοὺς τῶν φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν.

Stobaeus Flor. XXXVIII 10 cum lemmate *ἐκ τοῦ Νικομάχου Ναυμαχίας*. Titulus fabulae fortasse e Polluce expediendus. Vs. 1 malim *εὖ βίου βεβηκότα*.

EX INCERTA FABVLA

3 I (4, 587)

Οὐσίδιον γὰρ καταλιπόντος μοι πατρός
οὕτω συνεστρογγύλικα κἀξεκόκκισα
ἐν μησὶν ὀλίγοις ὥσπερ ᾠόν τις ῥοφῶν.

Athenaeus II p. 58 a: *ᾠῶν δὲ ῥοφητῶν μνημονεύει Νιχώς Οὐσίδιον γάρ χτλ.* Vs. 1 *οὐσίδιον* BCDV *οὐσειδιον* L. **bri** *μοι τοῦ πατρός.* Correxit Iacobsius. Vs. 2 malim *συνογγύλισα* vel *συνεστρόγγυλα.*

II (4, 588) 4

Ὦ χαῖρε χρυσόκλυστα καὶ χρυσοῦς ἐμῶν.

Athenaeus XI p. 781 f: *φησὶ πρός τινα Νικόμαχος Ὦ χαῖρε* . **Aberat** *χαῖρε*, quod addendum esse monui Curis crit. p. 28. n *χρυσόκλυστα* scripsi pro *χρυσοκλαῦστα* cum Letronnio Dissert. nomin. vas. graec. p. 56.

De aliis duobus fragmentis Nicomachi, sed quae ad tragicum lius referenda videntur, vide Hist. crit. p. 498.

PHILOSTEPHANVS

Δ Η Λ Ι Ο Σ

(4, 589)

Εἰδώς σε πάντων διαφέροντα τῇ τέχνῃ
τῇ τ' ὀξύτητι μετὰ Θίβρωνα, Δαίδαλε,
τὸν ἐξ Ἀθηνῶν τὸν καλούμενον Πέρας,
δοὺς μισθὸν ὅν μ' ᾔτησας ἥκω δεῦρ' ἄγων.

Athenaeus VII p. 293 a: *Φιλοστέφανος δ' ἐν Δηλίῳ καὶ ὀνόματα ἐνδόξων μαγείρων ἐν τοῖσδε καταλέγει Εἰδώς σε πάντων χτλ.* Vs. 2 *Θίμβρωνα* ante Gaisfordum. Vs. 4 *ὅν μ' ᾔτησας* Casaubonus pro *ὃν ᾔτησας.*

POLIOCHVS

Κ Ο Ρ Ι Ν Θ Ι Α Σ Τ Η Σ

(4, 589) 1

Ὅπως σε πείσῃ μηδὲ εἷς, πρὸς τῶν θεῶν,
τοὺς βόακας, ἂν ποτ' ἔλθῃ, λευκομαινίδας καλεῖν.

Athenaeus VII p. 313 c: *καλοῦνται δέ τινες καὶ λευκομαινίδες, ἃς ἔνιοι βόακας ὀνομάζουσι. Πολίοχος Κορινθιαστῇ Ὅπως σε πείσῃ χτλ.*

EX INCERTA FABVLA

2 (4, 590)

Μεμαγμένην
μικρὰν μελαγχρῆ μᾶζαν ἠχυρωμένην
ἑκάτερος ἡμῶν εἶχε δὶς τῆς ἡμέρας
καὶ σῦκα βαιά, καὶ μύκης τις ἐνίοτ' ἄν
ὠπτᾶτο, καὶ κοχλίας γενομένου ψακαδίου
ἠγρεύετ' ἄν, καὶ λάχανα τῶν αὐτοχθόνων
θλαστή τ' ἐλάα, καὶ πιεῖν οἰνάριον ἦν
ἀμφίβολον.

Athenaeus II p. 60 c: *Μύκαι. Ἀριστίας· μύκαισι δ' ὠρέχθει τὸ λάινον πέδον. Πολίοχος Μεμαγμένην κτλ.* Vs. 6 ante Brunckium *ἀνηγρεύετ' ἄν.*

SOSICRATES

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

1 (4, 591)

Ὅταν γάρ, οἶμαι, λευκὸς ἄνθρωπος, παχύς,
ἀργός, λάβῃ δίκελλαν εἰωθὼς τρυφᾶν
πενταστάτηρον, γίνεται τὸ πνεῦμ' ἄνω.

Pollux IX 57: *ὅταν εἴπωσι πενταστάτηρον, πεντάμνουν δοκοῦσι λέγειν, ὡς ἐν τῇ Σωσικράτους Παρακαταθήκῃ Ὅταν γάρ κτλ.* Idem IV 173: *δίκελλαν δὲ πενταστάτηρον Σωσικράτης ἐν Παρακαταθήκῃ τὴν πεντάλιτρον.* Vs. 2 libri *εἰδώς.* Correxit I. Scaliger.

ΦΙΛΑΔΕΛΦΟΙ

2 (4, 591)

Λεπτὴ δὲ κυρτοῖς ἐγγελῶσα κύμασιν
αἴρα, κόρη Σκείρωνος, ἡσύχῳ ποδὶ
προσῆγε πράως καὶ καλῶς τὸν κάνθαρον.

Athenaeus XI p. 474 a: *Σωσικράτης* (de navigio voce *κάνθαρος* usus est) *Φιλαδέλφοις Λεπτὴ δὲ κυρτοῖς κτλ.*

EX INCERTIS FABVLIS

3 I (4, 592)

Ἀγαθοὶ δὲ τὸ κακὸν ἐσμεν ἐφ' ἑτέρων ἰδεῖν,
αὐτοὶ δ' ὅταν ποιῶμεν οὐ γινώσκομεν.

Stobaeus Flor. XXIII 2. *Σωσικράτους.* Euripidi tribuit Antonius Mel. p. 349. Cfr. Menandri *γνώμας μονοστ.* 46 et Matthiae Fragm. Eurip. p. 433. Vs. 1 Trincav. *ἑτέρους.*

II (4, 592) 4

Athenaeus I p. 31 e: *Ἄμφιας δ' οἶνος ὁ φαῦλος καλεῖται παρὰ Σωσικράτει.* Ἄμφιας C ἄμφι B. Suidas, *Ἄμφιας: μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ καὶ Σωσικράτης.*

III (4, 592) 5

Ὅταν ποθεῖν λέγῃ σε καὶ στέργειν γυνή,
φοβοῦ παρ' αὐτῆς πλεῖον' ὧν λέγει κακά.

Servavit Maximus Conf. p. 198, qui Socrati tribuit. Sosicrati vindicavi Hist. crit. p. 499.

THVGENIDES

ΔΙΚΑΣΤΑΙ

(4, 593) 1

Photius p. 600 et Suidas III p. 500: *Τριαχθῆναι λέγουσιν οἱ παλαιστριτικοὶ ἀντὶ τοῦ τρὶς πεσεῖν, ἢ τὸ τρὶς τροχάσαντα* (Photius *στοχάσαντα*) *νικηθῆναι, στάδιον, δίαυλον, δόλιχον. οὕτως Θουγενίδης ἐν Δικασταῖς.* Eadem, sed omisso Thugenidis testimonio, habet Antiattic. p. 114 22, ubi post *δίαυλον* adde *δόλιχον.*

EX INCERTIS FABVLIS

I (4, 593) 2

Ἤιτησεν εἰς ὀψώνιον τριώβολον.

Pollux VI 38: *καὶ τόπος Ἀθήνησιν τὸ ὄψον, ἀφ' οὗ φασιν "ἀπῆλθον εἰς τοὔψον." Κριτίας δὲ — τὸ ὀψονομεῖν ὠνόμασεν. Θουγενίδης δὲ ἔφη Ἤιτησεν κτλ.*

II (4, 593) 3

Photius p. 267 8. *Μὴ νόμισον: ἀντὶ τοῦ μὴ νομίσῃς· οὕτω Θουκυδίδης.* Suidas *Θαγενίδης* h. e. *Θουγενίδης*, ut vidit Porsonus ad Hecub. 1166. Thugenidem respicit Antiatt. p. 107 30. *Μὴ νόμισον: ἀντὶ τοῦ μὴ νομίσῃς.*

III (4, 594) 4

Zonaras II p. 1294. *Λειβήθριοι: ἔθνος μωρόν, ἀπὸ τόπου Λείβηθρα καλούμενον, ἐν ᾧ κατοικοῦσιν ἀνόητοι ἄνθρωποι. Θουκυδίδης Λειβηθρίων ἀνοητότεροι.* Recte Schaeferus apud Tittmannum in Addendis p. CXLVI correxit *Θουγενίδης.*

Denique fortasse etiam apud Suidam s. v. *ἀνέσπακεν* pro Thucydide Thugenidis nomen reponendum, ubi libri habent *Ἀνέσπακεν: Θουκυδίδης. ἀνεύρηκεν, εἵληφεν. Μένανδρος Ῥαπιζομένῃ Πόθεν γάρ κτλ.*

TIMOSTRATVS

ΑΣΩΤΟΣ

1 (4, 595)

Antiatticista p. 81 1. *Ἄχρι τοῦ νῦν: μετὰ ἄρθρου. Τιμόστρατος Ἀσώτῳ.*

ΠΑΝ

2 (4, 595)

Antiatticista p. 89 23. *Διὰ χειρὸς δανεῖσαι: Τιμόστρατος Πανί.*

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

3 (4, 595)

Antiatticista p. 98 4. *Ζάγρα: λοιδορίας εἶδος. Τιμόστρατος Παρακαταθήκῃ τὰς βασάνους καὶ τὰς πληγὰς ζάγριον λέγει.* Photius, *Ζάγρα: λοιδορίας εἶδος· οὕτως Τιμόστρατος.*

ΦΙΛΟΔΕΣΠΟΤΗΣ

4 (4, 595)

Antiatticista p. 80 12. *Ἀφελοῦμαι: ἀντὶ ταῦ ἀφαιρήσομαι. Τιμόστρατος Φιλοδεσπότῃ.*

EX INCERTA FABVLA

5 (4, 596)

Antiatticista p. 91 1. *Δυνάμεις: τὰ τῶν ἰατρῶν φάρμακα. Τιμόστρατος.*

Eiusdem poetae nomen fortasse reddendum Suidae v. *χάραξ*, ubi hodie legitur: *Δημόστρατος Δημοποιήτῳ· οἱ μὲν προσέφερον τὸν χάρακα πρὸς τὴν ἄκραν.* Cfr. Hist. com. p. 500.

XENO

(4, 596)

Πάντες τελῶναι, πάντες εἰσὶν ἅρπαγες.
κακὸν τέλος γένοιτο τοῖς Ὠρωπίοις.

Dicaearchus Vit. Graec. p. 25 Buttm.: *τελωνῶν* (apud Oropios) *ἀνυπέρβλητος πλεονεξία ἐκ πολλῶν χρόνων ἀνεπιθέτῳ τῇ πονηρίᾳ συντεθραμμένη — οἱ στίχοι Ξένωνος· Πάντες κτλ.*

FRAGMENTA

COMICORVM ANONYMORVM

Digitized by Google

FRAGMENTA COMICORVM ANONYMORVM *)

** I (4, 599) 1

Πόρνοι μεγάλοι Τιμαρχώδεις.

Aeschines c. Timarch. § 157 Bekk.: *τοσοῦτον ἀπέχει τῶν αἰσχρῶν, ὥστε πρώην ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολυττῷ καὶ Παρμένοντος τοῦ ὑποκριτοῦ εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον, ἐν ᾧ ἦν εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες.* Cf. Hesych. s. v. *Δημοκλεῖδαι.*

II a (4, 599) 2

Καλὸν δὲ τὸ ζῆν, ἄν τις ὡς δεῖ ζῆν μάθῃ.

Alexander in Walzii Rhet. gr. VIII p. 479. *περὶ ἀντιμεταθέσεως: ἐπὶ τούτου τοῦ σχήματος ταῖς αὐταῖς λέξεσι χρώμενοι πλεονάκις ἕτερα σημαίνομεν, ὡς ἔχει τὰ τοιαῦτα "ὡς χάριέν ἐστ' ἄνθρωπος ὅστ' ἄνθρωπος ἦ." καί "Καλὸν δὲ τὸ ζῆν, ἄν τις ὡς δεῖ ζῆν μάθῃ."* De primo horum versuum dixi ad Menandri monost. 562. Alterum adscripsi ut edidit eum Walzius ex cod. Par. 2. Quamquam quum Aldus pro *ἦ καὶ καλὸν δὲ* exhibeat *δικαίως*, versum ita potius scribendum suspicor: *ὡς [ἡδὺ] τὸ ζῆν, ἄν τις ὡς δεῖ ζῆν μάθῃ.* Possis etiam: *ὡς [τοῦτο] τὸ ζῆν, ἄν τις ὡς δεῖ ζῆν μάθῃ.* Quod Walzius edidit *καλὸν δέ* vix dubito quin interpolatori debeatur.

** II b (4, 600) 3

Δᾶος πάρεστι τί ποτ' ἀγγελῶν ἄρα;

Anonymus ad Aristot. Bekk. p. 93 25: *διαπορητικόν, ὅ ἐστιν ἐρώτησις αὐτοῦ πρὸς αὐτόν, ὥστε τό Δάος προσῆλθε τί ποτ' ἀγγελῶν ἄρα;* p. 96 19: *πέμπτον δέ τι πρὸς τούτοις εἶναί φασι τὸ ἐπαπορητικόν Δᾶος πάρεστι τί ποτ' ἀγγελῶν ἄρα.* Idem versus apud schol. Hermogenis in Walzii Rhet. VII p. 4, ubi scribitur: *Δᾶός ποτ' ἦλθε τί ποτ' ἀγγέλλων ἄρα;* Cod.

*) Asterisci fragmentorum numeris additi aetatem auctoris indicant, ita quidem ut unus antiquam, duo mediam vel novam comoediam significent; quibus nihil additum est, eorum incerta aetas est.

Mon. *τί ποτε ἀγγέλων*. Pro *τί* quod Spengelius reponi voluit *τινά*, etsi defendi potest (v. Aristoph. Acharn. 1084), puto tamen aliud scriptum fuisse. Menandro versum tribuebat Schneidewinus Coniect. p. 119.

4. 5 III a. b (4, 600)

Οὐδ' ὅσον ἀχαρῆ τῆς τέχνης ἐπίσταμαι.
Κατέπεσον ἀχαρὴς τῷ δέει.

Ammonius differ. voc. p. 10: *Ἀχαρὴς σὺν τῷ σ καὶ ἀχαρῆ ἄνευ τοῦ σ διαφέρει. ἀχαρῆ μὲν γὰρ ἄνευ τοῦ σ σημαίνει τὸ βραχύ, οἷον Οὐδ' ὅσον ἀχαρῆ τῆς τύχης ἐπίσταμαι. ἀχαρὴς δὲ σημαίνει τὸ παρὰ βραχὺ ὄν* (fort. *ὤν*). *Κατέπεσον ἀχαρὴς τῷ δέει.* Versu primo pro *τύχης* scripsi *τέχνης* praeeunte Piersono ad Moer. p. 44. Reliqua eius versus incerta medela est.

6. 7 ** IV a. b (4, 601)

Γήμαντος αὐτοῦ δ' εὐθὺς ἔσομ' ἐλεύθερος.
Ὡς τοῦτο δ' εἶδεν, εὐθὺς ἦν ἄνω κάτω.

Ammonius differ. voc. p. 63: *οἱ δὲ ἀρχαῖοι ἐνίοτε τὸ εὐθὺ ἐτίθεσαν τὸ ἐφ' ὁδοῦ τῆς τεινούσης ἐπί τινος τόπου· εὐθὺ τῆς στοᾶς, εὐθὺ τῶν ἀρωμάτων. τὸ δὲ κατὰ τοὺς χρόνους οὐ λέγεται, ἀλλ' εὐθύς, οἷον Γήμαντος κτλ. καὶ Ὡς τοῦτο δ' εἶδεν κτλ.* Altero versu fortasse legendum *τἄνω*. Reliqua duo exempla *εὐθὺ τῆς στοᾶς* et *εὐθὺ τῶν ἀρωμάτων* et ipsa ex comicis poetis ducta sunt; et alterum quidem Eupolidis est, cuius vide fragm. 306.

8 V (4, 601)

Ἀλλὰ θῦε τοὺς κέδρους.

Ammonius differ. voc. p. 81: *κέδρος θηλυκῶς μὲν τὸ δένδρον, ἀρσενικῶς δὲ ὁ καρπός. Ἀλλὰ θῦε τοὺς κέδρους.* Eadem Etymol. M. p. 498 42, ubi *οὐδετέρως δὲ ὁ καρπός*, et *τὰς κέδρους*. Fortasse ad eundem hunc locum referendum hoc Phrynichi Bekk. p. 42 19: *καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τὸ θῦσαι ἀντὶ τοῦ θυμιᾶσαι.*

9 ** VI (4, 601)

Καὶ περιβόητον πᾶσιν ἀνθρώποις ποιεῖ
αἰτὸν ὁ Κράτης, καὶ τοῦτο δὴ τὸ λεγόμενον
ἥττων ἑαυτοῦ πορνιδίῳ τρισαθλίῳ
ἑαυτὸν οὕτω παραδέδωκεν.

Ammonius differ. voc. p. 42: *διαβόητος — ὁ ἐπ' ἀρετῇ πολυθρύλητος, περιβόητος δὲ ὁ ἐπὶ κακίᾳ· Καὶ περιβόητον κτλ.* Priora vulgo ita eduntur: *καὶ περιβόητον πᾶσιν ἀνθρώποις*

αὐτὸν παραδίδωσιν ὁ ἀκρατής, in quibus *παραδίδωσιν ὁ* Ald. omittit. Correxit Porsonus apud Dobraeum ad Aristoph. Nub. 993.

VII (4, 602) 10

Χρηστοῦ δίδαγμ' εὐηθίας
καὶ φιλανθρώπου λογισμοῦ.

Antiatticista p. 91 23. *Εὐήθης*: *ὁ ἀγαθός*. — *Χρηστοῦ δίδαγμ' εὐηθίας κτλ.* Ita Bekkerus. Codex *χριστοῦ — εὐηθείας — λογισμός.*

** VIII (4, 602) 11

Σχολαστής ἐστι· δεῖ δ' οἶμαι γαμεῖν
τὸν ἐπιμελῆ καὶ δυνατὸν οἰκονομεῖν ὄχλον
πλείω. B. τὸν ἀμελῆ μᾶλλον ἐπιθυμοῦντα δέ
σχολῆς, ἵν' ἔχων οἰκονόμον ἀδεῶς περιπατῇ.

Antipater Stobaei Flor. LXVII 25: *Ὅσῳ γὰρ μᾶλλον αὐτὸς ἀπὸ τῆς οἰκονομίας ἀπέστραπται, τοσούτῳ μᾶλλον τὴν διαδεξομένην διοίκησιν παραληπτέον καὶ περὶ τὰ ἀναγκαῖα ἑαυτῷ ἀπερίσπαστον. οὐ κακῶς καὶ ὁ κωμικὸς ἐπιτέμνει σχολαστής Δεῖ δ' οἶμαι γαμεῖν τὸν ἐπιμελῆσαι δυνατὸν οἰκονομεῖν ὄχλον πλείω. ἐπιφωνήσας τὸν ἀμελῆ κτλ.* Ita haec edidit Gaisfordus. Corrigendum erat ut supra adscripsi. Vs. 1 *ἐστι* addidi e codd. Paris. Ibid. *δεῖ δ'* Tyrwhitti et Valckenarii est emendatio; libri *ἀεί.*

** IX (4, 603) 12

Τὴν ἀξίαν ἔδει γαμεῖν τὸν ἄξιον.

Aristoteles Rhet. III 11: *δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον· ἔστι γὰρ ταῦτα χωρὶς ἔχειν, οἷον "ἀποθνήσκειν δεῖ μηδὲν ἁμαρτάνοντα." ἀλλ' οὐκ ἀστεῖον. "τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον." ἀλλ' οὐκ ἀστεῖον.* Cfr. Anaxandridis fr. p. 593. Pro *δεῖ* scripsi *ἔδει*, quamquam possis etiam *δὲ δεῖ.*

** X XI (4, 603) 13. 14

Ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ Κωρύκῳ.
Ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ.

Aristoteles Rhet. III 11: *τὸ δὲ ὥσπερ τὸ καὶ τό, ὑπερβολὴ τῇ λέξει διαφέρουσα. "Ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ Κωρύκῳ." ᾠήθης δ' ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ Κωρύκῳ. "Ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ." ᾠήθης δ' ἂν οὐ σκέλη ἀλλὰ σέλινα ἔχειν οὕτως οὖλα. εἰσὶ δὲ ὑπερβολαὶ μειρακιώδεις. σφοδρότητα γὰρ δηλοῦσιν.* Horum versuum primo qui memoratur Philammo nobilis ille athleta est, de

quo praeter Dissenum ad Demosth. pro Cor. p. 451 vide Themist. XXI p. 303, Christod. Ecphr. 229 et Gramm. Bekk. p. 314 25, ex quo eum Olymp. CV floruisse intellegitur. Eodem versu *Κωρύκῳ* scripsi, ut sit viri nomen, de quo cfr. Antiphanis fragm. p. 526. Vulgo *κωρύκῳ* editur. Ac fortasse hic ipse versus est Antiphanis. Ludit autem in ambiguo; *κωρύκου*, i. e. follis pugilatorii, qui usus fuerit athletis notum est.

15 ** XII (4, 603)

Οὐκ ἂν γένοιο μᾶλλον ἢ σε δεῖ ξένος ξένος.

Aristoteles Rhet. III 11: *καί "οὐκ ἂν — ξένος." ἢ οὐ μᾶλλον ἢ σε δεῖ, τὸ αὐτό. καὶ "οὐ δεῖ τὸν ξένον ξένον ἀεὶ εἶναι." ἀλλότριον γὰρ καὶ τοῦτο.* Grotius Excerptis p. 923 haec ita: *εἰ δ' εἶ ξένος | οὐκ ἂν γένοιο μᾶλλον ἢ σε δεῖ ξένος.* Non expedio.

16 ** XIII (4, 604)

Ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον.

Aristoteles Soph. elench. IV 7: *ὁ γὰρ αὐτὸς λόγος διῃρημένος καὶ συγκείμενος οὐκ ἀεὶ ταυτὸ σημαίνειν ἂν δόξειεν, οἷον Ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον. καὶ τὸ Πεντήκοντ' ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς.* Ex Aristotele habet Theo Progymn. I p. 179 W. Fuerunt, in his ipse Porsonus Misc. p. 304, qui Menandri versum ex Andria petitum esse putarent propter Terentium I 1 10: *feci e servo ut esses libertus mihi.* Sed vide quae dixi ad Menandrum p. 22 ed. pr.

17 ** XIV (4, 604)

Aristoteles de gener. anim. V 5: *καὶ εὖ δὴ οἱ ποιηταὶ ἐν ταῖς κωμῳδίαις μεταφέρουσι σκώπτοντες τὰς πολιὰς καλοῦντες γήρως εὐρῶτα καὶ πάχνην.*

18 * XV (4, 604)

Τὴν λαμπροτάτην πόλεων πασῶν ὁπόσας ὁ Ζεὺς ἀναφαίνει.

Athenaeus I p. 20b: *προσέτι τε τὴν λαμπροτάτην — ἀναφαίνει, τὰς Ἀθήνας λέγω.*

19 ** XVI (4, 604. 605)

Ὁ Μνησίθεος δ' ἔφη τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν·
τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν.
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·

καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει,
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον
εὐθυμίαν, ἐὰν δ' ὑπερβάλῃς, ὕβριν,
ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ,
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.

Servavit Athenaeus II p. 36 a. Alexidi haec assignavit Schweigh., cf. fr. 211. Vs. 1 legebatur *Μνησίθεος δὲ ἔφη*, omisso articulo. Vs. 4 *τοῖς* BE. Vs. 8 *ὠφέλειαν* B *ὠφελείαν* E. Dindorfius coniicit *ὠφελίαν*. Vs. 11 post *εὐθυμίαν* libri addunt *φέρει*, quod delendum esse primus vidit Iacobsius Animadv. ad Brunckii Anal. I p. 327. Ex sequentibus nonnulla attulit Eustathius ad Hom. p. 1624 34. Quae post vs. 13 apud Athenaeum subiiciuntur verba a Dindorfio ita descripta:

διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ
ἰατρόν· ἡ δὲ Πυθία
εἴρηκέ τισι Διόνυσον ὑγιάτην καλεῖν,

ea non dubito quin epitomatoris verba sint, non autem poetae, qui si haec de Baccho praedicare voluit, ea post vs. 8 inferre debuit. Quod metri quandam speciem verba illa referunt, ei non multum tribuo.

** XVII (4, 605) 20

Ἀλλὰ ξενῶνας οἶγε καὶ ῥᾶνον δόμους,
στρώννυ τε κοίτας καὶ πυρὸς φλέξον μένος,
κρατῆρά τ' αἴρου καὶ τὸν ἥδιστον κέρα.

Servavit Athenaeus II p. 48 a, ubi proxime Anaxandridis locus praecedit.

XVIII (4, 606) 21

Οὔτ' ἀλφίτοισι χαίρομεν·
πλήρης γὰρ ἄρτων ἡ πόλις.

Athenaeus III p. 113 a: *ταῦτα σιτία Κρονικά ἐστιν, ὦ ἑταῖροι, ἡμεῖς γὰρ οὔτ' ἀλφίτοισι κτλ.* Dobraeus *ἡμεῖς γὰρ οὐκέτ' ἀλφίτοισι.*

XIX a (4, 606) 22

Μέλη πάραυλα κἀκρόητα κύμβαλα.

Athenaeus IV p. 164 e: *ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας πολάβρους ἀναγινώσκει καὶ Μέλη πάραυλα κτλ.* Cratini haec esse putabat Valckenarius ad Theocriti Adon. p. 225 a. Mihi nunc tragici potius poetae quam comici versus esse videtur.

23 XIX b (4, 606)

Γαστέρας
αὐταῖσι μήτραις καὶ καλῶν ζωμῶν πλέας.

Athenaeus IX p. 376 d: *καὶ τῶν ᾠῶν τὰ χρυσᾶ, ἔτι δὲ ὀρνίθων γαστέρας αὐταῖσι κτλ.*

24 XX a (4, 606)

Athenaeus VIII p. 352 e: *τοιαῦτα γὰρ συνέγραψεν, ὡς εἶναι κατὰ τὸν κωμῳδιοποιὸν θαύματα μώροις.* Videtur proverbialiter dictum fuisse. Diogenes Cynicus teste Diogene Laert. VI 24: *τοὺς Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μώροις ἔλεγε.*

25 ** XX b (4, 607)

Πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
τοὔφ' ἡμέραν ζῆν ἡδέως· ὃ γὰρ θανὼν
τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός.
μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών.

Athenaeus VIII p. 336 b: *καὶ ἄλλος δέ τίς φησι τῷ Σαρδαναπάλλῳ παραπλήσιος ὑποτιθέμενος καὶ οὗτος τοῖς μὴ σωφρονοῦσι τοιάδε Πᾶσιν δὲ θνητοῖς κτλ.* Vs. 2 ante Casaubonum *τοὔφ' ἡμέρον.* Vs. 3 *ἐπαυρέσθαι* BPV *ἐπαύρεσθαι* L.

26 ** XXI a (4, 607)

Athenaeus IX p. 408 a: *ἐκ τούτων δῆλόν ἐστιν ὅτι ὁ Τηλέμαχος κυάμων χύτρας ἀεὶ σιτούμενος ἦγε Πυανέψια πορδὴν ἑορτήν.* Probabile est in his latere versum comici: *κυάμων χύτρας σιτούμενος Πυανέψια | πορδὴν ἑορτὴν ἦγε.* Sive malis omisso *Πυανέψια*, quod Athenaeus de suo addidisse videri potest, *κυάμων χύτρας ἀεὶ σιτούμενος | πορδὴν (πορδῶν?) ἑορτὴν ἦγε.*

27 ** XXI b (4, 607)

Γυμνὴν ἐποίησε τὴν Ἀθηνᾶν Λαχάρης
οὐδὲν ἐνοχλοῦσαν.

Athenaeus IX p. 405 e: allato Demetrii loco (supra p. 1154) sic pergit: *γυμνὴν ἐποίησεν Ἀθηνᾶν Λαχάρης οὐδὲν ἐνοχλοῦσαν· σὲ δ' ἐνοχλοῦντα νῦν ἐγώ, ὁ Αἰμιλιανὸς ἔφη, εἰ μὴ δείξεις ὅ τι φέρεις.* Poetae verba in his latere vidit Dindorfius, qui scribebat *γυμνὴν ἐποίησεν δ' Ἀθηνᾶν.* Ego articulum addidi. De Lachare vide Wyttenbachium ad Plutarchum de S. N. V. p. 71.

** XXII—XXVI (4, 607. 608) XXVII XXVII a (5, 118) 28–34

Ἀγαθὸς ἀνὴρ λέγοιτ' ἂν ὁ φέρων τἀγαθά.
Ἀγαθὸς ἂν εἴη χὠ φέρων καλῶς κακά.
Εὐκαταφρόνητός ἐστι πενία, Δερκύλε.
Ἐπὶ τοῖς παροῦσι τὸν βίον διάπλεκε.
Ἡ τῶν φίλων σοι πίστις ἔστω κεκριμένη.
Σοφός ἐστιν ὁ φέρων τἀπὸ τῆς τύχης καλῶς.
Ὡρθωμένην πρὸς ἅπαντα τὴν ψυχὴν ἔχω.

Servavit Athenaeus X p. 458 a, qui attulit haec in exemplis versuum ab eadem littera incipientium et in eandem litteram exeuntium. Vs. 2 pro *κακὰ* videtur *καλὰ* legendum esse. Vs. 3 malim *εὐκαταφρόνητον*, ut dixit Menander fr. 94, *εὐκαταφρόνητόν ἐστι, Γοργία, πένης*. Vs. 4 *διάπλεκε* antepenultima correpta ferri non potest. Fort. scribendum *τὸν βίον Δίων πλέκε*. V. Euphron. fragm. 5: *ὦ Ζεῦ, τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχύν | πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς;* Possis etiam *τὸν βίον, παῖ, διάπλεκε*.

* XXVIII a (4, 608) 35

Ἀλλ' Ἀλκιβιάδην τὸν ἁβρόν, ὦ γῆ καὶ θεοί,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν.

Athenaeus XIII p. 574 e. Alcibiades *ὁ καλός, ἐφ' οὗ τις τῶν κωμικῶν ἔφη Ἀλλ' Ἀλκιβιάδην κτλ.* *Ἀλλ'* a Porsono additum.

XXVIII b (5, 118) 36

Athenaeus XIV p. 658 a: *ἐπεὶ δὲ καὶ Σικελίας ἄνχημα τροφαλὶς ἥδε ἔστι, φίλοι, λέξωμέν τι καὶ περὶ τυρῶν.*

** XXVIII c (4, 608) 37

Περιφέρειν ματτύην καὶ ποδάριον,
καὶ γαστρίον ταχερόν τι καὶ μήτρας ἴσως.

Athenaeus XIV p. 664 c: *ἄλλος δέ τίς φησι Περιφέρειν κτλ.* Vs. 1 addidi *καί*. V. ad Menandrum ed. pr. p. 181.

XXVIII d (4, 608) 38

Bekkeri Gramm. p. 331 11. *Ἄγουσιν ἑορτὴν οἱ κλέπται: χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαισμένη κατὰ τὴν κωμῳδίαν.*

* XXVIII e (4, 608. 609) 39

Γλῶττάν τέ σοι
δίδωσιν ἐν δήμῳ φορεῖν
καλῶν λόγων ἀείνων,
ᾗ πάντα κινήσεις λέγων.

Bekkeri Gramm. p. 347 7: *Ἀείνως γλῶττα καὶ ἀείνως φωνὴ καὶ ὀργὴ καὶ ἐπιθυμία, καὶ ἐπὶ τῶν ὁμοίων χρῶ· Γλῶττάν τέ σοι κτλ.* Vs. 4 fortasse *νικήσεις.*

40 XXVIII f (4, 609)

Κἄτ' ἀπερρώγειν ὁ πούς.

Bekkeri Gramm. p. 422 4. *Ἀπέρρωγεν: οὐκ ἀπέρρηκται. καὶ ἀπερρώγει, καὶ σὺν τῷ ν ἀπερρώγειν, τὸ τρίτον πρόσωπον· Κἄτ' ἀπερρώγειν ὁ πούς.*

41 XXIX (4, 609)

Κυψέλην δ' ἔχεις
ἄπλατον ἐν τοῖς ὠσίν.

Bekkeri Gramm. p. 425 7. *Ἄπλετον: ἄπειρον. λέγεται δὲ καὶ ἄπλατον, ὡς τὸ Κυψέλην δ' ἔχεις κτλ.*

42 ** XXX (4, 609)

Ἀπόδυθι ταχέως, Πάμφιλ', ἡμέτερος ὁ πλοῦς.

Bekkeri Gramm. p. 427 26. *Ἀποδῦσαι: μᾶλλον δ' ἀπόδυθι ταχέως . . . Παμφίλη, ἡμέτερος ὁ πλοῦς.* Hanc glossam mira diversitate Ruhnkenius Auctar. ad Hesychium I p. 1706 ita scriptam profert: *Ἀποθευσόμεθα: ἀποδραμούμεθα. μάλιστα ἐπὶ πλοῦ λέγεται. ταχέως, Παμφίλη, ἡμέτερος ὁ πλοῦς.* Scribe *Ἀπόδυσαι: μᾶλλον δ' ἀπόδυθι. Ἀπόδυθι ταχέως, Πάμφιλ', ἡμέτερος ὁ πλοῦς.*

43 XXXI (4, 610)

Bekkeri Gramm. p. 1200: *Σκίραψ, Σκίραφος. ἔστι δὲ ὄνομα κύριον παρὰ τοῖς κωμικοῖς εὑρισκόμενον.*

44 ** XXXII (4, 610)

Σύκῳ μὰ τὴν Δήμητρα σῦκον οὐδὲ ἓν
οὕτως ὅμοιον γέγονεν.

Cicero Epist. ad Att. IV 8 "de Trebonio prorsus tibi assentior; de Domitio, *σύκῳ — γέγονεν*, quam est ista *περίστασις* nostrae."

45 XXXIII (4, 610)

Ἡ δεῦρ' ὁδός σοι τί δύναται νῦν, θεοπρόπε;

Cicero Epist. ad Att. XV 11 "hoc dempto munere amoris atque officii, sequebatur ut mecum ipse *Ἡ δεῦρ' ὁδός κτλ.* Eodem versu utitur l. l. XVI 6.

46 XXXIV (4, 610)

Clemens Alex. Paed. II p. 166 Pott.: *ἀλλ' αἰσθάνομαι ὅθεν ἡ εὐπρόσωπος ἐρρύη τῶν δειπνων προσηγορία, ἀπὸ τῶν*

φαρύγγων καὶ φοιτητῆς μανίας ἐπιδείπνων, κατὰ τὸν κωμικόν. ἔστι γὰρ ὡς ἀληθῶς τὰ πολλὰ τοῖς πολλοῖς τοῦ δείπνου χάριν. Cfr. Cratini fr. 40. Pro ἐπιδείπνων (ita enim apud Sylb. legitur) Sylburgius in annotatione ἐπὶ δεῖπνον. Non expedio locum. Pro φαρύγγων scribendum φαρύγων. Quae his subiicit Clemens fortasse itidem ex comico poeta ducta sunt:

Ἔστι γάρ
τὰ πολλὰ τοῖς πολλοῖσι τοῦ δείπνου χάριν.

** XXXV (4, 611) 47

Ὧν ἐστι τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
βαλανεῖ', ἄκρατος, ἁμίδες, ἀργία, πότος.

Clemens Alex. Paed. II p. 182 Pott.: μακαριστὸν ἡγοῦνται βίον τὴν ἀκοσμίαν τὴν περὶ τὰ συμπόσια Ὧν ἐστι τὸ ζῆν κτλ. Vs. 1 vulgo post οὐδὲν ἄλλ' ἢ additur κῶμος, quod delevi. Marklandus Explic. vett. auct. p. 258 scribebat: οὐδὲν ἄλλ' ἢ κραιπάλη, | κῶμος, βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία, | πότος. Quod probarem si omisisset πότος.

XXXVI (4, 611) 48

Μιλησία
σμάραγδος, ἐμπόλημα τιμιώτατον.

Clemens Alex. Paed. II p. 241 Pott.: ἀμέθυστοι καὶ κεραυνῖται καὶ ἰάσπιδες καὶ τοπάζιον ἥ τε Μιλησία σμάραγδος, ἐμπόλημα τιμιώτατον. Poetae versum hic latere certum, comici an tragici sit, incertum.

XXXVII (4, 611) 49

Καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρου.

Clemens Alex. Paed. III p. 261 Pott.: κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι· χλανίσι δὲ διαφανέσι περιπεπεμμένοι καὶ μαστίχην κτλ. Si illa etiam χλανίσι δὲ δ. π. comici sunt, pro διαφανέσι possis δὴ φαναῖσι. Attigit locum Dobraeus ad Aristoph. Plut. 159, sed nihil medelae attulit.

XXXVIII (4, 611) 50

Τὸ δ' ὅλον οὐκ ἐπίσταμαι
ἐγὼ ψιθυρίζειν, οὐδὲ κατακεκλασμένως
πλάγιον ποιήσας τὸν τράχηλον περιπατεῖν,
ὥσπερ ἑτέρους ὁρῶ κιναίδους ἐνθάδε
πολλοὺς ἐν ἄστει καὶ πεπιττοκοπημένους.

Clemens Alex. Paed. III p. 294 Pott.: ἔχοι δ' ἂν κἀκεῖνο ἄριστα τὸ εἰρημένον Τὸ δ' ὅλον κτλ. Post quintum versum

fortasse superius fragmentum addendum: *καὶ μαστίχην τρώγοντας, ὄζοντας μύρου.*

51 XXXIX (4, 612)

Clemens Alex. Paed. III p. 294 Pott.: *τὸ γὰρ ἀβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως, καὶ τὸ σαῦλα βαίνειν, ὥς φησιν Ἀνακρέων, κομιδῇ ἑταιρικά, ὥς γ' ἐμοὶ φαίνεται. (καὶ) ἡ κωμῳδία φησὶν τὰ ἴχνη τὰ ἑταιρικὰ ὥραν ἀπολείπειν καὶ τρυφήν.* In his pro *ἀπολείπειν* scribendum *ἀπολείβειν. τὰ ἑταιρικὰ* Clementis videtur.

52 ** XL (4, 612)

Ἂν μῦς διορύξῃ βωμὸν ὄντα πήλινον,
κἂν μηδὲν ἄλλ' ἔχων διατράγῃ θύλακον,
ἀλεκτρυὼν τρεφόμενος ἂν ἐφ' ἑσπέρας
ᾄσῃ, τιθέμενοι τοῦτο σημεῖόν τινες.

Clemens Alex. Strom. VII p. 842 Pott.: *εἰκότως τοίνυν δεισιδαίμονες περὶ τοὺς εὐοργήτους γινόμενοι πάντα σημεῖα ἡγοῦνται εἶναι τὰ συμβαίνοντα καὶ κακῶν αἴτια. Ἐὰν μῦς διορύξῃ κτλ.* Indicavit locum Porsonus ad Euripidis Med. 139 n. XI. Vs. 1 vulgo *ἐάν*. Porsonus *ἤν*. Vs. 2 vulgo *ληκύθιον*. Recte Porsonus *θύλακον* ex Bionis apud Clementem dicto l. l. *τί δὲ καὶ θαυμαστὸν εἰ ὁ μῦς τὸν θύλακον διέτραγεν, οὐχ εὑρὼν ὅ τι φάγῃ;* quod habet etiam Theodoretus vol. IV p. 853 Schulz. Vs. 3 vulgo *ἐὰν ἀπὸ ἑσπέρας*. Correxit V. D. in Zimmerm. annal. 1835 p. 91.

53 XLI (4, 613)

Τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος
εὔπιστος ἀνδρῶν, ὅστις ἐλπίζει θεοὺς
ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης,
ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα,
χαίρειν ἀπαρχαῖς καὶ γέρας λαχεῖν τόδε;

Clemens Alex. Strom. VII p. 851 Pott.: *ἐπεὶ τίς ὧδε μῶρος, κατὰ τὴν ποιητικὴν χάριν, καὶ λίαν ἀνειμένος κτλ.* Eadem apposuit Porphyrius Abstin. anim. II 58 et ex Porphyrio, ut ipse disertim testatur, Cyrillus c. Iul. IX p. 306 e. Dolendum est nullum horum scriptorum auctoris nomen addidisse. Menandro locum assignabat I. H. Vossius Epist. mythol. II 40. At dictio nihil habet coloris Menandrei. Tragico potius quam comico poetae tribuenda censebat Gatakerus ad Antonin. X 8. Si comici poetae sunt, novae vel mediae comoediae auctori tribuerim. Vs. 1 Clemens *μωρός*. Ibid. *ἀνειμένως* Grotius, quod probandum videtur. Vs. 2 pro *εὔπιστος* malim *εὔπειστος*. Tum

Cyrillus *ἐλπίζῃ*. Vs. 3 *χολῆς πυρουμένης*. De fellis in sacrificiis usu vide Soph. Ant. 997. Vs. 5 Clemens *ἀπάτῃ*. Porphyrius et Cyrillus *ἅπαντες*. Grotius *ἀπαρχῇ*. Melius Porsonus ad Eurip. Hec. 41 *ἀπαρχαῖς*. Quae apud Clementem versui quinto subiiciuntur verba *καὶ χάριν τούτων τοῖς δρῶσιν ἐκτίνειν*, ea Clementis verba sunt, non poetae, cui ea attribuebat Grotius ita immutata: *χάριν τε τούτων τοῖσι δρῶσιν ἐκτίνειν*.

** XLI a XLII (4, 614) 54. 55

Ἀφόρητός ἐστιν εὐτυχῶν μαστιγίας.
Βασιλεῖς ἐγένοντο χοἱ πρὶν ὄντες αἰπόλοι.

Dio Cassius H. R. LX 29: *τοὺς μέντοι ἀλλοτρίους ἀπελευθέρους ὁ Κλαύδιος εἴ που κακουργοῦντας λάβοι δεινῶς τιμωρῶν τοῖς ἰδίοις οὕτω προσέκειτο, ὥσθ' ὑποκριτοῦ τινος ἐν τῷ θεάτρῳ ποτὲ τοῦτο δὴ τὸ θρυλούμενον εἰπόντος ὅτι Ἀφόρητος — μαστιγίας, καὶ τοῦ τε δήμου παντὸς ἐς Πολύβιον τὸν ἀπελεύθερον αὐτοῦ ἀποβλέψαντος, καὶ ἐκείνου ἐκβοήσαντος ὅτι ὁ αὐτὸς μέντοι ποιητὴς εἶπεν ὅτι Βασιλεῖς — αἰπόλοι, οὐδὲν δεινὸν αὐτὸν εἰργάσατο.* Ad horum versuum primum cfr. monost. 365.

XLIII (4, 614) 56

Crameri Anecd. Oxon. I p. 299 31: *ἀπὸ τούτου εἴρηται καὶ τὸ νυστάζειν· παρὰ τὸ νυστάζειν δὲ τὸ Νύσταλον γερόντιον.* Male apud Etymol. M. p. 609 38 una voce *νυσταλογερόντιον*. Cfr. Aristoph. Equ. 42: *δῆμος πυκνίτης, δύσκολον γερόντιον*.

XLIII a (4, 615) 57

Ἀμέλει ταδί μοι πρῶτον ἀμπίσχου λαβών.

Crameri Anecd. Ox. I p. 66 27: *εὕρηται δὲ καὶ ἐν συνθέσει τὸ πῖ ἔχουσα (ἡ ἀμφὶ) παρὰ Ἀττικοῖς· ἀμπεχόνη, ἀμπίσχουσα* (leg. *ἀμπίσχου*)· *Ἀμέλει ταδί μοι πρῶτ' ἀμπίσχου λαβών*. Corrige ut supra adscripsi.

XLIV a. b (4, 615) 58 59

Καταπεσεῖν τι βούλομαι
τραγικὸν πέσημα.

Crameri Anecd. Ox. I p. 176 16: *ἢ παρὰ τὸ πετῶ, ἔνθεν τὸ πέσημα καὶ πεσεῖν. Τί βούλομαι τραγικὸν καταπέσημα.* Correxit Lehrsius. Ibid. p. 372 29: *πονηρός, ὁ κατὰ ψυχὴν ὀξυτόνως, ὁ δὲ κατὰ σῶμα προπαροξυτόνως — οἱ μέντοι νεώτεροι τῆς κωμῳδίας ποιηταὶ γλισχρότεροι διαλύσαντες*

Affidavit sworn 27 December 1886 by Arthur Cecil Corbould of 10 Lime Street, London.

Probate 28 December 1886 to Edward Blackburn, Edward Bergnes and Arthur Cecil Corbould the Executors.

Effects £1,000.

Resealed at Calcutta 28 January 1887.

Elizabeth Ann Lee, late of Lambeth, of 4 Albert Terrace Mansions, Wandsworth Road, Lambeth, Surrey, Widow, died 15 December 1886 at 4 Albert Terrace Mansions aforesaid. Probate London 28 December 1886 to Elizabeth Lee Widow. Effects £1,000.

Arthur Hall, late of 3 Cambridge Villas, Cambridge Road, Kilburn, Middlesex, Gentleman, died 15 December 1886 at 3 Cambridge Villas aforesaid. Probate London 28 December 1886 to Arthur Hall Esquire. Effects £1,000.

Thomas Hall, late of 3 Cambridge Villas, Cambridge Road, Kilburn, Middlesex, Gentleman, died 15 December 1886 at 3 Cambridge Villas aforesaid. Probate London 28 December 1886 to Arthur Hall Esquire. Effects £1,000.

Thomas Hall, late of 3 Cambridge Villas, Cambridge Road, Kilburn, Middlesex, Gentleman, died 15 December 1886 at 3 Cambridge Villas aforesaid. Probate London 28 December 1886 to Arthur Hall Esquire. Effects £1,000.

Robert

ὡς καλὸς ὁ Παρθενών, καλὸς δ' ὁ Πειραιεύς.
ἄλση δὲ τίς πω τοιάδ' ἔσχ' ἄλλη πόλις;
καὶ τοὐρανοῦ γ', ὥς φασιν, ἔστιν ἐν καλῷ.

